(4) *Ἐαρινὴ μὲν οὖν ἰσημερία.* Annuarum tempestatum exordia aliter ab astronomis, et ratione constituuntur, quam sensu popularique judicio. Nam astronomi per quadrantes tributo zodiaco, cuilibet tempestati quadrantem suum assignant, quem τροπὴν appellat Paulus Alexandrinus. Initium fit ab Arietis ingressu ; ac sic deinceps. Popularis usus ex cœli mutatione tempestatum intervalla metitur : cui et scriptores illi serviunt, qui rem rusticam et hujus generis alia pertractant.

(5) *Καὶ ταπεινότατος ὡς πρὸς τὸν ὁρίζοντα.* Ἰδιωτικῶς, et ad oculum ita Geminus loquitur, quia tunc sol maxime dejectus, et horizonti vicinus apparet. Recte autem addidit, ὡς πρὸς τὸν ὁρίζοντα, eo sensu, quem diximus. Nam revera terris citimus non erat sol ætate Gemini in hiberno tropico : sed in Sagittarii gradu quinto circiter ; ubi tum solis erat perigeum, ut apogeum in quinto Geminorum, quod et pag. 4 Geminus indicat.

(6) *Οἱ δὲ μεταξὺ χρόνοι.* Eodem modo annus ab

Digitized by Google

noctia, hoc modo dividuntur: ab æquinoctio verno, usque ad solstitium æstivum dies sunt 94 1/2; nam in tot diebus transit sol Arietem, Taurum, Geminos et ad primam partem Cancri accedens, solstitium æstivum efficit. Ab æstivo solstitio usque ad æquinoctium autumnale dies sunt 92 1/2; nam in tot diebus transit sol Cancrum, Leonem, Virginem, et ad primam partem Libræ accedens efficit æquinoctium autumnale. Ab æquinoctio autumnali usque ad solstitium hibernum dies sunt 88 1/8; nam in tot diebus transit sol Libram, Scorpium, Sagittarium, et ad primam partem Capricorni perveniens efficit solstitium hibernum. A solstitio hiberno usque ad æquinoctium vernum dies sunt 90 1/8; in tot enim diebus transit sol reliqua tria signa, Capricornum, Aquarium, Pisces. Omnes igitur dies horum quatuor temporum simul sumpti efficiunt dies 365 1/4, quot etiam in uno sunt anno.

A μεριῶν τοῦτον διαιροῦνται τὸν τρόπον· Ἀπὸ μὲν ἰσημερίας ἐαρινῆς μέχρι τροπῆς θερινῆς ἡμέραι εἰσὶν ϟδς''· ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος Κριὸν, Ταῦρον, Διδύμους, καὶ ἐπὶ τὴν πρώτην μοῖραν τοῦ Καρκίνου παραγινόμενος, τὴν θερινὴν τροπὴν ποιεῖται· ἀπὸ δὲ θερινῆς τροπῆς μέχρις ἰσημερίας φθινοπωρινῆς ἡμέραι εἰσὶν ϟβς''· ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος Καρκίνον, Λέοντα, Παρθένον, καὶ ἐπὶ τὴν πρώτην μοῖραν τῶν Χηλῶν παραγινόμενος τὴν φθινοπωρινὴν ἰσημερίαν ποιεῖται· ἀπὸ δὲ ἰσημερίας φθινοπωρινῆς μέχρι τροπῆς χειμερινῆς ἡμέραι εἰσὶν πη' η''· ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος Χηλὰς, Σκορπίον, Τοξότην, καὶ ἐπὶ τὴν πρώτην μοῖραν παραγενόμενος ὁ ἥλιος τοῦ Αἰγόκερω, τὴν χειμερινὴν τροπὴν ποιεῖται· ἀπὸ δὲ τροπῆς χειμερινῆς μέχρις ἰσημερίας ἐαρινῆς ἡμέραι εἰσὶν ϟ'ηον' · ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος τὰ ἀπολειπόμενα τρία ζώδια, Αἰγόκερων, Ὑδροχόον, Ἰχθύας. Αἱ πᾶσαι οὖν ἡμέραι τούτων τῶν τεσσάρων χρόνων συντιθέμεναι ποιοῦσι τξε' δ''', ὅσαιπερ ἦσαν αἱ τοῦ ἐνιαυτοῦ.

Quæritur igitur in his, cur, cum quatuor dicti quadrantes zodiaci inter se sint æquales, et sol semper æqualiter moveatur, ipse in temporibus inæqualibus æquales horum quadrantum arcus peragret; nam per totam astronomiam præsupponitur, et solem, et lunam, et quinque planetas æqualiter, circulariter, et contra mundi motum moveri. Pythagoræi enim, cum primi has quæstiones aggrederentur, præsupposuerunt circulares atque æquales solis, lunæ et erraticarum stellarum motus. Nam hujusmodi irregularitatem non admiserunt in his divinis atque æternis corporibus, ut interdum velocius moverentur, interdum tardius, interdum starent, ut sane etiam stationes vocant in quinque erraticis stellis. Neque enim in homine bene **3** composito et ordinato talem motus irregularitatem in gressibus aliquis admitteret; nam vitæ necessitates sæpe fiunt hominibus causæ tarditatis, et velocitatis. At in ipsa incorruptibili natura stellarum non potest ulla causa celeritatis et tarditatis adduci. Quam ob causam Pythagoræi hanc proposuerunt quæstionem: Quomodo per circulares et æquales motus possent apparentiæ salvari.

B Ἐπιζητεῖται οὖν ἐν τούτοις, πῶς, ἴσων ὄντων τῶν τεσσάρων μορίων τοῦ ζωδιακοῦ κύκλου, ὁ ἥλιος, ἰσοταχῶς κινούμενος διὰ παντὸς, ἐν ἀνίσοις χρόνοις διαπορεύεται τὰς ἴσας περιφερείας. Ὑπόκειται γὰρ πρὸς ὅλην τὴν ἀστρολογίαν[7] ἥλιόν τε καὶ σελήνην, καὶ τοὺς πέντε πλανήτας ἰσοταχῶς, καὶ ἐγκυκλίως, καὶ ὑπεναντίως τῷ κόσμῳ κινεῖσθαι. Οἱ γὰρ Πυθαγόρειοι, πρῶτοι προσελθόντες ταῖς τοιαύταις ζητήσεσιν, ὑπέθεντο ἐγκυκλίους καὶ ὁμαλὰς ἡλίου, C καὶ σελήνης, καὶ τῶν ε' πλανητῶν ἀστέρων τὰς κινήσεις. Τὴν γὰρ τοιαύτην ἀταξίαν οὐ προσεδέξαντο πρὸς τὰ θεῖα καὶ αἰώνια· ὡς ποτὲ μὲν τάχιον κινεῖσθαι, ποτὲ δὲ βράδιον, ποτὲ δὲ ἑστηκέναι· οὓς δὴ καὶ καλοῦσι στηριγμοὺς ἐπὶ τῶν ε' πλανητῶν ἀστέρων. Οὐδὲ γὰρ περὶ ἄνθρωπον κόσμιον καὶ τεταγμένον ἐν ταῖς πορείαις τὴν τοιαύτην ἀνωμαλίαν τῆς κινήσεως προσεδέξατο[8] ἄν τις· αἱ γὰρ τοῦ βίου χρεῖαι τοῖς ἀνθρώποις πολλάκις αἰτίαι γίνονται βραδυτῆτος καὶ ταχυτῆτος· περὶ δὲ τὴν ἄφθαρτον φύσιν τῶν ἀστέρων οὐδεμίαν δυνατὸν αἰτίαν προσαχθῆναι ταχυτῆτος καὶ βραδυτῆτος. Δι' ἥντινα αἰτίαν πρηέτειναν οὕτω· Πῶς ἂν δι' ἐγκυκλίων καὶ ὁμαλῶν κινήσεων ἀποδοθείη τὰ φαινόμενα.

De reliquis igitur planetis in aliis scriptis causam exponemus; nunc vero de sole causam ostendemus, cur, cum æqualiter moveatur, in temporibus inæqualibus æquales arcus zodiaci conficiat. Suprema igitur est omnium ea sphæra, quæ stellarum fixarum dicitur, quæ in se continet omnium fixarum constellationum, sive signorum effigiem. Non est autem cogitandum, omnes stellas sub eadem esse positas superficie, sed alias esse sublimiores, alias humiliores. Cum enim visus noster ad æqualem longitudinem a terra in cœlum sese extendat: redditur insensibilis altitudinis differentia.

D Περὶ μὲν οὖν τῶν λοιπῶν ἀστέρων ἐν ἑτέροις ἀποδώσομεν τὴν αἰτίαν· νυνὶ δὲ περὶ ἡλίου ὑποδείξομεν, δι' ἣν αἰτίαν ἰσοταχῶς κινούμενος, ἐν ἀνίσοις χρόνοις τὰς ἴσας περιφερείας διαπορεύεται[9]· ἀνωτάτω γὰρ πάντων ἐστὶν ἡ λεγομένη τῶν ἀπλανῶν ἀστέρων σφαῖρα, ἡ περιέχουσα πάντων τῶν κατηστερισμένων ζωδίων τὴν εἰδωλοποιίαν· οὐ πάντας δὲ τοὺς ἀστέρας ὑποληπτέον ὑπὸ μίαν ἐπιφάνειαν κεῖσθαι· ἀλλ' οὓς μὲν μετεωροτέρους ὑπάρχειν, οὓς δὲ ταπεινοτέρους. Διὰ δὲ τὸ τὴν ὅρασιν ἐπὶ ἴσον ἐξικνεῖσθαι μῆκος, ἀνεπαίσθητος γίνεται ἡ τοῦ ὕψους διαφορά.

[7] *γρ.* ἀστρονομίαν. [8] *γρ.* προσαδέξεται. [9] *γρ.* περιπορεύεται.

Hipparcho distributus est. Vide lib. IV *De doctrina temporum*, capite 30, ubi de summa solis apside cæterisque quæ hic a Gemino tradita sunt, copiose disputatur.

Digitized by Google

Ὑπὸ δὲ τὴν τῶν ἀπλανῶν (7) ἀστέρων σφαῖραν κεῖται φαίνων ὁ τοῦ Κρόνου προσαγορευόμενος ἀστήρ. Οὗτος τὸν μὲν ζωδιακὸν κύκλον ἐν ἔτεσι λ' ὡς ἔγγιστα διαπορεύεται· τὸ δὲ ἓν ζώδιον ἐν δυσὶν ἔτεσι καὶ ἓξ μησίν. Ὑπὸ δὲ τὸν φαίνοντα κατώτερον αὐτοῦ φέρεται Φαέθων, ὁ τοῦ Ζηνὸς προσαγορευόμενος ἀστήρ. Οὗτος δὲ τὸν ζωδιακὸν κύκλον διαπορεύεται ἐν ιβ' ἔτεσι· τὸ δὲ ἓν ζώδιον ἐν ἐνιαυτῷ. Ὑπὸ δὲ τοῦτον τέτακται πυρόεις, ὁ τοῦ Ἄρεος. Οὗτος δὲ τὸν μὲν ζωδιακὸν κύκλον διέρχεται ἐν δυσὶν ἔτεσι καὶ ἑξαμήνῳ· τὸ δὲ ζώδιον ἐν δυσὶ μησὶ καὶ ἡμίσει. Τὴν δὲ ἐχομένην χώραν κατέχει ὁ ἥλιος, ἐνιαυτῷ διαπορευόμενος τὸν ζωδιακὸν κύκλον, τὸ δὲ ζώδιον ὡς ἔγγιστα ἐνὶ μηνί. Κατώτερος δὲ τούτου κεῖται φωσφόρος, ὁ τῆς Ἀφροδίτης ἀστήρ. Οὗτος δὲ ὡς ἔγγιστα ἰσοταχῶς κινεῖται τῷ ἡλίῳ (8). Ὑπὸ τοῦτον δὲ ὁ τοῦ Ἑρμοῦ ἀστὴρ κεῖται· καὶ αὐτός τε ἰσοταχῶς κινεῖται τῷ ἡλίῳ. Κατωτέρω δὲ πάντων φέρεται ἡ σελήνη ἐν ἡμέραις κ' καὶ ζ' καὶ τρίτῳ διαπορευομένη τὸν ζωδιακὸν κύκλον· τὸ δὲ ζώδιον ἐν ἡμέραις β' καὶ τετάρτῳ μέρει τῆς μιᾶς ἡμέρας ὡς ἔγγιστα.

A Sub sphæra stellarum fixarum ponitur stella Saturni, Græcis φαίνων, id est *lucens*, dicta. Hæc stella zodiacum circulum in triginta annis fere peragrat, unum vero signum duobus annis, et sex mensibus. Sub Saturno, eoque inferius fertur Jovis stella, quæ Græcis Φαέθων vocatur. Peragrat autem Jupiter zodiacum in duodecim annis: unum vero signum in anno uno. Sub Jove sita est stella Martis. Græcis πυρόεις vocata. Hæc stella zodiacum conficit annis duobus, et sex mensibus: unum vero signum duobus mensibus, et dimidio. Proximum locum obtinet sol, uno anno zodiacum peragrans: unum autem signum uno fere mense. Inferior sole est Lucifer, id est stella Veneris. Hæc fere æquali velocitate cum sole movetur. Sub Venere collocatur Mercurii stella, quæ et ipsa soli est B æqualis in motu. Infima omnium est Luna, quæ diebus 27 1/3 zodiacum percurrit, unum vero signum diebus duobus, et una fere quarta parte unius diei.

Εἰ μὲν οὖν ὁ ἥλιος ἐκινεῖτο ἐπὶ τῶν κατηστερισμένων ζωδίων, πάντως ἂν ἐγίνοντο οἱ μεταξὺ τῶν τροπῶν καὶ τῶν ἰσημεριῶν χρόνοι ἴσοι ἀλλήλοις. Τὰς γὰρ ἴσας περιφερείας ἰσοταχῶς κινούμενος, ὤφειλεν ἐν ἴσοις διανύειν χρόνοις. Ὁμοίως δὲ εἰ καὶ κατώτερον τοῦ ζωδιακοῦ κύκλου φερόμενος ὁ ἥλιος, περὶ τὸ αὐτὸ κέντρον ἐκινεῖτο τῷ ζωδιακῷ κύκλῳ, καὶ οὕτως ἂν ἐγίνοντο οἱ μεταξὺ τῶν τροπῶν καὶ τῶν ἰσημεριῶν C χρόνοι ἴσοι. Πάντες γὰρ οἱ περὶ τὸ αὐτὸ κέντρον γραφόμενοι [10] κύκλοι ὁμοίως ὑπὸ [11] τῶν διαμέτρων διαιροῦνται. Ὥστε, ἐπεὶ ὁ ζωδιακὸς κύκλος εἰς δ' μέρη ἴσα διαιρεῖται ὑπὸ τῶν διαμέτρων, τῶν τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα ἐπιζευγνυουσῶν, ἀνάγκη καὶ τὸν ἡλιακὸν κύκλον εἰς δ' μέρη διαιρεῖσθαι ἴσα ὑπὸ τῶν αὐτῶν διαμέτρων. Ἰσοταχῶς οὖν κινούμενος ὁ ἥλιος ἐπὶ τῆς ἰδίας περιφερείας, ἴσους ἂν ἐπετέλει τοὺς τῶν τεταρτημορίων χρόνους. Νυνὶ δὲ κατώτερον φέρεται ὁ ἥλιος, καὶ ἐπὶ ἐκκέντρου κύκλου κινεῖται, καθάπερ ὑπογέγραπται. Οὐ γὰρ τὸ αὐτὸ κέντρον ἐστὶ τοῦ ἡλιακοῦ κύκλου καὶ τοῦ ζωδιακοῦ· ἀλλ' ἐφ' ἓν [12] μέρος παρῆκται ἡ τοῦ ἡλίου σφαῖρα. Διὰ δὲ τὴν τοιαύτην θέσιν εἰς τέσσαρα μέρη ἄνισα διαιρεῖται ὁ ἡλιακὸς δρόμος· καὶ γίνεται μεγίστη μὲν περιφέρεια ἡ ὑποπεπτωκυῖα ὑπὸ τὸ τοῦ ζωδιακοῦ κύκλου τεταρτημόριον, τὸ ἀπὸ τοῦ Κριοῦ α' μοίρας μέχρι Διδύμων λ', ἐλαχίστη δὲ περιφέρεια ἡ κειμένη ὑπὸ τὸ τεταρτημόριον τὸ ἀπὸ Ζυγοῦ α' μοίρας, μέχρι Τοξότου μοίρας λ'.

Si igitur sol moveretur super constellatis signis, omnino tempora, quæ sunt inter solstitia, et æquinoctia, essent inter se æqualia. Æquales enim arcus, cum æqualiter moveretur, in temporibus æqualibus conficeret. Similiter, si sol infra zodiacum ferretur, et moveretur circa idem centrum zodiaci: tamen etiam sic tempora, quæ sunt inter solstitia et æquinoctia, essent inter se æqualia; omnes enim circuli, qui circa idem centrum moventur, similiter a diametris dividuntur. Itaque, cum zodiacus in quatuor partes æquales dividatur a diametris, quæ puncta solstitialia et æquinoctialia connectunt: necessario etiam solaris circulus ab iisdem diametris in quatuor partes æquales dividetur. Cum igitur sol super propria circumferentia æqualiter moveatur, tempora quadrantum zodiaci inter se æqualia efficeret. At nunc inferius fertur sol, et super excentrico circulo movetur: sicut figura subscripta ostendit. Non enim idem est centrum solaris circuli, et zodiaci: sed versus unam partem adducta est solis sphæra. Propter talem positum in quatuor partes inæquales dividitur solaris cur- D sus: et fit maximus arcus, qui cadit sub quadrantem zodiaci eum, qui est ab Arietis primo gradu usque ad Geminorum gradum tricesimum: minimus vero arcus, qui positus est sub eo zodiaci quadrante, qui est a primo gradu Libræ, usque ad tricesimum gradum Sagittarii.

[10] *γρ.* φερόμενοι. [11] *γρ.* ἐπί. [12] *γρ.* ὑφ' ἕν.

(7) Ὑπὸ δὲ τὴν τῶν ἀπλανῶν. Hæc planetarum vocabula ab Ægyptiis manasse scribit Firmicus lib. II, cap. 2. Mercurii nomen omissum hic a Gemino, vel librario potius. Est autem στίλβων. De planetarum motibus, sive sphærarum, in quibus volvuntur, eadem habet Philo in libro *De cherubim*, sive *Cain*, cujus verba corrigenda sunt, pag. 75 edit. Græcæ, ver. Οὖν· ἡ μὲν οὖν ἐξωτάτω τῶν λεγομένων ἀπλανῶν μία· τῶν η' τὴν ἀπὸ τῶν ἑῴων ἐπὶ τὰ ἑσπέρια εἱλεῖται περίοδον, nam vulgo legitur μία, ἣ τήν, etc. Octo quippe sphæras statuit, quarum una est quæ fixas continet, reliquæ sunt septem.

(8) Absunt hæc de Mercurio ab Anglic. et nostro.

Digitized by Google

Unde cum sol super proprio circulo æqualiter moveatur, idem convenienter inæquales arcus sui circuli inæqualibus temporibus conficit, ac maximum quidem arcum maximo, minimum vero minimo tempore transit. At cum maximum arcum sui proprii circuli peragrat, tunc eum zodiaci quadrantem conficit, qui est inter æquinoctium vernum, et solstitium æstivum; cum vero per minimum arcum sui proprii circuli movetur, tunc eum zodiaci quadrantem percurrit, qui est inter æquinoctium autumnale et solstitium hibernum. Cum igitur inæquales arcus solaris circuli sub æquales arcus zodiaci cadant, necesse est inæqualia fieri tempora inter se, quæ sunt inter solstitialia et æquinoctialia puncta: et maximum quidem id, quod est ab æquinoctiali puncto verno usque ad solstitiale punctum æstivum: minimum vero id, quod est ab æquinoctiali puncto autumnali usque ad solstitiale punctum hibernum. Sol igitur perpetuo ♌ movetur æqualiter: sed propter excentricitatem solaris sphæræ temporibus inæqualibus æquales zodiaci quadrantes conficit. Propter eamdem causam etiam æqualia signa in temporibus inæqualibus sol peragrat. Si enim ab extremitatibus dodecatemoriorum ad centrum zodiaci connectamus lineas rectas: quemadmodum figura subscripta ostendit, erit quidem zodiacus in duodecim partes æquales divisus: solis vero circulus propter excentricitatem in duodecim partes inæquales divisus: ac maximus quidem arcus in solari circulo erit ille, qui est sub Geminis: minimus vero, qui est sub Sagittario.

A Ὅθεν εὐλόγως ὁ ἥλιος, ἰσοταχῶς κινούμενος ἐπὶ τοῦ ἰδίου κύκλου, τὰς ἀνίσους περιφερείας ἐν ἀνίσοις χρόνοις διέρχεται· καὶ τὴν μὲν μεγίστην ἐν μεγίστῳ, τὴν δὲ ἐλαχίστην ἐν ἐλαχίστῳ χρόνῳ διαπορεύεται. Ἀλλ' ὅταν μὲν τὴν μεγίστην περιφέρειαν ἐπὶ τοῦ ἰδίου κύκλου διανύῃ, τότε παροδεύει τὸ τοῦ ζωδιακοῦ τεταρτημόριον τὸ ἀπὸ ἰσημερίας ἐαρινῆς μέχρι τροπῆς θερινῆς· ὅταν δὲ τὴν ἐλαχίστην περιφέρειαν ἐπὶ τοῦ ἰδίου κύκλου κινῆται, τότε παροδεύει τοῦ ζωδιακοῦ τὸ τεταρτημόριον, τὸ ἀπὸ ἰσημερίας φθινοπωρινῆς μέχρι τροπῆς χειμερινῆς. Ἐπεὶ οὖν ἄνισοι περιφέρειαι τοῦ ἡλιακοῦ κύκλου ὑπὸ ἴσας περιφερείας τοῦ ζωδιακοῦ κύκλου ὑποπεπτώκασιν, ἀνάγκη ἀνίσους γίνεσθαι τοὺς ἀπὸ τῶν τροπῶν μέχρι τῶν ἰσημεριῶν χρόνους· καὶ μέγιστον μὲν B τὸν ἀπὸ ἰσημερίας ἐαρινῆς μέχρι τροπῆς θερινῆς, ἐλάχιστον δὲ τὸν ἀπὸ ἰσημερίας φθινοπωρινῆς μέχρι τροπῆς χειμερινῆς. Ὁ μὲν οὖν ἥλιος διὰ παντὸς ἰσοταχῶς κινεῖται. Διὰ δὲ τὴν ἐκκεντρότητα τῆς ἡλιακῆς σφαίρας ἐν ἀνίσοις χρόνοις διαπορεύεται τὰ τοῦ ζωδιακοῦ τεταρτημόρια. Διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ τὰ ἴσα ζώδια ἐν ἀνίσοις χρόνοις διαπορεύεται ὁ ἥλιος. Ἐὰν γὰρ ἀπὸ τῶν περάτων τῶν δωδεκατημορίων ἐπὶ τὸ κέντρον τοῦ ζωδιακοῦ κύκλου ἐπιζεύξωμεν εὐθείας, καθάπερ ὑπογέγραπται, ἔσται ὁ μὲν τῶν ζωδίων κύκλος εἰς ιβ' μέρη ἴσα διῃρημένος, ὁ δὲ τοῦ ἡλίου κύκλος διὰ τὴν ἐκκεντρότητα εἰς ιβ' μέρη ἄνισα διῃρημένος· καὶ μεγίστη μὲν περιφέρεια ἡ ὑποπεπτωκυῖα ὑπὸ τοὺς Διδύμους, ἐλαχίστη δὲ ἡ ὑποπεπτωκυῖα ὑπὸ τὸν Τοξότην.

C



Propter quam causam maximo tempore percurrit sol Geminos: minimo vero tempore Sagittarium, cum ipse sol semper æqualiter moveatur. Sed cum propter excentricitatem in partes inæquales solaris circulus secetur, contingit tempora signorum zodiaci inæqualia esse.

D Δι' ἣν αἰτίαν ἐν πλείστῳ μὲν χρόνῳ διαπορεύεται ὁ ἥλιος τοὺς Διδύμους, ἐν ἐλαχίστῳ δὲ χρόνῳ τὸν Τοξότην, αὐτὸς μὲν διὰ παντὸς ἰσοταχῶς κινούμενος, διὰ δὲ τὴν ἐκκεντρότητα εἰς ἄνισα μέρη διαιρουμένου τοῦ ἡλιακοῦ κύκλου, συμβαίνει καὶ τοὺς χρόνους ἀνίσους εἶναι τῶν ζωδίων.

Digitized by Google

Τῆς δὲ πρὸς ἄλληλα τάξεως (9) καὶ θέσεως τῶν ιβ' ζωδίων διαφοραί εἰσι τέσσαρες. Ἃ μὲν γὰρ αὐτῶν λέγεται κατὰ διάμετρον, ἃ δὲ κατὰ τρίγωνον, ἃ δὲ κατὰ τετράγωνον, ἃ δὲ κατὰ συζυγίαν, ὑπό τινων δὲ ἀντισυζυγίαν. A

Quoad ordinem autem et situm, quem inter se duodecim signa habent, sunt eorum quatuor differentiæ. Eorum enim quædam diametraliter opponuntur, quædam secundum triangulum distant, quædam secundum quadratum, quædam secundum combinationem, quam aliqui etiam oppositam combinationem vocant.

Κατὰ διάμετρον μὲν οὖν εἰσι ζώδια τὰ κατὰ τὴν αὐτὴν διάμετρον κείμενα. Ἔστι δὲ τάδε, Κριὸς, Ζυγὸς, Ταῦρος, Σκορπίος, Δίδυμοι, Τοξότης, Καρκίνος, Αἰγόκερως, Λέων, Ὑδροχόος, Παρθένος, Ἰχθύες. Συμβέβηκε δὲ τούτοις, ὅταν τὸ ἕτερον αὐτῶν ἀνατέλλῃ, τὸ κατὰ διάμετρον δύνειν, καὶ τοὐναντίον. Ὁ δὲ λόγος ἐπὶ τῶν δωδεκατημορίων, καὶ οὐκ ἐπὶ τῶν κατηστερισμένων ζωδίων. Κριοῦ μὲν γὰρ ἀνατέλλοντος, δύνει Ζυγός· Ταύρου δὲ ἀνατέλλοντος, δύνει Σκορπίος. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν τῶν κατὰ διάμετρον ζωδίων. Λαμβάνεται δὲ τὰ κατὰ διάμετρον ὑπὸ τῶν Χαλδαίων καὶ πρὸς τὰς ἐν ταῖς γενέσεσι συμπαθείας. Δοκοῦσι γὰρ οἱ κατὰ διάμετρον γενόμενοι συμπάσχειν ἀλλήλοις, καὶ, ὡς ἂν εἴποι τις, ἀντικεῖσθαι ἀλλήλοις. Καὶ τῶν ἀστέρων ἐποχαὶ ἐν τοῖς κατὰ διάμετρον ζωδίοις κατὰ τὸν αὐτὸν καιρὸν καὶ συνωφελοῦσι, καὶ συμβλάπτουσι τὰς γενέσεις κατὰ τὰς παραδεδομένας δυνάμεις τῶν ἀστέρων.

Ea igitur signa diametraliter opposita dicuntur, quæ secundum eamdem diametrum sunt posita. Sunt autem hæc : Aries, Libra, Taurus, Scorpius, Gemini, Sagittarius, Cancer, Capricornus, Leo, Aquarius, Virgo, Pisces. His autem contingit, cum alterutrum eorum oritur, occidere id quod est diametraliter oppositum, et contra. Hæc a nobis dicuntur de dodecatemoriis, non de stelliferis signis. Ariete enim oriente, occidit Libra. Tauro vero oriente, occidit Scorpius; eadem ratio est reliquorum diametraliter oppositorum signorum. Accipiuntur autem diametraliter opposita signa a Chaldæis etiam ad mutuas compassiones in nativitatibus. Videntur enim illi, qui in oppositis signis sunt nati, sibi invicem compati, et, ut dixerit aliquis, sibi invicem adversari. Et stellarum epochæ in signis diametraliter oppositis secundum idem tempus et una juvant, et una lædunt nativitates secundum traditas vires stellarum. B

Κατὰ τρίγωνον δέ ἐστι Κριὸς, Λέων, Τοξότης· Ταῦρος, Παρθένος, Αἰγόκερως· Δίδυμοι, Ζυγὸς, Ὑδροχόος· Καρκίνος, Σκορπίος, Ἰχθύες. Τὰ πάντα τρίγωνα ἰσόπλευρα τέτταρα. Ὑποτείνει δὲ ἡ τοῦ τριγώνου πλευρὰ ὑπὸ ζώδια μὲν τέτταρα, μοίρας δὲ ρκ'. C

Secundum triangulum autem posita signa sunt, Aries, Leo, Sagittarius : Taurus, Virgo, Capricornus : Gemini, Libra, Aquarius : Cancer, Scorpius, Pisces. Omnia triangula 5 æquilatera sunt quatuor : subtendit autem trianguli latus signa quatuor, gradus 120.

Καλεῖται δὲ τὸ μὲν πρῶτον τρίγωνον τὸ ἀπὸ Κριοῦ βόρειον. Ἐὰν γὰρ, τῆς σελήνης ἔν τινι τῶν τριῶν ζωδίων ὑπαρχούσης, βορέας πνεύσῃ, ἐπὶ πολλὰς ἡμέρας ἡ αὐτὴ διαμένει στάσις. Ὅθεν ἀπὸ ταύτης τῆς παρατηρήσεως ὁρμηθέντες οἱ ἀστρολόγοι προλέγουσι τὰς βορείας στάσεις. Ἐὰν μὲν γὰρ, ἐν ἄλλῳ ζωδίῳ τῆς σελήνης ὑπαρχούσης, βορεινὴ γένηται στάσις, εὐδιάλυτος γίνεται ὁ βορέας· ἐὰν δὲ ἔν τινι τῶν ἀφωρισμένων ζωδίων ἐν τῷ βορεινῷ τριγώνῳ βορέας συμπνεύσῃ, προλέγουσιν ἐπὶ πολλὰς ἡμέρας διαμένειν τὴν αὐτὴν σύστασιν. Τὸ δὲ ἑξῆς τρίγωνον τὸ ἀπὸ τοῦ ταύρου καλεῖται νότιον. Πάλιν γὰρ ἐὰν, τῆς σελήνης ἔν τινι τῶν τριῶν ζωδίων ὑπαρχούσης, D

Vocatur autem primum triangulum boreale. Si enim luna in uno trium signorum primi trianguli posita, ventus boreas spiraverit : per dies multos eadem permanet constitutio. Unde astrologi, cum ab hac observatione initium habeant, boreæ constitutiones prædicunt. Nam si in alio quodam signo luna constituta, exstiterit constitutio borealis, facile boreas dissolvitur; at si una spiraverit boreas in uno eorum signorum, quæ in boreali triangulo continentur, prædicunt per dies multos eamdem permanere constitutionem. Proximum triangulum, quod a Tauro incipit, nominatur australe. Contra enim, si in uno horum trium signorum luna constet, quod uni signo, vel tribus, vel quinque subtenditur. Habent tamen λόγον, nec sunt ἀσύνδετα signa, quæ se hoc modo respiciunt, ut auctor est Ptolem. lib. 1 *Tetrab.* Sed schematismus non est. Pro eo mathematici τὸ καθ' ἑξάγωνον σχῆμα substituunt, cujus latus signis duobus et gradibus sexaginta subtenditur. Vide præter citatos auctores, Manilium et Paulum Alexandrinum. Κατὰ συζυγίαν signa sunt, quæ ex eodem loco oriuntur, et in eodem occidunt : ita tamen ut ἐναλλὰξ initia eorum ac termini procedant.

(9) *Τῆς δὲ πρὸς ἄλληλα τάξεως.* Quatuor habitudines, sive conspectus signorum explicat, qui vim aliquam in ματαιοτεχνίᾳ genethliacorum sortita putantur. Primus est κατὰ διάμετρον, quæ sex signa subtendit, ut Aries, et Libra. Secundus κατὰ τρίγωνον, cujus latus quatuor signa subtendit, ut Aries, Leo, Sagittarius trigonum efficiunt. Tertius est κατὰ τετράγωνον, quadrantalis, cujus latus gradibus 90, signis tribus subtenditur. Sic Aries, Cancer, Libra, Capricornus quadrangulum faciunt. Quartus est κατὰ συζυγίαν, atque hic duorum signorum est, quæ a punctis tropicis ex æquo removentur, ut Cancer, et Gemini : Capricornus, Sagittarius, quæ sunt βλέποντα Ptolemæi, et antiscia Julii Firmici. Hoc genus separatim a primis quatuor ab illis ponitur. Nam is proprie σχηματισμὸς non est, hoc est figuram in circulo integram non facit, sed schemata illud, quod e manuscripto codice repræsentavimus, solos e diametro, et κατὰ τρίγωνον aspectus exhibet : quadrantales, et hexagonos non continet. Ideo nos alterum hoc loco subjecimus, in quo schematismi quatuor apparent.

Digitized by Google

stituta auster flaverit, per dies multos eadem permanet constitutio. Proximum triangulum, quod a Geminis inchoatur, vocatur zephyricum similem ob causam. Postremum triangulum, quod a Cancro initium habet, dicitur subsolanum propter eamdem causam.

Usurpantur autem etiam hæc triangula ad inveniendas compassiones, quæ in nativitatibus spectantur. Videntur enim, qui secundum idem triangulum nascuntur, sibi invicem compati : et stellarum constitutiones, quæ sunt in iisdem triangulis, simul et adjuvare et lædere nativitates. Nam compassiones fiunt tribus modis, secundum diametrum, secundum triangulum, secundum quadratum. Sed secundum aliam distantiam nulla fit compassio; atqui consentaneum erat, ut ex signis maxime vicinis compassio fieret. Delatio enim et defluxus, qui fertur a propria vi singularum stellarum, debebat maxime concorporari, et commisceri cum vicinis signis. Ut enim triangula et quadrata inscribuntur circulo : sic etiam hexagonum, et octagonum, et dodecagonum. At secundum horum inscriptiones nulla fit compassio : tantum ea fit secundum prædictos modos, cum in hujusmodi distantiis naturalis quædam sit compassio.

A νότος πνεύσῃ, ἐπὶ πολλὰς ἡμέρας ἡ αὐτὴ διαμένει στάσις. Τὸ δὲ ἑξῆς τρίγωνον τὸ ἀπὸ τῶν Διδύμων καλεῖται ζεφυρικὸν διὰ τὴν ὁμοίαν αἰτίαν· τὸ δὲ ἐπὶ πᾶσι τρίγωνον, τὸ ἀπὸ Καρκίνου, ἀφηλιωτικὸν διὰ τὴν αὐτὴν αἰτίαν.

Λαμβάνεται δὲ τὰ τρίγωνα καὶ πρὸς τὰς ἐν ταῖς γενέσεσι συμπαθείας. Δοκοῦσι γὰρ οἱ κατὰ τρίγωνον γεννώμενοι συμπαθεῖν ἀλλήλοις, καὶ αἱ τῶν ἀστέρων στάσεις αἱ ἐν τοῖς αὐτοῖς τριγώνοις καὶ συνωφελεῖν, καὶ συμβλάπτειν ἅμα τὰς γενέσεις. Κατὰ γὰρ τρεῖς τρόπους αἱ συμπάθειαι γίνονται, κατὰ διάμετρον, κατὰ τρίγωνον, κατὰ τετράγωνον. Κατὰ ἄλλην δὲ διάστασιν οὐδεμία συμπάθεια γίνεται. Καίτοι εὔλογον ἦν, ἐκ τῶν μάλιστα σύνεγγυς συγκειμένων ζωδίων συμπάθειαν γίνεσθαι. Ἡ γὰρ ἀποφορὰ καὶ ἀπόρροια, ἡ φερομένη ἀπὸ τῆς ἰδίας δυνάμεως ἑκάστου τῶν B ἀστέρων, ὤφειλε μάλιστα συναναχρωτίζεσθαι καὶ συνανακιρνᾶσθαι τοῖς πλησιάζουσι ζωδίοις. Ὥσπερ γὰρ τὰ τρίγωνα καὶ τετράγωνα ἐγγράφεται εἰς τὸν κύκλον, οὕτω καὶ ἑξάγωνον, καὶ ὀκτάγωνον, καὶ δωδεκάγωνον. Ἀλλὰ κατὰ μὲν τὰς τούτων ἐγγραφὰς οὐδεμία γίνεται συμπάθεια· κατὰ δὲ τοὺς προειρημένους τρόπους μόνον, φυσικῆς τινος ὑπαρχούσης ἐν ταῖς τοιαύταις ἀποστάσεσι συμπαθείας.



Digitized by Google

Κατὰ τετράγωνον δέ ἐστι· Κριὸς, Καρκίνος, Ζυγὸς, Αἰγόκερως· Ταῦρος, Λέων, Σκορπίος, Ὑδροχόος· Δίδυμοι, Παρθένος, Τοξότης, Ἰχθύες. Τὰ πάντα τετράγωνα τρία. Ὑποτείνει δὲ ἡ τοῦ τετραγώνου πλευρὰ ὑπὸ ζώδια μὲν τρία, μοίρας δὲ ϟ'. Καλεῖται μὲν τὸ πρῶτον τετράγωνον τὸ ἀπὸ τοῦ Κριοῦ, ἐν ᾧ αἱ ὧραι ἄρχονται, ἔαρ, θέρος, φθινόπωρον, χειμών· τὸ δεύτερον τετράγωνον τὸ ἀπὸ τοῦ Ταύρου, ἐν ᾧ αἱ ὧραι τὸν μέσον ἔχουσι χρόνον, ἔαρος, θέρους, φθινοπώρου, χειμῶνος· τὸ δὲ τρίτον τετράγωνον τὸ ἀπὸ τῶν Διδύμων, ἐν ᾧ αἱ ὧραι λήγουσι κατὰ τοὺς χρόνους. Λαμβάνεται δὲ τὸ τετράγωνον ἓν, καθάπερ [13] εἴρηται, καὶ πρὸς τὰς ἐν ταῖς γενέσεσι συμπαθείας.

A Secundum quadratum posita signa sunt hæc : Aries, Cancer, Libra, Capricornus : Taurus, Leo, Scorpius, Aquarius : Gemini, Virgo, Sagittarius, Pisces. Omnia quadrata sunt tria. Subtendit autem latus quadrati signa tria, gradus 90. Vocatur primum quadratum, quadratum ab Ariete inceptum, in quo horæ seu quatuor partes anni incipiunt, ver, æstas, autumnus, hiems; secundum quadratum nominatur quadratum a Tauro inchoatum, in quo horæ habent medium tempus veris, æstatis, autumni, hiemis; tertium quadratum dicitur quadratum a Geminis inceptum, in quo horæ secundum tempora desinunt. Usurpatur autem unum idemque quadratum, ut dictum est, etiam ad inveniendas compassiones, quæ in nativitatibus spectantur.

B

Ἔτι δὲ ἡ τῶν τετραγώνων ἔκθεσις, καὶ πρός τινα ἄλλην χρείαν λαμβάνεται ὑπό τινων. Τοῦ γὰρ ἑνὸς αὐτῶν ὑπὸ τοῦ αὐτοῦ τετραγώνου δύνοντος, τὸ ἑξῆς ὑπελάμβανον μεσουρανεῖν ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ· οἷον, Αἰγόκερω δύνοντος, μεσουρανεῖν Κριὸν, ἀνατέλλειν δὲ Καρκίνον, καὶ μεσουρανεῖν δὲ ὑπὸ γῆν Ζυγόν. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν τετραγώνων ἐστί. Τὸ δὲ τοιοῦτον παράγγελμα ἐπὶ μὲν τοῦ ἑνὸς τετραγώνου, τοῦ τὰς τροπὰς καὶ τὰς ἰσημερίας περιέχοντος, κατὰ τὸ ὁλοσχερὲς λεγόμενον συμφωνήσει πρὸς τὸ φαινόμενον· πρὸς δὲ τὴν ἐν τῷ ὅλῳ ἀκρίβειαν διαφωνεῖ. Αἰγόκερω γὰρ τῆς πρώτης μοίρας δυνούσης, Κριοῦ πρώτη μοῖρα μεσουρανήσει· Καρκίνος δὲ πρώτη μοίρα ἀνατέλλει· Ζυγὸς δὲ πρώτη μοίρα ὑπὸ γῆν μεσουρανήσει. Τότε γὰρ ὁ διὰ μέσων τῶν ζωδίων κύκλος εἰς τέσσαρα μέρη ἴσα διαιρεῖται ὑπὸ τῶν κολούρων κύκλων· ὥστε ἴσον εἶναι τὸ ἀπὸ τῆς μεσουρανήσεως πρὸς ἀνατολὴν καὶ δύσιν τοῦ ζωδιακοῦ διάστημα· ἑκάτερον γὰρ αὐτῶν γίνεται ζωδίων τριῶν. Ἐν δὲ ταῖς λοιπαῖς στάσεσι τοῦ τετραγώνου τούτου καὶ τῶν λοιπῶν οὐ συμβαίνει εἰς δ' μέρη ἴσα διαιρεῖσθαι τὸν ζωδιακὸν κύκλον. Διὰ δὲ τοῦτο οὐκ ἔστι διὰ παντὸς ἴσον τὸ ἀπὸ τῆς μεσουρανήσεως πρὸς ἀνατολὴν καὶ πρὸς τὴν δύσιν διάστημα, ἐπὶ τοῦ ζωδιακοῦ κύκλου λαμβανομένων τῶν διαστημάτων. Κατὰ μὲν γὰρ παράλληλον κύκλον, ἴσον ἐστὶ διὰ παντὸς τὸ ἀπὸ τῆς μεσουρανήσεως πρὸς ἀνατολὴν καὶ πρὸς τὴν δύσιν διάστημα. Ὅθεν καὶ τῷ ἡλίῳ φερομένῳ καθ' ἑκάστην ἡμέραν ἐπὶ κύκλων παραλλήλων, ἴσον εἶναι συμβαίνει τὸν ἀπὸ τῆς ἀνατολῆς μέχρι τῆς μεσουρανήσεως δρόμον τοῦ ἀπὸ τῆς μεσουρανήσεως μέχρι δύσεως. Ἐπὶ δὲ τοῦ ζωδιακοῦ κύκλου λαμβανομένων τῶν διαστημάτων, ἄνισον εἶναι συμβέβηκε τὸ ἀπὸ τῆς μεσουρανήσεως μέχρι τῆς ἀνατολῆς διάστημα τῷ ἀπὸ τῆς μεσουρανήσεως μέχρι τῆς δύσεως διὰ τὴν λοξότητα τοῦ ζωδιακοῦ. Καὶ ἔστιν ὅτε τῶν ἓξ ζωδίων τῶν διὰ παντὸς ὑπὲρ γῆν ὄντων τρία μὲν καὶ ἥμισυ ἀπὸ τῆς μεσουρανήσεως πρὸς ἀνατολὴν ἀπολαμβάνεται, δύο δὲ καὶ ἥμισυ πρὸς δύσιν.

C

D

6 Præterea quadratorum doctrina etiam ad alium quemdam usum a quibusdam accipitur. Nam uno eorumdem signorum, quæ sunt in eodem quadrato, occidente, proximum putabant tenere medium cœli in superiore hemisphærio. Ut Capricorno occidente, tenere medium cœli Arietem, oriri Cancrum, tenere imum cœli Libram. Eadem est ratio in reliquis quadratis. Hoc præceptum cum integre dicitur, tantum in uno quadrato, quod in se continet puncta solstitialia et æquinoctialia, congruet cum eo quod apparet : at dissentit si totum hoc quadratum subtiliter consideretur. Capricorni enim primo gradu occidente, Arietis primus gradus medium cœli tenebit : Cancer suo primo gradu orietur : Libra vero suo primo gradu imum cœli occupabit. Tunc enim ecliptica in quatuor partes æquales dividitur a coluris circulis : ut intervallum zodiaci, quod est a medio cœli ad ortum, sit æquale intervallo zodiaci, quod est a medio cœli ad occasum; utrumque enim horum intervallorum tria continet signa. At in reliquis statibus hujus quadrati, et aliorum quadratorum non contingit in quatuor partes æquales zodiacum circulum dividi. Ac propterea intervallum a medio cœli ad ortum non semper est æquale intervallo a medio cœli ad occasum, cum hæc intervalla, seu arcus, in zodiaco sumuntur. At si hæc intervalla in parallelo aliquo circulo sumuntur, semper id quod est a medio cœli ad ortum est æquale ei, quod est a medio cœli ad occasum. Unde fit ut, cum sol quotidie in parallelis circulis feratur, habeat cursum, qui est ab ortu ad medium cœli, æqualem ei cursui qui est a medio cœli usque ad occasum. Cum vero in zodiaco hæc intervalla sumuntur, contingit ut id intervallum, quod est a medio cœli ad ortum, sit inæquale ei intervallo, quod est a medio cœli ad occasum, idque propter obliquitatem zodiaci, ac interdum ex illis sex signis, quæ semper sunt supra horizontem, tria, et dimidium a medio cœli versus ortum intercipiuntur, duo et dimidium versus occasum.

[13] γρ. δὲ τετράγωνα καθάπερ.

Digitized by Google



Jam propter climatum differentias etiam in partes magis inæquales dividitur zodiacus a meridiano, et interdum de 180 gradibus, qui semper sunt supra horizontem, 120 gradus a medio cœli versus ortum intercipiuntur : 60 vero gradus versus occasum, et contra. Cum igitur in divisione zodiaci talis sit varietas, omnino manifestum fit erratum. Cum enim Aquarius oritur, non tenet medium cœli Taurus, sed toto signo a medio cœli aberit interdum etiam longius. Neque imum cœli habebit Scorpius : sed idem a meridiano integro signo distabit, interdum etiam longius. Itaque hæc secundum quosdam quadratorum doctrina omnino est falsa.

A Ἤδη δὲ παρὰ τὰς τῶν κλιμάτων διαφορὰς καὶ εἰς ἀνισώτερα μέρη διαιρεῖται ὑπὸ τοῦ μεσημβρινοῦ κύκλου. Καὶ ἔστιν ὅτε τῶν ρπ' μοιρῶν τῶν διὰ παντὸς ὑπὲρ τὸν ὁρίζοντα ὑπαρχουσῶν ρ' μὲν καὶ κ' μοῖραι ἀπὸ τῆς μεσουρανήσεως πρὸς ἀνατολὴν ἀπολαμβάνονται, ξ' δὲ πρὸς δύσιν, καὶ τοὐναντίον. Τοιαύτης οὖν οὔσης τῆς παραλλαγῆς ἐν τῇ διαιρέσει τοῦ ἐωδιακοῦ κύκλου, ἔκδηλον ὁλοσχερῶς γίνεται τὸ ἁμάρτημα. Ὑδροχόου γὰρ ἀνατέλλοντος, οὐ μεσουρανεῖ Ταῦρος, ἀλλ' ἀφέξει ζώδιον ὅλον ἀπὸ τῆς μεσουρανήσεως· ἔστι δὲ ὅτε καὶ πλέον. Οὐδὲ ὑπὸ γῆν μεσουρανήσει Σκορπίος· ἀλλὰ ζώδιον ὅλον ἀφέξει ἀπὸ τοῦ μεσημβρινοῦ· ἔστι δὲ ὅτε καὶ πλεῖον. Ὥστε καθόλου τὴν τῶν τετραγώνων ἔκθεσιν διημαρτῆσθαι.

Secundum combinationem posita signa ea dicuntur, quæ ex eodem loco oriuntur, et in eumdem locum occidunt. Hæc autem sunt, quæ inter eosdem sita sunt parallelos circulos. Veteres quidem combinationes signorum sic exponebant : Cancrum docuerunt nullam habere combinationem cum alio signo : sed et oriri maxime borealem, et occidere maxime borealem, cum in tali aliquo argumento probabili acquiescerent. Cum enim æstiva solstitia fiant in Cancro, et in æstivis solstitiis sol maxime borealis fiat, ob hoc putarunt maxime borealem oriri Cancrum, similiter et occidere. Eadem autem ratio est etiam in Capricorno. Etenim hunc putabant maxime australem oriri, et cum nullo alio signo combinationem habere. Cum enim hiberna

B Κατὰ συζυγίαν δὲ λέγεται ζώδια τὰ ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλοντα, καὶ εἰς τὸν αὐτὸν τόπον δύνοντα. Ταῦτα δέ ἐστι τὰ ὑπὸ τῶν αὐτῶν παραλλήλων παραλαμβανόμενα [14] κύκλων. Οἱ μὲν οὖν ἀρχαῖοι τὰς συζυγίας ἀπεφαίνοντο οὕτως· Καρκίνον μὲν ἐξετίθεντο μηδεμίαν ἔχειν συζυγίαν πρὸς ἄλλο ζώδιον· ἀλλὰ καὶ ἀνατέλλειν βορειότατον, καὶ δύνειν βορειότατον, τοιούτῳ τινὶ πιθανῶς προσαναπαυόμενοι. Ἐπεὶ γὰρ αἱ θερινὰ τροπαὶ γίνονται ἐν Καρκίνῳ, ἐν δὲ ταῖς θερινὰῖς τροπαῖς βορειότατος γίνεται ὁ ἥλιος, διὰ τοῦτο ὑπέλαβον βορειότατον ἀνατέλλειν τὸν Καρκίνον· ὁμοίως δὲ καὶ δύνειν. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ Αἰγόκερω. Καὶ γὰρ τοῦτον ὑπελάμβανον νοτιώτατον ἀνατέλλειν, καὶ πρὸς μηδὲν ἕτερον ζώδιον συζυγίαν ἔχειν. Ἐπεὶ γὰρ αἱ τροπαὶ χειμεριναὶ γίνονται ἐν

[14] *f* περιλαβ.

Digitized by Google

Αἰγόκερῳ, ἐν δὲ ταῖς χειμεριναῖς τροπαῖς νοτιώτατος γίνεται ὁ ἥλιος· διὰ τοῦτο ὑπελάμβανον νοτιώτατον ἀνατέλλειν τὸν Αἰγόκερων, καὶ μηδὲν ἄλλο ζῴδιον ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλειν καὶ δύνειν Αἰγόκερῳ. Τὰς δὲ λοιπὰς συζυγίας ἐξετίθεντο οὕτως· Διδύμοις Λέοντα, Ταύρῳ Παρθένον, Κριῷ Ζυγὸν, Ἰχθύσι Σκορπίον, Ὑδροχόῳ Τοξότην. Τὴν δὲ τοιαύτην ἔκθεσιν παντελῶς διημαρτημένην εἶναι συμβέβηκεν. Οὔτε γὰρ ἐν ὅλῳ τῷ Καρκίνῳ τροπαὶ γίνονται· ἀλλ' ἔστιν ἔν τι σημεῖον λόγῳ θεωρητὸν, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὴν τροπὴν ποιεῖται. Ἐν γὰρ στιγμιαίῳ χρόνῳ αἱ τροπαὶ γίνονται. Τὸ δὲ ὅλον δωδεκατημόριον τοῦ Καρκίνου ὁμοίως κεῖται τοῖς Διδύμοις, καὶ ἑκάτερον αὐτῶν ἴσον ἀπέχει ἀπὸ τοῦ θερινοῦ τροπικοῦ σημείου. Δι' ἣν αἰτίαν καὶ τὰ μεγέθη τῶν ἡμερῶν καὶ νυκτῶν ἴσα ἐστὶν ἐν Διδύμοις καὶ ἐν Καρκίνῳ· καὶ ἐν τοῖς ὡροσκοπείοις αἱ ὑπὸ τῶν γνωμόνων γραφόμεναι γραμμαὶ ἴσον ἀπέχουσι τοῦ θερινοῦ τροπικοῦ σημείου (10) καὶ ἐν Καρκίνῳ καὶ ἐν Διδύμοις. Ἐξ ἴσου γὰρ κεῖνται πρὸς τὸ θερινὸν σημεῖον τὰ δύο δωδεκατημόρια. Ὅθεν καὶ ὑπὸ τῶν αὐτῶν παραλλήλων ἐμπεριλαμβάνεται κύκλων, διά τε τοῦτο ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλουσι Δίδυμοι, Καρκίνος, ὁμοίως τε δύνουσιν εἰς τὸν αὐτὸν τόπον.

Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ Αἰγόκερω. Οὔτε γὰρ οὗτός ἐστι νοτιώτατος· ἀλλ' ἔν τι σημεῖον λόγῳ θεωρητόν· ὃ κοινόν ἐστι τῆς τε τοῦ Τοξότου τελευτῆς καὶ τῆς τοῦ Αἰγόκερω ἀρχῆς. Διὸ ἐξ ἴσου κεῖται τῷ τοξότῃ, καὶ τὴν αὐτὴν ἀπόστασιν ἔχει ἀπὸ τοῦ χειμερινοῦ τροπικοῦ σημείου. Ὅθεν καὶ τὰ μεγέθη τῶν ἡμερῶν καὶ τῶν νυκτῶν τὰ αὐτά ἐστιν ἐν τῷ Τοξότῃ καὶ ἐν τῷ Αἰγόκερῳ, καὶ τὸ ἄκρον τοῦ γνώμονος ἐν τοῖς ὡρολογίοις τὰς αὐτὰς γράφει γραμμὰς, καὶ ὑπὸ τῶν αὐτῶν παραλλήλων ἐμπεριλαμβάνεται κύκλων τὰ δύο δωδεκατημόρια τοῦ Τοξότου τε καὶ Αἰγόκερω· καὶ διὰ τοῦτο ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλει, καὶ εἰς τὸν αὐτὸν τόπον δύνει Τοξότης καὶ Αἰγόκερως.

Ὁμοίως δὲ καὶ τὰς λοιπὰς συζυγίας διημαρτημένας εἶναι συμβέβηκεν. Ἐκδηλότατον δὲ γίνεται ἁμάρτημα περὶ τὴν συζυγίαν τοῦ Κριοῦ. Ἀποφαίνονται γὰρ κατὰ συζυγίαν Κριὸν, Ζυγὸν, ὡς τούτων τῶν ζῳδίων ἐκ τοῦ αὐτοῦ τόπου ἀνατελλόντων, καὶ εἰς τὸν αὐτὸν τόπον δυνόντων. Ἀλλ' ὁ μὲν Κριὸς βόρειος ἀνατέλλει, καὶ δύνει· ἐκ τοῦ γὰρ ἰσημερινοῦ κύκλου πρὸς ἄρκτους κεῖται· ὁ δὲ Ζυγὸς νότιος ἀνατέλλει· ἐκ γὰρ τοῦ ἰσημερινοῦ κύκλου πρὸς μεσημβρίαν κεῖται. Πῶς οὖν δύναται Κριὸς Ζυγῷ κατὰ συζυγίαν εἶναι; ἐκ διαφόρων γὰρ τόπων ἀνατέλλουσι, ὁμοίως δὲ καὶ δύνουσιν. Οὐ δύναται δὲ ταῦτα τὰ ζῴδια ὑπὸ τῶν αὐτῶν παραλλήλων περιέχεσθαι κύκλων. Ὁμοίως δὲ οὐδὲ αἱ λοιπαὶ συζυγίαι συμφωνοῦσιν. Ἠγνοήκασιν οὖν τὰ περὶ τὰς πρώτας μοίρας συμβεβηκότα τοῖς κατὰ συζυγίας ζῳδίοις περὶ ὅλα τὰ ζῴδια ἐκθέμενοι. Πολλῷ γὰρ μᾶλλον ἔδει τὰ ὅλοις [15] τοῖς δωδεκατημο-

solstitia fiant in Capricorno, in solstitiis vero hibernis maxime australis sol fiat : ob hoc putabant maxime australem oriri Capricornum, et nullum aliud signum ex eodem loco oriri, et in eumdem locum occidere cum Capricorno. Reliquas combinationes sic exponebant, attribuentes Geminis Leonem, Tauro Virginem, Arieti Libram, Piscibus Scorpium, Aquario Sagittarium. At talem expositionem omnino esse erroneam contingit. Neque enim in toto Cancro solstitia fiunt : sed est unum quoddam signum ratione percipiendum, in quo sol positus solstitium efficit. In momento enim temporis conversiones, sive solstitia fiunt : at totum signum Cancri positione simile est Geminis, et utrumque eorum æqualiter distat ab æstivo puncto solstitiali : ob quam causam etiam magnitudines dierum et noctium æquales sunt in Geminis et in Cancro : et in instrumentis horariis lineæ a gnomonibus descriptæ æqualiter distant ab æstivo puncto solstitiali, cum in Cancro, tum in Geminis. Nam ad æstivum hoc punctum æqualem situm habent hæc duo signa. Unde etiam inter eosdem 7 circulos parallelos sunt sita : et ob hoc ex eodem loco oriuntur Gemini, Cancer, similiter et occidunt in eumdem locum.

Eadem est ratio etiam in Capricorno. Neque enim hic est maxime australis, sed unum aliquod punctum ratione percipiendum, quod commune est et fini Sagittarii, et principio Capricorni : quam ob causam similem situm habet cum Sagittario et eamdem habet distantiam ab hiberno puncto solstitiali. Unde etiam magnitudines dierum et noctium eædem sunt in Sagittario et Capricorno : et extremitas gnomonis in instrumentis horariis easdem describit lineas, et inter eosdem parallelos circulos sita sunt hæc duo dodecatemoria cum Sagittarii, tum Capricorni : atque ob hoc ex eodem loco oriuntur, et in eumdem locum occidunt Sagittarius, et Capricornus.

Similiter vero et reliquas combinationes erroneas esse contingit. Manifestissimus enim fit error in combinatione Arietis. Affirmant enim combinationem inter se habere Arietem, et Libram, quasi hæc signa ex eodem loco oriantur, et in eumdem locum occidant. Atqui Aries quidem borealis oritur, et occidit, nam ab æquinoctiali versus hoream situs est. Libra vero australis oritur, et occidit, ab æquinoctiali enim versus meridiem est sita. Quomodo igitur Aries cum Libra potest habere combinationem? hæc enim signa ex diversis locis oriuntur, et similiter in diversa loca occidunt. Nec possunt hæc signa ab iisdem parallelis comprehendi. Similiter neque reliquæ combinationes bene se habent. Non enim animadverterunt veteres, se ea, quæ tantum circa primas partes eorum signis combinatoriis contigerunt, totis

[15] *γρ.* ὅλα.

(10) Abest vox σημείου a veteribus.

Digitized by Google

signis tribuere. Multo enim magis oportuisset ea, quæ totis signis acciderunt, ad doctrinam et præcepta referre.

Sunt igitur secundum veritatem sex combinationes : Gemini Cancro, Taurus Leoni, Aries Virgini, Pisces Libræ, Aquarius Scorpio, Capricornus Sagittario. Hæc enim et ex eodem loco oriuntur, et in eumdem locum occidunt, et ab iisdem parallelis comprehenduntur, et similem situm habent ad solstitialia puncta. In his enim magnitudines dierum et noctium æquales sunt, et extremitates gnomonum in instrumentis horariis easdem lineas describunt.

CAPUT II.

De signis quæ stellis sunt insignita, seu de constellationibus.

Constellata astra in tres partes dividuntur. Eorum enim quædam in zodiaco circulo sunt sita, quædam dicuntur borealia, quædam vocantur australia.

Quæ igitur in zodiaco ponuntur, ea sunt duodecim signa, quorum appellationes antea diximus. In duodecim autem signis quædam stellæ dignæ habitæ sunt propriis appellationibus, idque propter significationes quas habent. Nam in dorso Tauri positæ stellæ numero sex vocantur pleiades.

In fronte Tauri positæ stellæ numero quinque nominantur hyades ; quæ stella præcedit pedes Geminorum, vocatur propus ; quæ vero in Cancro nebulosæ stellarum congregationi similes sunt, vocantur præsepe ; duæ stellæ præsepi vicinæ vocantur asini ; stella lucida, quæ est in corde Leonis sita, cognominis illi loco, in quo posita est, cor Leonis appellatur, ab aliquibus basiliscus, seu regulus nominatur ; eo quod hi qui circa hunc locum nascuntur, regiam videantur habere nativitatem.

At stella splendida, quæ in sinistra manu Virginis ponitur, spica vocatur : at ea stellula, quæ apud dextram Virginis alam ponitur, vindemiator appellatur, quatuor stellæ, quæ in extrema dextra manu Aquarii sunt sitæ, nominantur urna.

Stellæ quæ ab extremis partibus Piscium continuo sunt positæ, appellantur lineæ. Sunt autem in australi linea stellæ novem, in borea linea stellæ quinque, stella vero splendida, quæ in extrema linea ponitur, nodus appellatur.

Borealia vero signa sunt, quæ extra zodiacum circulum versus Ursas sita sunt. Et sunt hæc :

ρίοις συμβεβηκότα εἰς ἀναγραφὴν καὶ παραγγέλματα ἀγαγεῖν.

Εἰσὶν οὖν κατ᾽ ἀλήθειαν συζυγίαι ἕξ. Δίδυμοι Καρκίνῳ, Ταῦρος Λέοντι, Κριὸς Παρθένῳ, Ἰχθύες Ζυγῷ, Ὑδροχόος Σκορπίῳ, Αἰγόκερως Τοξότῃ · ταῦτα γὰρ καὶ ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλει, καὶ εἰς τὸν αὐτὸν τόπον δύνει, καὶ ὑπὸ τῶν αὐτῶν ἐμπεριλαμβάνεται παραλλήλων κύκλων, καὶ ἐξ ἴσου κεῖται πρὸς τὰ τροπικὰ σημεῖα. Ἐν τούτοις γὰρ τὰ μεγέθη τῶν ἡμερῶν καὶ τῶν νυκτῶν ἴσα, καὶ τὰ ἄκρα τῶν γνωμόνων ἐν τοῖς ὡρολογίοις τὰς αὐτὰς γράφει γραμμάς.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν κατηστερισμένων [16] ζωδίων.

Τὰ κατηστερισμένα ἄστρα διαιρεῖται εἰς μέρη τρία. Ἃ μὲν γὰρ αὐτῶν ἐπὶ τοῦ ζωδιακοῦ κύκλου κεῖται · ἃ δὲ λέγεται βόρεια · ἃ δὲ προσαγορεύεται νότια.

Τὰ μὲν οὖν ἐπὶ τοῦ ζωδιακοῦ κύκλου κείμενά ἐστι τὰ δώδεκα ζώδια, ὧν τὰς ὀνομασίας προειρήκαμεν. Καὶ ἐν τοῖς δώδεκα ζωδίοις τινὲς ἀστέρες, διὰ τὰς ἐπ᾽ αὐτοῖς γινομένας ἐπισημασίας, ἰδίας προσηγορίας ἠξιωμένοι εἰσίν. Οἱ μὲν γὰρ ἐπὶ τοῦ Ταύρου ἐπὶ τοῦ νώτου αὐτοῦ κείμενοι ἀστέρες τὸν ἀριθμὸν ἓξ, καλοῦνται πλειάδες.

Οἱ δὲ ἐπὶ τοῦ βουκράνου τοῦ Ταύρου κείμενοι ἀστέρες τὸν ἀριθμὸν πέντε, καλοῦνται ὑάδες · ὁ δὲ προηγούμενος τῶν ποδῶν τῶν Διδύμων ἀστὴρ, προσαγορεύεται πρόπους · οἱ δὲ ἐν τῷ Καρκίνῳ νεφελοειδεῖ συστροφῇ ἐοικότες, καλοῦνται φάτνη · οἱ δὲ πλησίον αὐτῆς δύο ἀστέρες κείμενοι, ὄνοι προσαγορεύονται. Ὁ δὲ ἐν τῇ καρδίᾳ τοῦ Λέοντος κείμενος ἀστὴρ λαμπρὸς, ὁμωνύμως τῷ τόπῳ, ἐφ᾽ ᾧ κεῖται, καρδία Λέοντος προσαγορεύεται, ὑπὸ δέ τινων βασιλίσκος καλεῖται · ὅτι δοκοῦσιν οἱ περὶ τὸν τόπον τοῦτον γεννώμενοι βασιλικὸν ἔχειν τὸ γενέθλιον.

Ὁ δὲ ἐν ἄκρᾳ τῇ ἀριστερᾷ χειρὶ τῆς Παρθένου κείμενος λαμπρὸς ἀστὴρ, στάχυς προσαγορεύεται · ὁ δὲ παρὰ τὴν δεξιὰν τῆς Παρθένου πτέρυγα κείμενος ἀστερίσκος, προτρυγητὴρ ὀνομάζεται · οἱ δὲ ἐν ἄκρᾳ τῇ δεξιᾷ χειρὶ κείμενοι τοῦ Ὑδροχόου τέσσαρες ἀστέρες, κάλπεις καλοῦνται.

Οἱ δὲ ἀπὸ τῶν οὐραίων μερῶν τῶν ἰχθύων κατὰ τὸ ἑξῆς κείμενοι ἀστέρες, λίνοι προσαγορεύονται. Εἰσὶ δὲ ἐν μὲν τῷ νοτίῳ λίνῳ ἀστέρες ἐννέα, ἐν δὲ τῷ βορείῳ λίνῳ ἀστέρες πέντε. Ὁ δὲ ἐν ἄκρῳ τῷ λίνῳ κείμενος λαμπρὸς ἀστὴρ, σύνδεσμος προσαγορεύεται.

Βόρεια δέ ἐστιν (11), ὅσα τοῦ τῶν ζωδίων κύκλου πρὸς ἄρκτους κεῖται. Ἔστι δὲ τάδε · ἡ μεγάλη Ἄρ-

[16] *γρ.* κατεστηριγμένων.

(11) *Βόρεια δέ ἐστιν.* Asterismos, stellasve boreales, vel australes, percenset ratione zodiaci circuli, non æquinoctialis, ex quo confirmari potest, quod contra Scaligerum docuimus libro III, ante Ptolemæi tempora, astronomos in stellarum latitudinibus designandis non solum æquinoctialis circuli, sed etiam zodiaci rationem duxisse.

Digitized by Google

κτος, ἡ μικρὰ, Δράκων ὁ διὰ τῶν ἄρκτων, Ἀρκτοφύλαξ, Στέφανος, Ἐνγόνασιν, Ὀφιοῦχος, Ὄφις, Λύρα, Ὄρνις, Ὀϊστὸς, Ἀετὸς, Δελφὶς, προτομὴ ἵππου, καθ' Ἵππαρχον Ἵππος, Κηφεὺς, Κασσιόπεια, Ἀνδρομέδα, Περσεὺς, Ἡνίοχος, Δελτωτὸν, καὶ ὁ ὕστερον κατηστερισμένος ὑπὸ Καλλιμάχου Βερενίκης πλόκαμος.

Πάλιν δὲ καὶ ἐν τούτοις ἀστέρες τινὲς ἰδίας ἔχουσι προσηγορίας διὰ τὰς ὁλοσχερεῖς ἐπ' αὐτοῖς γινομένας ἐπισημασίας. Ὁ μὲν γὰρ ἀνὰ μέσον τῶν σκελῶν τοῦ Ἀρκτοφύλακος κείμενος ἀστὴρ ἐπίσημος, Ἀρκτοῦρος ὀνομάζεται· ὁ δὲ παρὰ τὴν Λύραν κείμενος λαμπρὸς ἀστὴρ, ὁμωνύμως ὅλῳ τῷ ζωδίῳ Λύρα προσαγορεύεται· οἱ δὲ ἐν ἄκρᾳ τῇ ἀριστερᾷ χειρὶ τοῦ Περσέως κείμενοι ἀστέρες Γοργόνων καλοῦνται· οἱ δὲ ἐν ἄκρᾳ τῇ δεξιᾷ χειρὶ τοῦ Περσέως κείμενοι ἀστερίσκοι πυκνοὶ καὶ μικροὶ, εἰς τὴν Ἅρπην καταστερίζονται· ὁ δὲ ἐν τῷ εὐωνύμῳ ὤμῳ τοῦ Ἡνιόχου κείμενος λαμπρὸς ἀστὴρ, Αἴξ προσαγορεύεται· οἱ δὲ ἐν ἄκρᾳ τοῦ αὐτοῦ χειρὶ κείμενοι ἀστερίσκοι δύο, Ἔριφοι καλοῦνται.

Νότια δέ ἐστιν, ὅσα τοῦ τῶν ζωδίων κύκλου πρὸς μεσημβρίαν κεῖται. Ἔστι δὲ τάδε· Ὠρίων, Κύων, καὶ Προκύων, Λαγωὸς, Ἀργὼ, Ὕδρος, Κρατὴρ, Κόραξ, Κένταυρος, Θηρίον, ὃ κρατεῖ ὁ Κένταυρος, καὶ θυρσολόχος, ὃν κρατεῖ ὁ Κένταυρος, καθ' Ἵππαρχον θυμιατήριον, νότιος ἰχθὺς, κύτος, ὕδωρ τὸ ἀπὸ τοῦ Ὑδροχόου, ποταμὸς ὁ ἀπὸ τοῦ Ὠρίωνος, νότιος στέφανος, ὑπὸ δέ τινων Οὐρανίσκος προσαγορευόμενος, κηρύκειον καθ' Ἵππαρχον.

Πάλιν δὲ ἐν τούτοις τινὲς ἀστέρες ἰδίας ἔχουσι προσηγορίας. Ὁ μὲν γὰρ ἐν τῷ Πρόκυνι ὢν λαμπρὸς ἀστὴρ, Προκύων καλεῖται· ὁ δὲ ἐν τῷ στόματι τοῦ Κυνὸς λαμπρὸς ἀστὴρ, ὃς δοκεῖ τὴν ἐπίτασιν τὴν τῶν καυμάτων ποιεῖν, ὁμωνύμως ὅλῳ τῷ ζωδίῳ Κύων προσαγορεύεται· ὁ δὲ ἐν ἄκρῳ τῷ πηδαλίῳ τῆς Ἀργοῦς κείμενος λαμπρὸς ἀστὴρ, Κάνωβος ὀνομάζεται. Οὗτος μὲν ἐν Ῥόδῳ δυσθεώρητός ἐστιν, ἢ παντελῶς ἀφ' ὑψηλῶν τόπων ὁρᾶται· ἐν Ἀλεξανδρείᾳ δέ ἐστι παντελῶς ἐμφανής. Σχεδὸν γὰρ τέταρτον μέρος (12) τοῦ ζωδίου ἀπὸ τοῦ ὁρίζοντος μετεωρισμένος φαίνεται.

A Ursa major, Urs minor, Draco per ursas extensus, Arctophylax, Corona, in genibus, Serpentarius, Serpens, Lyra, Avis, Sagitta, Aquila, Delphinus, præsectio equi, vel secundum Hipparchum, equus, Cepheus, Cassiopeia, Andromeda, Perseus, auriga, Deltoton, et quæ postea a Calli macho inter stellas est relata coma Berenices.

Rursus autem etiam in his borealibus signis stellæ quædam proprias habent appellationes, propter eas quas habent, utcunque, significationes. Nam insignis stella, quæ in medio crurum Arctophylacis sita est, Arcturus nominatur. Splendida stella, quæ juxta Lyram posita est, nomine totius sui asterismi etiam Lyra appellatur : quæ vero in extrema manu sinistra Persei sitæ sunt stellæ, B vocantur stellæ Gorgonum ; quæ vero in summa manu dextra Persei stellulæ crebræ et parvæ collocantur, hæ efficiunt constellationem falcis ; quæ in sinistro humero aurigæ ponitur splendida stella, hæc appellatur Capra : at duæ stellulæ, quæ sitæ sunt in ejusdem summa manu, Hædi vocantur.

Australia signa sunt, quæ a zodiaco circulo versus meridiem declinant. Sunt autem hæc : Orion, Canis major, Procyon, Lepus, Argo, Hydra, Crater, Corvus, Centaurus, Fera, hasta quam tenet Centaurus, secundum Hipparchum, ara, piscis australis, cetus, aqua ab Aquario veniens, fluvius ab Orione veniens, corona australis, quæ a nonnullis Uraniscus, id est, parvum cœlum vocatur, secundum Hipparchum vero caduceus. C

Rursus etiam in his australibus signis, quædam stellæ proprias habent appellationes. Nam stella splendida, quæ est in Cane minore, Procyon, id est præcedens canis, vocatur : stella vero splendida, quæ est in ore Canis majoris, quæque videtur incrementum æstuum efficere, eodem nomine cum toto signo Canis appellatur ; sed insignis stella, quæ sita est in summo gubernaculo navis Argus, Canobus dicitur. Atque hæc Canobi stella in Rhodo difficulter videri potest, aut in locis plane excelsis apparet ; at Alexandriæ prorsus hæc videri potest. Nam fere quarta parte signi Canobus ab horizonte elevatus apparet.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ἄξονος καὶ πόλων

Τοῦ δὲ κόσμου (13) σφαιροειδοῦς ὑπάρχοντος, ἄξων καλεῖται ἡ διάμετρος τοῦ κόσμου, περὶ ἣν στρέφεται ὁ κόσμος. Τὰ δὲ πέρατα τοῦ ἄξονος πόλοι λέγονται τοῦ κόσμου. Τῶν δὲ πόλων ὁ μὲν λέγεται βόρειος, ὁ δὲ νότιος· βόρειος μὲν ὁ διὰ παντὸς φαινόμενος ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν, νότιος δὲ ὁ διὰ παν-

CAPUT III.

De axe et polis.

Cum mundus sphæricam habeat figuram, axis vocatur ejus diameter, circa quam mundus convertitur. Extremitates vero axis dicuntur poli mundi : polorum autem alter vocatur boreus, id est arcticus ; alter notius, id est antarcticus. Boreus quidem semper apparet, quoad nostram habi-

(12) *Σχεδὸν γὰρ τέταρτον μέρος.* Imo quadrante solido, ut Hipparchus docet lib. I, num. 26. Nam distabat a polo gradibus 38, 30', quod et tabularum nostrarum epilogismus adamussim exhibet. Alexandriæ polus elatus erat grad. 31 fere. Igitur gradibus 7, 30', hoc est exacto quadrante, Canobus superabat horizontem.

(13) *Τοῦ δὲ κόσμου.* Proclus sphæram suam edidit, quæ nihil aliud est quam hoc Gemini caput tertium, et quartum, quibus ejusdem 12 et postremo 2 adtexuit.

Digitized by Google

tationem; australis vero semper est invisibilis, quad nostrum horizontem. Verumtamen sunt in terra loca quædam, ubi contingit polum, qui apud nos semper est apparens, illis esse invisibilem; et contra eum polum, qui apud nos est invisibilis, illis conspicuum esse; et rursus est locus quidam in terra, ubi duo hi poli similiter in horizonte jacent.

τὸς ἀόρατος ὡς πρὸς τὸν ἡμέτερον ὁρίζοντα. Εἰσὶ μέντοι τόποι τινὲς ἐπὶ τῆς γῆς, ὅπου συμβαίνει τὸν μὲν παρ' ἡμῖν πόλον τὸν ἀεὶ φανερὸν ἐκείνοις ἀόρατον εἶναι, τὸν δὲ παρ' ἡμῖν ἀόρατον ἐκείνοις φανερὸν εἶναι· καὶ πάλιν ἔστι τις τόπος ἐπὶ τῆς γῆς, ὅπου οἱ δύο πόλοι ὁμοίως ἐπὶ τοῦ ὁρίζοντος κεῖνται.

CAPUT IV.

De circulis sphæræ.

Circulorum sphæræ alii sunt paralleli, alii obliqui, alii per polos ducti: paralleli sunt, qui eosdem habent polos cum mundo. Sunt autem quinque paralleli circuli, arcticus, æstivus tropicus, æquinoctialis, hibernus tropicus et antarcticus.

Arcticus circulus igitur est, qui inter circulos semper apparentes est maximus, et horizontem attingit in uno puncto, totusque supra terram desumitur, in quo astra posita neque occidunt, neque oriuntur, sed per totam noctem circa polum moveri cernuntur. Hic circulus in nostro orbe habitabili ab anteriore pede ursæ majoris describitur.

9 Æstivus tropicus circulus est, qui inter eos circulos, qui a sole secundum mundi conversionem describuntur, est maxime borealis; super quo sol constitutus efficit æstivam conversionem, in qua longissima fit dies omnium, quæ sunt in anno, nox vero brevissima. Sed post æstivam conversionem non amplius ad ursas sol accedere spectatur, sed ad alteras mundi partes vertitur, quam ob rem circulus vocatur tropicus, id est conversivus.

Æquinoctialis est circulus maximus inter quinque parallelos, qui ab horizonte æqualiter secatur; ut de eo semicirculus supra terram sumatur, alter vero semicirculus sub horizonte, super quo sol constitutus æquinoctia efficit, cum vernum, tum autumnale.

Hibernus tropicus circulus est is, qui est maxime australis eorum circulorum, qui a sole secundum quotidianam mundi conversionem describuntur: ad quem cum sol pervenit, hibernam efficit conversionem, in qua longissima fit nox omnium quæ sunt in anno; dies vero brevissima. Verumtamen post hibernam conversionem non am-

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν ἐν τῇ σφαίρᾳ κύκλων.

Τῶν δὲ ἐν τῇ σφαίρᾳ κύκλων οἱ μέν εἰσι παράλληλοι, οἱ δὲ λοξοί, οἱ δὲ διὰ τῶν πόλων· παράλληλοι μὲν οἱ τοὺς αὐτοὺς πόλους ἔχοντες τῷ κόσμῳ. Εἰσὶ δὲ παράλληλοι κύκλοι πέντε, ἀρκτικὸς, θερινὸς τροπικὸς, ἰσημερινὸς, χειμερινὸς τροπικὸς, ἀνταρκτικός.

Ἀρκτικὸς μὲν οὖν (14) ἐστι κύκλος ὁ μέγιστος τῶν ἀεὶ θεωρουμένων κύκλων, ὁ ἐφαπτόμενος τοῦ ὁρίζοντος καθ' ἓν σημεῖον, καὶ ὅλος ὑπὲρ γῆν ἀπολαμβανόμενος· ἐν ᾧ τὰ κείμενα τῶν ἄστρων οὔτε δύσιν οὔτε ἀνατολὴν ποιεῖται· ἀλλὰ δι' ὅλης τῆς νυκτὸς περὶ τὸν πόλον στρεφόμενα θεωρεῖται. Οὗτος δὲ ὁ κύκλος (15) ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ ὑπὸ τοῦ ἐμπροσθίου ποδὸς τῆς μεγάλης ἄρκτου περιγράφεται.

Θερινὸς δὲ τροπικὸς κύκλος ἐστὶν ὁ βορειότατος τῶν ὑπὸ τοῦ ἡλίου γραφομένων κύκλων κατὰ τὴν τοῦ κόσμου γινομένην περιστροφὴν, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὴν θερινὴν τροπὴν ποιεῖται· ἐν ᾗ μεγίστη μὲν πασῶν τῶν ἐν τῷ ἐνιαυτῷ ἡμέρα, ἐλαχίστη δὲ ἡ νὺξ γίνεται. Μετὰ μέντοιγε τὴν θερινὴν τροπὴν οὐκέτι πρὸς τὰς ἄρκτους παροδεύων ὁ ἥλιος θεωρεῖται, ἀλλ' ἐπὶ τὰ ἕτερα μέρη τρέπεται τοῦ κόσμου· δι' ὃ καὶ κέκληται τροπικός.

Ἰσημερινὸς δέ ἐστι κύκλος ὁ μέγιστος τῶν πέντε παραλλήλων κύκλων, ὁ διχοτομούμενος ὑπὸ τοῦ ὁρίζοντος· ὥστε ἡμικύκλιον μὲν ὑπὲρ γῆν ἀπολαμβάνεσθαι, ἡμικύκλιον δὲ ὑπὸ τὸν ὁρίζοντα· ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰς ἰσημερίας ποιεῖται, τήν τε ἐαρινὴν καὶ τὴν φθινοπωρινήν.

Χειμερινὸς δὲ τροπικὸς κύκλος ἐστὶν ὁ νοτιώτατος τῶν ὑπὸ τοῦ ἡλίου γραφομένων κύκλων κατὰ τὴν ὑπὸ τοῦ κόσμου γενομένην περιστροφὴν· ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὴν χειμερινὴν τροπὴν ποιεῖται, ἐν ᾗ ἡ μεγίστη μὲν πασῶν τῶν ἐν τῷ ἐνιαυτῷ νὺξ ἐπιτελεῖται, ἐλαχίστη δὲ ἡμέρα. Μετὰ μέντοιγε τὴν χειμερινὴν τροπὴν οὐκέτι πρὸς μεσημβρίαν παροδεύων ὁ

(14) Ἀρκτικὸς *μὲν οὖν*. Circulus arcticus, quo veteres usi sunt, longe ab nostro et usitato diversus est. Nam illi τῶν ἀειφανερῶν maximum vocant arcticum, cujus semidiameter est altitudo poli, centrum, polus mundi. Itaque pro regionum positu varius est, ac major minorve. Vide Ptolemæum lib. II, c. 4, Cleomedem lib. I, c. 2.

(15) *Οὗτος δὲ ὁ κύκλος*. Scribit Geminus circulum arcticum ibi, ubi habitabat, delineatum fuisse anteriori pede majoris Ursæ. Igitur 37 vel 38 circiter gradibus polus ibi supra horizontem emergebat; qui est Græciæ tractus. Verum infra longe alium situm indicat. Nam ait circulum tropicum illic ab horizonte ita dividi, ut illo in octo partes diviso, quinque supra, tres infra contineantur. Ex quo consequens maximam diem horarum esse circiter XV, et elevari polum gradibus XLI. Aratus ad posteriorem cœli positum, qui est Macedoniæ, et Hellesponti, phænomena sua comparavit, cujus auctoritate ducti pene omnes, qui de sphæra postea scripserunt, eamdem poli elevationem adhibuerunt: cujusmodi sphæræ Arateæ dici meruerunt; cum Eudoxeæ non minus appellari potuerint. Si quidem Eudoxum in omnibus Aratus expressit. Legendus præterea Leontius Mechanicus, et Achilles Tatius *Isagoges*, c. 25.

Digitized by Google

ἥλιος θεωρεῖται, ἀλλ' ἐπὶ τὰ ἕτερα μέρη τρέπεται τοῦ κόσμου· δι' ὃ κέκληται καὶ οὗτος τροπικός.

A plius cernitur sol versus meridiem accedere, sed rursus ad oppositas mundi partes convertitur, ideoque dictus est hic circulus tropicus.

Ἀνταρκτικὸς δέ ἐστι κύκλος ἴσος καὶ παράλληλος τῷ ἀρκτικῷ, καὶ ἐφαπτόμενος τοῦ ὁρίζοντος καθ' ἓν σημεῖον, καὶ ὅλος ὑπὸ γῆν ἀπολαμβανόμενος· ἐν ᾧ τὰ κείμενα τῶν ἄστρων διὰ παντὸς ἡμῖν ἐστιν ἀόρατα.

Antarcticus circulus est æqualis et parallelus circulo arctico, et attingens horizontem in puncto, totusque infra terram desumptus; in quo posita astra semper nobis sunt invisibilia.

Γῶν δὲ προειρημένων (16) πέντε κύκλων μέγιστος μὲν ὁ ἰσημερινός· ἐξῆς δὲ τοῖς μεγέθεσιν οἱ τροπικοί· ἐλάχιστοι δὲ ὡς πρὸς ἡμετέραν οἴκησιν οἱ ἀρκτικοί.

Inter circulos prædictos maximus est æquinoctialis; proximi quoad magnitudines sunt tropici· minimi vero, quoad nostram habitationem, arctici

Τούτους δὲ τοὺς κύκλους δεῖ νοεῖν ἁπλατεῖς λόγῳ θεωρητοὺς, ἐκ τῆς τῶν ἄστρων θέσεως, καὶ τῆς τῶν διόπτρων θεωρίας, καὶ τῆς ἡμετέρας ἐπινοίας διατυπουμένους. Μόνος γὰρ ἐν τῷ κόσμῳ κύκλος ἐστὶ θεωρητὸς ὁ τοῦ γάλακτος· οἱ δὲ λοιποὶ λόγῳ εἰσὶ θεωρητοί.

Hos autem circulos, cum sint latitudinis expertes, et ratione spectabiles, mente oportet cogitare, qui ex astrorum positu et dioptrorum speculatione et nostra cogitatione describuntur. Solus enim in B mundo visibilis est circulus via lactea; reliqui ratione sunt spectabiles.

Πέντε δὲ παράλληλοι μόνον καταγράφονται κύκλοι εἰς τὴν σφαῖραν, οὐ διὰ τὸ μόνον τούτους ἐν τῷ κόσμῳ παραλλήλους εἶναι. Ὁ γὰρ ἥλιος καθ' ἑκάστην ἡμέραν ὡς πρὸς αἴσθησιν κύκλον παράλληλον περιστρέφεται τῷ ἰσημερινῷ κατὰ τὴν ἐπὶ τοῦ κόσμου γενομένην περιστροφήν· ὥστε μεταξὺ τῶν τροπικῶν κύκλων ρπ' δὶς κύκλους παραλλήλους γράφεσθαι ὑπὸ τοῦ ἡλίου· τοσαῦται γὰρ ἡμέραι εἰσὶν αἱ μεταξὺ τῶν τροπῶν.

Circuli vero paralleli tantum quinque in sphæra describuntur, quod non propterea fit quasi in mundo tantum hi essent paralleli. Nam sol quotidie, quoad sensum, describit circulum parallelum æquinoctiali secundum mundi revolutionem: itaque inter tropicos circulos paralleli circuli bis 180 a sole describuntur; tot enim dies sunt inter conversiones.

Φέρονται δὲ καὶ πάντες οἱ ἀστέρες ἐπὶ παραλλήλων κύκλων καθ' ἑκάστην ἡμέραν. Συγκαταγράφονται δὲ οὗτοι πάντες εἰς τὴν σφαῖραν, διὰ τὸ πρὸς μὲν ἄλλας πραγματείας τῶν ἐν τῇ ἀστρολογίᾳ πολλὰ συμβάλλεσθαι· οὐδὲ γὰρ καταστερισθῆναι δυνατὸν καλῶς τὴν σφαῖραν ἄνευ πάντων τῶν παραλλήλων κύκλων, οὐδὲ τὰ μεγέθη τῶν νυκτῶν καὶ τῶν ἡμερῶν ἀκριβῶς εὑρεθῆναι ἄνευ τῶν προειρημένων κύκλων· πρὸς μέντοιγε τὴν πρώτην εἰσαγωγὴν τῆς ἀστρολογίας οὐδὲν ἀποτέλεσμα προσφερόμενοι, οὐ καταγράφονται ἐν τῇ σφαίρᾳ. Οἱ δὲ πέντε παράλληλοι κύκλοι, διὰ τὸ ἀποτελέσματά τινα προσφέρεσθαι διωρισμένα εἰς τὴν πρώτην εἰσαγωγὴν τῆς ἀστρολογίας, κατεγράφησαν εἰς τὴν σφαῖραν. Ὁ μὲν γὰρ ἀρκτικὸς κύκλος ἀφορίζει τὰ ἀεὶ θεωρούμενα τῶν ἄστρων· ὁ δὲ θερινὸς τροπικὸς κύκλος τὴν τροπὴν περιέχει, καὶ πέρας ἐστὶ τῆς τοῦ ἡλίου πρὸς ἄρκτον μεταβάσεως· ὁ δὲ ἰσημερινὸς κύκλος τὰς ἰσημερίας περιέχει· ὁ δὲ χειμερινὸς τροπικὸς κύκλος τέρμα ἐστὶ τῆς πρὸς μεσημβρίαν προόδου ἐπὶ ἥλιῳ, καὶ τὴν χειμερινὴν τροπὴν περιέχει· ὁ δὲ ἀνταρκτικὸς κύκλος τὰ μὴ θεωρούμενα τῶν ἄστρων ἀφορίζει. Ἔχοντες οὖν κεφάλαια καὶ ἀποτελέσματα ὡρισμένα πρὸς τὴν εἰσαγωγὴν τῆς ἀστρολογίας, εὐλόγως κατεγράφησαν εἰς τὴν σφαῖραν.

Feruntur etiam omnes stellæ in circulis parallelis quotidie. Verumtamen non omnes circuli paralleli in sphæra describuntur, idque propterea, quod ad alios quidem tractatus astronomicos multum C conducant, non enim possibile esset, stellas recte in globum materialem referre sine omnibus circulis parallelis: neque magnitudines dierum et noctium accurate inveniri sine prædictis circulis parallelis; sed, cum ad primam astronomiæ institutionem nullum emolumentum afferant, non describuntur in sphæra: at quinque paralleli circuli, eo quod certa quædam emolumenta ad primam astronomiæ institutionem afferant, in sphæra sunt descripti. Arcticus enim circulus astra semper apparentia determinat; æstivus tropicus circulus æstivam conversionem continet, et limes est transitus solis versus septentrionem; æquinoctialis circulus puncta æquinoctialia continet; hibernus tropicus circulus terminus est progressus solis versus meridiem, et D hibernam conversionem continet; antarcticus circulus astra non apparentia determinat. Cum igitur habeant certa capita et emolumenta ad institutionem astronomiæ, non sine ratione descripti sunt in sphæra.

Τῶν δὲ προειρημένων πέντε παραλλήλων κύκλων ὁ μὲν ἀρκτικὸς κύκλος ὅλος ὑπὲρ γῆν ἀπολαμβάνεται,

Inter quinque prædictos parallelos circulos, arcticus circulus totus supra horizontem desumitur.

(16) *Τῶν δὲ προειρημένων.* Parallelorum in sphæra maximus est æquinoctialis; cæterorum quo quisque longius ab illo recedit, eo est minor. Ratio vero, quam habent minores ad maximum, investigatur ea methodo, quam attigimus libro VII. Nam, ut est radius ad sinum complementi distantiæ paralleli cujuslibet, ita æquinoctialis ad parallelum. Esto tropicus æstivus gradibus 24 distans ab æquatore; complementum distantiæ est grad. 66, cujus sinus 91355. Igitur ea proportio est æquinoctialis ad tropicum, quæ est 100000 ad 91355, hoc est 10 ad 9 circiter. Ita circulus arcticus Arati distat ab æquatore gradibus 49, a polo, 41. Sinus graduum 41 est 75471. Proinde ita se habet æquinoctialis ad circulum hunc arcticum uti 100000 ad 75471; quæ proportio fere est sesquitertia, ut 4 ad 3.

Digitized by Google

Æstivus tropicus circulus in duas partes inæquales secatur ab horizonte, et segmentum majus supra terram desumitur, minus vero infra terram. At non per omnes regiones et urbes eodem modo æstivus tropicus circulus secatur ab horizonte, sed juxta climatum diversitates diversum segmentorum excessum contingit evenire, atque iis quidem qui magis 10 quam nos, versus septentrionem habitant, in segmenta magis inæqualia ab horizonte secari tropicum æstivum contigit. Et tandem est regio quædam, in qua totus æstivus tropicus circulus fit supra terram. Iis vero qui magis quam nos, versus meridiem habitant, in segmenta minus inæqualia æstivus tropicus circulus ab horizonte sectus est. Et tandem est regio quædam versus meridiem nobis sita, in qua æqualiter dividitur æstivus tropicus circulus ab horizonte : in hoc autem climate secatur ita, ut cum totus circulus in octo partes æquales divisus est, de his quinque partes supra horizontem desumantur, tres vero infra horizontem. Ad hoc clima videtur etiam Aratus apparentiarum tractatum composuisse. Nam de æstivo tropico circulo disserens, sic inquit :

Hoc maxime in octo æquales partes diviso,
Earum quinque meridianæ volvuntur per supremas [*partes terræ,*
Tres vero in hemisphærio sub terra : æstatis huic [*sunt conversiones.*

Ex hac divisione sequitur, longissimum diem horarum æquinoctialium fieri 15, noctem vero horarum æquinoctialium 9. In horizonte Rhodi æstivus tropicus circulus ab horizonte sic est divisus, ut cum totus circulus in 48 partes dividatur, earum 29 supra horizontem desumantur, reliquæ vero 19 infra terram. Ex hac divisione sequitur longissimum diem in Rhodo fieri horarum æquinoctialium 14 1/2, noctem vero horarum æquinoctialium 9 1/2.

Æquinoctialis circulus per totam terram habitabilem æqualiter secatur ab horizonte, ut semicirculus supra terram desumatur, semicirculus vero infra terram : ob quam causam ab hoc circulo æquinoctia fiunt.

Hibernus tropicus circulus ab horizonte sic secatur, ut minus segmentum sit supra terram : majus vero infra terram. Inæqualitas segmentorum eamdem habet diversitatem in omnibus climatibus, quæ fiebat etiam in æstivo tropico circulo. Semper enim alterna segmenta tropicorum circulorum inter se sunt æqualia. Ob quam causam longissimus dies æqualis est longissimæ nocti. Antarcticus circulus totus infra horizontem occultatur.

Ex quinque prædictis parallelis circulis, alii

A ὁ δὲ θερινὸς τροπικὸς κύκλος εἰς δύο μερη ἄνισα τέμνεται ὑπὸ τοῦ ὁρίζοντος, καὶ τὸ μὲν μεῖζον τμῆμα ὑπὲρ γῆν ἀπολαμβάνεται, τὸ δὲ ἔλασσον[17], ὑπὸ τὴν γῆν. Οὐ κατὰ πᾶσαν δὲ χώραν καὶ πόλιν ὁμοίως ὁ θερινὸς τροπικὸς κύκλος τέμνεται ὑπὸ τοῦ ὁρίζοντος, ἀλλὰ παρὰ τὰς τῶν κλιμάτων παραλλαγὰς διάφορον τὴν τῶν τμημάτων ὑπεροχὴν συμβαίνει γίνεσθαι· καὶ τοῖς μὲν πρὸς ἄρκτον μᾶλλον ἡμῶν οἰκοῦσιν εἰς ἀνισαίτερα μέρη συμβαίνει τέμνεσθαι τὸν θερινὸν ὑπὸ τοῦ ὁρίζοντος. Καὶ πέρας ἐστὶ χώρα τις, ἐν ᾗ ὅλος ὁ θερινὸς τροπικὸς κύκλος ὑπὲρ γῆν γίνεται. Τοῖς δὲ πρὸς μεσημβρίαν μᾶλλον οἰκοῦσιν ἡμῶν, εἰς ἀνισαίτερα [18] μέρη ὁ θερινὸς τροπικὸς κύκλος ὑπὸ τοῦ ὁρίζοντος τέτμηται. Καὶ πέρας ἐστὶ χώρα τις πρὸς μεσημβρίαν ἡμῖν κειμένη, ἐν ᾗ διχοτομεῖται ὁ θερινὸς
B τροπικὸς κύκλος ὑπὸ τοῦ ὁρίζοντος· ἐνταῦθα δὲ τέμνεται οὕτως, ὥστε, τοῦ ὅλου κύκλου διαιρουμένου εἰς η' μέρη, πέντε μὲν τμήματα ὑπὲρ γῆν ἀπολαμβάνεσθαι, τρία δὲ ὑπὸ γῆν. Πρὸς δὲ τοῦτο τὸ κλίμα δοκεῖ καὶ ὁ Ἄρατος συντεταχέναι τὴν τῶν φαινομένων πραγματείαν. Περὶ γὰρ τοῦ θερινοῦ τροπικοῦ κύκλου διαλεγόμενός φησιν οὕτως

Τοῦ μὲν ὅσον τε μάλιστα δι' ὀκτὼ μετρηθέντος,
Πέντε μὲν ἐνδιαστρέφεται καθ' ὑπέρτατα γαίης,
Τὰ τρία δ' ἐν περάτῃ· θέρειοι δὲ οἱ ἐντροπαὶ [*εἰσιν.*

Ἐκ δὲ ταύτης τῆς διαιρέσεως ἀκολουθεῖ, τὴν μεγίστην ἡμέραν ὡρῶν ἰσημερινῶν γίνεσθαι ιε', τὴν δὲ νύκτα ὡρῶν ἰσημερινῶν θ'. Ἐν δὲ τῷ κατὰ Ῥόδον (17) ὁρίζοντι ὁ θερινὸς τροπικὸς κύκλος ὑπὸ τοῦ ὁρίζοντος τέτμηται οὕτως, ὥστε, τοῦ ὅλου κύκλου διηρημένου εἰς μέρη μη', τὰ μὲν κθ' τμήματα ὑπὲρ τὸν ὁρίζοντα ἀπολαμβάνεσθαι, τὰ δὲ ιθ' ὑπὸ γῆν. Ἐκ δὲ τῆς διαιρέσεως ταύτης ἀκολουθεῖ τὴν μεγίστην ἡμέραν ἐν Ῥόδῳ γίνεσθαι ὡρῶν ἰσημερινῶν ιδς" τὴν δὲ νύκτα ὡρῶν ἰσημερινῶν θς".

Ὁ δὲ ἰσημερινὸς κύκλος καθ' ὅλην τὴν οἰκουμένην διχοτομεῖται ὑπὸ τοῦ ὁρίζοντος, ὥστε ἡμικύκλιον μὲν ὑπὲρ γῆν ἀπολαμβάνεσθαι, ἡμικύκλιον δὲ ὑπὸ γῆν· δι' ἣν αἰτίαν ὑπὸ τοῦ κύκλου τούτου αἱ ἰσημερίαι [19] γίνονται.

Ὁ δὲ χειμερινὸς τροπικὸς κύκλος ὑπὸ τοῦ ὁρίζοντος τέμνεται οὕτως, ὥστε τὸ μὲν ἔλασσον τμῆμα ὑπὲρ
D γῆν γίνεσθαι, τὸ δὲ μεῖζον ὑπὸ γῆν. Ἡ δὲ ἀνισότης τῶν τμημάτων τὴν αὐτὴν παραλλαγὴν ἔχει ἐπὶ πάντων τῶν κλιμάτων, ἥτις ἐγίνετο καὶ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ κύκλου. Διὰ παντὸς γὰρ τὰ ἐναλλὰξ τμήματα τῶν τροπικῶν κύκλων ἴσα ἀλλήλοις ἐστί. Δι' ἣν αἰτίαν ἡ μεγίστη ἡμέρα ἴση ἐστὶ τῇ μεγίστῃ νυκτί. Ὁ δὲ ἀνταρκτικὸς κύκλος ὅλος ὑπὸ τὸν ὁρίζοντα κρύπτεται.

Τῶν δὲ προειρημένων πέντε παραλλήλων κύκλων,

[17] *γρ.* ἐλάχιστον. [18] *f.* ἰσαίτ. [19] *γρ.* ἰσημεριναί.

(17) *Ἐν δὲ τῷ κατὰ Ῥόδον.* Cum sit maxima dies sub parallelo Rhodio horarum 14 et dimidiæ, et nox minima horarum 9 et dimidiæ, maxima dies semihoras totidem habet 29, quot minima nox constat 19.

Digitized by Google

τινῶν μὲν τὰ μεγέθη καθ' ὅλην τὴν οἰκουμένην διαμένει τὰ αὐτὰ, τινῶν δὲ τὰ αὐτὰ μεγέθη μεταπίπτει παρὰ τὰ κλίματα, καὶ οἷς μὲν μείζονες, οἷς δὲ ἐλάσσονες οἱ κύκλοι γίνονται. Οἱ μὲν γὰρ τροπικοὶ, καὶ ὁ ἰσημερινὸς καθ' ὅλην τὴν οἰκουμένην ἴσοι εἰσὶ τοῖς μεγέθεσιν· οἱ δὲ ἀρκτικοὶ κύκλοι μεταπίπτουσι κατὰ τὰ μεγέθη· καὶ οἷς μὲν μείζονες, οἷς δὲ ἐλάττονες γίνονται. Τοῖς μὲν γὰρ πρὸς ἄρκτον οἰκοῦσι μείζονες οἱ ἀρκτικοὶ κύκλοι γίνονται· τοῦ γὰρ πόλου μετεωρότερον φαινομένου, ἀνάγκη καὶ τὸν ἀρκτικὸν κύκλον, ἐφαπτόμενον τοῦ ὁρίζοντος, μείζονα ἀεὶ μᾶλλον γίνεσθαι· τοῖς δέ τοι πρὸς ἄρκτον[20] οἰκοῦσι γίνεταί ποτε ὁ θερινὸς τροπικὸς κύκλος ἀρκτικός· ὥστε τοὺς δύο κύκλους ἐφαρμόσαι ἀλλήλοις, τὸν θερινὸν τροπικὸν κύκλον, καὶ τὸν ἀρκτικὸν, καὶ μίαν λαβεῖν τάξιν. Πρὸς δὲ τοὺς ἀρκτικωτέρους τόπους καὶ τοῦ θερινοῦ τροπικοῦ κύκλου μείζονες οἱ ἀρκτικοὶ γίνονται.

Πέρας δέ ἐστι τις χώρα πρὸς ἄρκτον κειμένη, ἐν ᾗ ὁ μὲν πόλος κατὰ κορυφὴν γίνεται· ὁ δὲ ἀρκτικὸς κύκλος τὴν τοῦ ὁρίζοντος ἐπέχει θέσιν, καὶ ἐφαρμόζει αὐτῷ κατὰ τὴν ἐπιστροφὴν τοῦ κόσμου, καὶ τὸ αὐτὸ μέγεθος λαμβάνει τῷ ἰσημερινῷ· ὥστε τοὺς τρεῖς κύκλους, τὸν ἀρκτικὸν, καὶ τὸν ἰσημερινὸν, καὶ τὸν ὁρίζοντα τὴν αὐτὴν τάξιν καὶ θέσιν λαμβάνειν.

Πάλιν δὲ τοῖς πρὸς μεσημβρίαν ἡμῶν οἰκοῦσιν οἱ μὲν πόλοι ταπεινότεροι γίνονται· οἱ δὲ ἀρκτικοὶ κύκλοι ἐλάσσονες. Καὶ πέρας ἔστι χώρα τις πρὸς μεσημβρίαν ἡμῶν κειμένη· αὐτὴ δέ ἐστιν ἡ λεγομένη ὑπὸ τὸν ἰσημερινὸν, ἐν ᾗ οἱ μὲν πόλοι ἐπὶ τοῦ ὁρίζοντος γίνονται, οἱ δὲ ἀρκτικοὶ κύκλοι καθόλου ἀναιροῦνται· ὥστε ἀντὶ τῶν πέντε παραλλήλων κύκλων τρεῖς παραλλήλους γίνεσθαι, τούς τε τροπικοὺς καὶ τὸν ἰσημερινόν. Διὰ γὰρ τὰ προειρημένα οὐχ ὑπολητπτέον καθολικῶς γίνεσθαι τοὺς πέντε παραλλήλους κύκλους, ἀλλ' ὡς πρὸς τὴν ἡμετέραν οἰκουμένην τὸ πλῆθος αὐτῶν ἐκκεῖσθαι. Εἰσὶ γάρ τινες ὁρίζοντες, ἐν οἷς τρεῖς μόνον παράλληλοι γίνονται.

Εἰσὶ δὲ οἰκήσεις (18) ἐπὶ τῆς γῆς, ὧν πρώτη μὲν οἴκησις, ἐφ' ἧς ὁ θερινὸς τροπικὸς κύκλος ἐφάπτεται τοῦ ὁρίζοντος, καὶ τὴν τοῦ ἀρκτικοῦ κύκλου τάξιν λαμβάνει· δευτέρα δὲ οἴκησις ἡ λεγομένη ὑπὸ τὸν πόλον· τρίτη δέ ἐστιν οἴκησις, ὑπὲρ ἧς μικρὸν ἔμπροσθεν εἰρήκαμεν, καὶ προσαγορευομένη ὑπὸ τὸν ἰσημερινόν.

Ὅθεν οὐδ' ἡ τάξις τῶν πέντε παραλλήλων κύκλων ἡ αὐτὴ παρὰ πᾶσίν ἐστιν· ἀλλ' ἐν μὲν τῇ καθ' ἡμᾶς οἰκουμένῃ πρῶτος μὲν ὀνομάζεται ὁ ἀρκτικὸς, δεύτερος δὲ ὁ θερινὸς τροπικὸς, τρίτος δὲ ὁ ἰσημερινὸς, τέταρτος δὲ ὁ χειμερινὸς τροπικὸς, πέμπτος δὲ ὁ ἀνταρκτικός.

Τοῖς δὲ πρὸς ἄρκτον μᾶλλον ἡμῶν οἰκοῦσι γίνεταί ποτε πρῶτος μὲν ὁ θερινὸς τροπικὸς κύκλος, δεύτερος δὲ ὁ ἀρκτικὸς, τρίτος δὲ ὁ ἰσημερινὸς, τέταρτος

A suas magnitudines per totam terram retinent easdem, alii easdem magnitudines mutant juxta climata, et aliis locis majores, aliis minores hi circuli fiunt. Tropici enim et æquinoctialis per totam terram magnitudinibus manent iidem. At arctici circuli mutantur magnitudinibus, et aliis locis majores, aliis minores fiunt. Iis enim qui versus septentrionem habitant, majores fiunt arctici circuli : cum enim polus altius elevatus apparet, necesse est etiam arcticum circulum, qui horizontem attingit, semper majorem fieri ; alicubi vero iis qui versus septentrionem habitant, is circulus, qui est æstivus tropicus, fit etiam arcticus, ita ut duo circuli sibi invicem congruant, nempe æstivus tropicus circulus, et arcticus, unumque accipiant B situm. At versus loca magis septentrionalia ,æstivo tropico circulo, etiam majores fiunt circuli arctici.

Tandem est locus quidam versus septentrionem situs, in quo polus fit verticalis ; arcticus vero circulus horizontis locum occupat, eique congruit secundum mundi conversionem, et eamdem accipit magnitudinem cum æquinoctiali, ita ut tres circuli, arcticus, æquinoctialis et horizon eumdem situm et positum accipiant.

Rursus iis qui a nobis versus meridiem habitant, poli fiunt humiliores, arctici vero circuli minores. Et tandem regio est quædam a nobis versus meridiem sita, ea est quæ dicitur esse sub æquinoctiali, in qua poli in horizonte constituuntur, C arctici vero circuli prorsus sunt sublati : ita ut pro quinque circulis parallelis tantum tres fiant paralleli, nempe duo tropici, et æquinoctialis. Non enim existimandum est, propter ea quæ prædicta sunt, universaliter quinque esse parallelos circulos, sed respectu nostræ habitationis multitudinem eorum esse expositam. Sunt enim quidam horizontes, in quibus tantum tres sunt circuli paralleli.

Sunt autem in terra habitationes, quarum prima est, in 11 qua æstivus tropicus circulus attingit horizontem, et situm arctici circuli accipit ; secunda est habitatio, quæ dicitur esse sub polo ; tertia est habitatio, de qua paulo ante diximus, quæ dicitur esse sub æquinoctiali.

D Unde ne ordo quidem quinque parallelorum idem est apud omnes, sed in nostra habitatione primus nominatur circulus arcticus, secundus æstivus tropicus, tertius æquinoctialis, quartus hibernus tropicus, quintus antarcticus.

Iis vero qui magis habitant versus septentrionem, quam nos, fit aliquando primus æstivus tropicus circulus, secundus arcticus, tertius æquinoctialis,

[20] *γρ.* μεσημβρίαν.

(18) *Εἰσὶ δὲ οἰκησεις.* Triplex habitatio est, in qua parallelorum numerus minuitur. Prima est, in qua polus attollitur gradibus totidem quot a polo tropicus distat : unde arctici instar est tropicus, et vertex loci polo zodiaci subest, ac zodiacus semel in die horizontis instar habet. Secunda habitatio est ubi vertex est mundi polus. Nam ibi nullus est circulus arcticus, uti nec in tertia, quæ subjacet æquatori.

Digitized by Google

quartus antarcticus, quintus hibernus tropicus. Apud quos enim arcticus circulus fit major æstivo tropico, necesse est apud eos prædictum esse ordinem circulorum.

Similiter neque vires quinque parallelorum circulorum apud omnes eos qui in terra habitant sunt eædem. Nam qui apud nos est æstivus tropicus circulus, is antipodibus fit hibernus tropicus circulus; qui vero apud illos est æstivus tropicus, is apud nos fit hibernus tropicus.

Iis vero qui sub æquinoctiali habitant, quoad potentiam, tres circuli sunt æstivi tropici; sunt enim collocati sub ipso transitu solis : sed quoad circulorum inter se diversitatem, fit illis æstivus tropicus circulus is qui nobis est æquinoctialis; hiberni vero ii qui nobis sunt duo tropici. Secundum naturam enim, et universaliter in omni habitatione æstivus tropicus dicendus erat is, qui proximus est habitationi : quam ob causam iis qui sub æquinoctiali habitant æstivus tropicus circulus fit is qui nobis est æquinoctialis. Tunc enim illis sol fit verticalis. Æquinoctiales vero circuli apud eos fiunt omnes paralleli. Æquinoctium enim semper est apud illos. Omnes enim paralleli circuli æqualiter ab horizonte secantur.

Neque his circulis a se invicem eædem permanent distantiæ per totam terram habitabilem. Sed ad descriptionem sphærarum meridianus sic dividitur : Toto enim meridiano secundum latitudinem diviso in partes 60; arcticus a polo describitur distans hujusmodi partibus 6; æstivus tropicus ab arctico describitur distans 5; æquinoctialis ab utroque tropico 4; hibernus tropicus circulus ab antarctico describitur distans 5; antarcticus vero a polo distans hujusmodi partibus 6.

Ἀ δὲ ὁ ἀνταρκτικὸς, πέμπτος δὲ ὁ χειμερινὸς τροπικός. Παρ' οἷς γὰρ ὁ ἀρκτικὸς κύκλος μείζων γίνεται τοῦ θερινοῦ τροπικοῦ, ἀνάγκη τὴν προειρημένην τάξιν ὑπάρχειν.

Ὁμοίως δὲ οὐδὲ δυνάμεις τῶν πέντε παραλλήλων κύκλων παρὰ πᾶσι τοῖς ἐπὶ τῆς γῆς οἰκοῦσιν αἱ αὐταί εἰσιν. Ὁ γὰρ παρ' ἡμῖν θερινὸς τροπικὸς κύκλος τοῖς ἀντίποσι χειμερινὸς τροπικὸς γίνεται κύκλος· ὁ δὲ παρ' ἐκείνοις θερινὸς τροπικὸς παρ' ἡμῖν γίνεται χειμερινὸς τροπικός.

Τοῖς δὲ ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦσι τῇ μὲν δυνάμει οἱ τρεῖς κύκλοι θερινοί εἰσι τροπικοί· ὑπ' αὐτὴν γὰρ τὴν πάροδον τοῦ ἡλίου κεῖνται· τῇ δὲ πρὸς ἀλλήλους παραλλαγῇ γένοιτ' ἂν θερινὸς μὲν τροπικὸς κύκλος ὁ παρ' ἡμῖν ἰσημερινός· χειμερινοὶ δὲ οἱ δύο τροπικοί. Φύσει γὰρ λέγοιτ' ἂν καὶ καθολικῶς πρὸς ἅπασαν τὴν οἰκουμένην θερινὸς τροπικὸς κύκλος ὑπάρχειν ὁ ἔγγιστα τῆς οἰκήσεως ὑπάρχων· δι' ἣν αἰτίαν τοῖς ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦσιν ὁ θερινὸς τροπικὸς κύκλος γίνεται ὁ ἰσημερινός. Τότε γὰρ αὐτοῖς κατὰ κορυφὴν γίνεται ὁ ἥλιος. Ἰσημερινοὶ δὲ κύκλοι γίνονται παρ' αὐτοῖς πάντες οἱ παράλληλοι. Ἰσημερία γὰρ διὰ παντός ἐστι παρ' αὐτοῖς. Πάντες γὰρ οἱ παράλληλοι κύκλοι διχοτομοῦνται ὑπὸ τοῦ ὁρίζοντος.

Οὐδὲ αἱ διαστάσεις δὲ (19) αἱ ἀπ' ἀλλήλων τοῖς κύκλοις αἱ αὐταὶ διαμένουσι καθ' ὅλην τὴν οἰκουμένην· ἀλλὰ πρὸς τὴν καταγραφὴν τῶν σφαιρῶν [21], ὁ μεσημβρινὸς διαιρεῖται οὕτως· Τοῦ κατὰ πλάτος παντὸς μεσημβρινοῦ κύκλου διαιρουμένου εἰς μέρη ξ', ὁ ἀρκτικὸς ἀπὸ τοῦ πόλου καταγράφεται ἀπέχων ἑξηκοστὰ ξ· ὁ δὲ θερινὸς τροπικὸς ἀπὸ τοῦ ἀρκτικοῦ γράφεται ἀπέχων ἑξηκοστὰ ε'· ὁ δὲ ἰσημερινὸς ἀφ' ἑκατέρου τῶν τροπικῶν ἑξηκοστὰ δ'· ὁ δὲ χειμερινὸς τροπικὸς κύκλος ἀπὸ τοῦ ἀνταρκτικοῦ ἀπέχων ἑξηκοστὰ ε'· ὁ δὲ ἀνταρκτικὸς ἀπὸ τοῦ πόλου ἀπέχων ἑξηκοστὰ ς'.

Ἀ non per omnes regiones et urbes hi circuli

Οὐ κατὰ πᾶσαν δὲ χώραν καὶ πόλιν τὰς αὐτὰς

[21] γρ. περιφερειῶν.

(19) *Οὐδὲ αἱ διαστάσεις δέ.* Mira et scriptoris hujus, et aliorum multorum inconstantia in cœli positu, et οἰκήσει certa finienda. Sæpius enim Macedonicum, sive Arateum, clima cum Rhodio permiscent, et cum utroque Græcum, sive Atticum. Noster paulo ante significaverat p. 10, ibi, ubi tum degebat, attolli polum gradibus 41, hoc est diem esse maximam horarum 15. Idem tamen pag. 8 circulum arcticum talem ei regioni tribuit, qui Atticæ Græciæque congruat, ut supra demonstravimus. Hoc vero loco rem imprudens ad Rhodiacum parallelum transtulit. Circulum antiqui in sexaginta partes tribuere solebant, qua ratione semicirculo triginta competebant. Ad hunc modum Eratosthenes aliique intervalla parallelorum dimensi sunt, sive ea per partes sexagenas, sive per stadiasmos, conciperent. Hoc e Strabone lib. II, Achille Tatio, *Isag.* capite 39, aliisque constat. Ex intervallo quod hic Geminus assignat, colligitur ἑξαρμα poli graduum 36. Est enim numerus 6 decima pars sexagenarii, sicut 36 decima pars 360. Quare cum circulus arcticus, cujus semidiameter est altitudo poli, partibus 6 a polo distet, cujusmodi totus circulus 60 continet, eadem altitudo partium 36 erit, qualium circulus est 360. Sic duodecima pars 60 sunt 5 : uti pars duodecima numeri 360 sunt 30; quare ab arctico paralleli Rhodii ad solstitialem tropicum gradus 30, partes sexagenariæ 5, et sic in cæteris. Eadem distributio apud Achillem Tatium exstat citato loco, ubi numeri mendosi sunt, et ex hac ratione corrigi debent. Hyginus quoque lib. I *Astronom. poet.*, eamdem adhibet. Apparet astronomos ἑξαρμα Rhodiacum libenter ad exemplum ac specimen assumpsisse, propter commoditatem partitionum, et ἀναλογιῶν, quæ in duodenario numero instituuntur. Est enim numerus 36 duodenarius. Sane Ptolemæus libro II eo parallelo potissimum utitur. Ea res fecit ut alii per imprudentiam quæ illius propria sunt cæteris omnibus accommodarent. Ac Geminus paulo infra monet circulos omnes in vulgatis sphæris exigi ad horizontem Græciæ, quod ne ipse quidem accurate tenuit. Nam ἑξαρμα Græciæ, hoc est Atticæ graduum est circiter 37, ut Hipparchus docet lib. I. Verum quia Rhodus Græca civitas est, et pars aliqua Græciæ, ut Peloponnesi pleraque, sub eodem sita est parallelo : ideo hunc ipsum toti imputavit Græciæ. Frustra Procli, imo vero Gemini inconstantiam istam ex refractionibus conciliare student eruditi mathematici. Vera est illius origo quam attigi.

Digitized by Google

κράστάσεις ἔχουσιν ἀπ' ἀλλήλων οἱ κύκλοι· ἀλλ' οἱ μὲν τροπικοὶ κύκλοι ἀπὸ τοῦ ἰσημερινοῦ κατὰ πᾶν ἔγκλιμα τὴν αὐτὴν ἀπόστασιν ἔχουσιν· οἱ δὲ τροπικοὶ κύκλοι ἀπὸ τῶν ἀρκτικῶν οὐ τὴν αὐτὴν ἔχουσι διάστασιν κατὰ πάντας τοὺς ὁρίζοντας, ἀλλ' οἱ μὲν ἔλασσον, οἱ δὲ πλέον διεστήκασιν.

A has habent a se invicem distantias : tropici vero circuli ab æquinoctiali in omni climate eamdem habent distantiam; sed tropici circuli ab arcticis non eamdem habent distantiam in omnibus horizontibus, sed alii minus, alii plus distant.

Ὁμοίως δὲ οὐδὲ οἱ ἀρκτικοὶ ἀπὸ τῶν πόλων τὴν ἴσην ἀπόστασιν ἔχουσι κατὰ πᾶν ἔγκλιμα· ἀλλ' οἱ μὲν ἐλάσσονα, οἱ δὲ πλείονα. Καταγράφονται μέντοι γε πᾶσαι αἱ περιφέρειαι πρὸς τὸν ἐν τῇ Ἑλλάδι ὁρίζοντα.

Similiter neque arctici a polis æqualem habent distantiam in omni climate, sed alii minorem, alii majorem. Describuntur tamen omnes circumferentiæ ad horizontem Græciæ.

Διὰ τῶν πόλων δέ εἰσι κύκλοι, οἱ ὑπό τινων κόλουροι προσαγορευόμενοι, οἷς συμβέβηκεν ἐπὶ τῶν ἰδίων περιφερειῶν [22] τοὺς τοῦ κόσμου πόλους ἔχειν. Κόλουροι δὲ κέκληνται, διὰ τὸ μέρη τινὰ αὐτῶν ἀθεώρητα γίνεσθαι. Οἱ μὲν γὰρ λοιποὶ κύκλοι κατὰ B τὴν περιστροφὴν τοῦ κόσμου ὅλοι θεωροῦνται. Τῶν δὲ κολούρων κύκλων μέρη τινά ἐστιν ἀθεώρητα, τὰ ὑπὸ τοῦ ἀνταρκτικοῦ ὑπὸ τὸν ὁρίζοντα ἀπολαμβανόμενα. Γράφονται δὲ οὗτοι οἱ διὰ τῶν πόλων διὰ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων, καὶ εἰς δ' μέρη ἴσα διαιροῦσι τὸν διὰ μέσων τῶν ζωδίων κύκλον.

Per polos ducti circuli sunt ii qui a quibusdam vocantur coluri, quibus contingit in propriis circumferentiis mundi polos habere. Vocantur autem coluri, eo quod eorum partes aliquæ sint invisibiles. Reliqui enim circuli toti spectantur secundum mundi conversionem; at colurorum circulorum partes aliquæ sunt invisibiles, eæ videlicet quæ ab antarctico sub horizonte desumuntur. Scribuntur autem hi, qui per polos sunt ducti, per puncta solstitialia et æquinoctialia, et in quatuor partes æquales dividunt eclipticam.

Λοξὸς δέ ἐστι κύκλος ὁ τῶν ιβ' ζωδίων· αὐτὸς δὲ ἐκ γ' κύκλων παραλλήλων συνέστηκεν· ὧν οἱ μὲν τὸ πλάτος ἀφορίζειν λέγονται τοῦ ζωδιακοῦ κύκλου· ὁ δὲ διὰ μέσων τῶν ζωδίων καλεῖται. Οὗτος δὲ ἐφάπτεται δύο κύκλων ἴσων τε καὶ παραλλήλων· τοῦ μὲν θερινοῦ τροπικοῦ κατὰ τὴν τοῦ Καρκίνου πρώτην μοῖραν, τοῦ δὲ χειμερινοῦ τροπικοῦ κατὰ τὴν τοῦ Αἰγόκερω πρώτην μοῖραν· τὸν δὲ ἰσημερινὸν δίχα τέμνει κατὰ τὴν τοῦ Κριοῦ πρώτην μοῖραν, καὶ C κατὰ τὴν τοῦ Ζυγοῦ πρώτην μοῖραν. Τὸ δὲ πλάτος ἐστὶ τοῦ ζωδιακοῦ κύκλου μοιρῶν ιβ'. Λοξὸς δὲ κέκληται ὁ ζωδιακὸς κύκλος, διὰ τὸ λοξῶς τέμνειν τοὺς παραλλήλους κύκλους.

12 Obliquus autem est circulus is qui duodecim est signorum. Hic vero ex tribus circulis parallelis compositus est, quorum hi quidem latitudinem zodiaci circuli determinare dicuntur; iste vero dicitur circulus per media signa. Hic attingit duos circulos cum æquales, tum parallelos : nempe æstivum tropicum per Cancri primam partem; hibernum vero tropicum per Capricorni primam partem; æquinoctialem autem æqualiter dividit per Arietis primam partem, et per Libræ primam partem. Latitudo zodiaci est partium 12. Dicitur zodiacus circulus obliquus, eo quod oblique secat circulos parallelos.

Ὁρίζων δέ ἐστι κύκλος ὁ διορίζων ἡμῖν τό τε φανερὸν καὶ τὸ ἀφανὲς μέρος τοῦ κόσμου, καὶ διχοτομῶν τὴν ὅλην σφαῖραν τοῦ κόσμου· ὥστε ἡμισφαίριον μὲν ὑπὲρ γῆν ἀπολαμβάνεσθαι, ἡμισφαίριον δὲ ὑπὸ γῆν. Εἰσὶ δὲ οἱ ὁρίζοντες δύο, εἷς μὲν ὁ αἰσθητός, ἕτερος δὲ ὁ λόγῳ θεωρητός. Αἰσθητὸς μὲν οὖν ἐστιν ὁρίζων ὁ ὑπὸ τῆς ἡμετέρας ὄψεως περιγραφόμενος κατὰ τὸν ἀποτερματισμὸν τῆς ὁράσεως, ὃς οὐ μείζονα τὴν διάμετρον ἔχει σταδίων β'· ὁ δὲ λόγῳ θεωρητὸς ὁρίζων ἐστὶν ὁ μέχρι τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας διήκων, καὶ διχοτομῶν τὸν ὅλον κόσμον. D

Horizon est circulus qui nobis distinguit et apparentem et non apparentem partem mundi, et æqualiter dividit totam sphæram mundi, ita ut hemisphærium supra terram desumatur, hemisphærium vero infra terram. Sunt autem horizontes duo, unus qui est sensibilis, alter qui ratione percipitur. Sensibilis horizon est qui a nostro visu describitur secundum determinationem visus, qui non habet majorem diametrum stadiis 2000; at horizon, qui ratione percipitur, pervenit ad sphæram stellarum fixarum, et totum mundum æqualiter dividit.

Οὐ κατὰ πᾶσαν δὲ πόλιν, καὶ χώραν ὁ αὐτός ἐστιν ὁρίζων· ἀλλὰ πρὸς μὲν τὴν αἴσθησιν σχεδὸν ἐπὶ σταδίους υ' ὁ αὐτὸς ὁρίζων διαμένει, ὥστε καὶ τὰ μεγέθη τῶν ἡμερῶν, καὶ τὸ κλίμα, καὶ τὰ πάντα φαινόμενα τὰ αὐτὰ διαμένειν.

Non est autem idem horizon per omnes urbes et regiones, sed quoad sensum fere in stadiis 400 idem horizon permanet, ita ut et magnitudines dierum, et clima, et omnes apparentiæ eædem permaneant.

Πλειόνων δὲ σταδίων γινομένων κατὰ τὴν παραλλαγὴν τῆς οἰκήσεως, ἕτερος ὁρίζων γίνεται (20), κατὰ τὸ κλίμα διαφέρων, καὶ πάντα τὰ φαινόμενα

Cum vero plura fuerint stadia juxta diversitatem habitationis, alius fit horizon, climate differens, et omnes apparentiæ mutantur. Verumtamen oportet

[22] γρ. ἡμικυκλίων.

(20) *Ἕτερος ὁρίζων γίνεται.* Ita in editis et Anglicano codice ac nostro. Perperam itaque Salmasius (*Plin. Exerc.*, p. 661 D) emendat, κατὰ τὸ κλίμα διαφέρον, quod etsi eodem recurrit, tamen et vulgatæ lectioni sententia constat et temere sollicitari non deb

diversitatem habitationis, quæ 100 stadia superat, accipi secundum accessum ad septentrionem et meridiem. Nam iis qui habitant sub eodem parallelo, et decem millibus stadiorum a se invicem distant, diversus quidem est horizon, sed clima est idem, omnesque apparentiæ sunt similes. At principia, et fines dierum non simul omnibus erunt, qui in eodem parallelo habitant. Secundum rationis autem exactum judicium, statim cum fit vel minimus accessus versus quamcunque mundi partem, mutatur et horizon, et clima, omnesque apparentiæ sunt diversæ.

Non describitur autem horizon in sphæris propter talem causam, quod reliqui circuli omnes, cum mundus ab ortu in occasum fertur, una convertantur et ipsi cum motu mundi. At horizon natura est immobilis, semperque eumdem servat situm. Si igitur horizontes describerentur in sphæris, sphæris motis, contingeret et horizontem moveri, et fieri verticalem : quod non est cogitandum, estque alienum a doctrina sphærica. Situs tamen horizontis ex receptaculo sphæræ intelligitur.

Meridianus est circulus, qui per mundi polos et per punctum verticale describitur, ad quem ubi sol pervenit, medietates dierum, et medietates noctium efficit. Est et hic circulus immobilis in mundo, et eumdem locum retinet in tota mundi conversione. Neque hic circulus describitur in sphæris stelliferis, eo quod et immobilis sit, nec ullam admittat mutationem.

Non est autem per omnes regiones et urbes idem meridianus : sed quoad sensum, fere ad stadia 300, idem permanet meridianus : quoad rationis judicium, statim cum fit quantuluscunque progressus vel versus orientem, vel versus occasum, alius fit meridianus. Nam secundum progressum versus septentrionem, et versus meridiem, etiamsi intercedant stadiorum decem millia, tamen idem manet meridianus : secundum progressum vero ab ortu versus occasum differentiæ exsistunt meridianorum.

Obliquus etiam est circulus viæ lacteæ. Hic enim circulus majori latitudine obliquatus est, quam ut inter tropicos contineatur, et compositus est ex tenuitate nebulosa : solus etiam hic in mundo est conspicuus. Ejus latitudo non est distincta, sed secundum alias partes hic circulus est latior, secundum alias angustior. Ob quam causam in plurimis sphæris ne describitur quidem viæ lacteæ circulus. Est et hic unus maximorum circulorum. Maximi enim in sphæris dicuntur circuli illi qui idem cum sphæra habent centrum. Sunt autem

μεταπίπτει. Δεῖ μέντοιγε τὴν παραλλαγὴν τῆς οἰκήσεως τὴν ὑπὲρ υ' στάδια λαμβάνεσθαι κατὰ τὴν πρὸς ἄρκτον καὶ πρὸς μεσημβρίαν πάροδον. Τοῖς μὲν γὰρ ἐπὶ τοῦ αὐτοῦ παραλλήλου οἰκοῦσι, καὶ ἀπὸ μυρίων σταδίων ὑπάρχουσιν, ὁ μὲν ὁρίζων ἐστὶ διάφορος, τὸ δὲ κλίμα τὸ αὐτό, καὶ πάντα τὰ φαινόμενα παραπλήσια. Αἱ μέντοιγε ἀρχαὶ καὶ τελευταὶ τῶν ἡμερῶν οὐχ ἅμα πᾶσιν ἔσονται τοῖς ἐπὶ τοῦ αὐτοῦ παραλλήλου οἰκοῦσι· κατὰ δὲ τὴν πρὸς τὸν λόγον ἀκρίβειαν ἅμα τῷ στιγμιαίαν πάροδον γενέσθαι καθ' ὁποιονοῦν μέρος τοῦ κόσμου, μεταπίπτει καὶ ὁ ὁρίζων, καὶ τὸ ἔγκλιμα, καὶ πάντα τὰ φαινόμενα διάφορα.

Οὐ καταγράφεται δὲ ὁ ὁρίζων ἐν ταῖς σφαίραις δι' αἰτίαν τοιαύτην, ὅτι οἱ μὲν λοιποὶ κύκλοι πάντες, φερομένου τοῦ κόσμου ἀπ' ἀνατολῶν ἐπὶ τὴν δύσιν, συμπεριστρέφονται καὶ αὐτοὶ ἅμα τῇ τοῦ κόσμου κινήσει· ὁ δὲ ὁρίζων ἐστὶ φύσει ἀκίνητος, τὴν αὐτὴν τάξιν διαφυλάττων διὰ παντός. Εἰ οὖν κατεγράφοντο οἱ ὁρίζοντες ἐν ταῖς σφαίραις στρεφομένων αὐτῶν, συνέβαινεν ἂν τὸν ὁρίζοντα κινεῖσθαι, καὶ κατὰ κορυφὴν γίνεσθαι· ὅπερ ἐστὶν ἀδιανόητον, καὶ ἀλλότριον τοῦ σφαιρικοῦ λόγου. Ὑπὸ μέν γε τῆς σφαιροθήκης (21) ἡ τοῦ ὁρίζοντος θέσις κατανοεῖται.

Μεσημβρινὸς δέ ἐστι κύκλος ὁ διὰ τῶν τοῦ κόσμου πόλων καὶ τοῦ κατὰ κορυφὴν σημείου γραφόμενος [κύκλος·] ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰ μέσα τῶν ἡμερῶν καὶ τὰ μέσα τῶν νυκτῶν ποιεῖται. Καὶ οὗτος δέ ἐστιν ὁ κύκλος ἀκίνητος ἐν τῷ κόσμῳ, καὶ τὴν αὐτὴν τάξιν διαφυλάσσων ἐν ὅλῃ τῇ τοῦ κόσμου περιστροφῇ. Οὐ καταγράφεται δὲ οὐδὲ οὗτος ὁ κύκλος ἐν ταῖς κατηστερισμέναις σφαίραις, διὰ τὸ καὶ ἀκίνητος εἶναι, καὶ μηδεμίαν ἐπιδέχεσθαι μετάπτωσιν.

Οὐ κατὰ πᾶσαν δὲ χώραν καὶ πόλιν ὁ αὐτός ἐστι μεσημβρινός· ἀλλὰ πρὸς μὲν τὴν αἴσθησιν σχεδὸν ἐπὶ σταδίους τ' ὁ αὐτὸς μεσημβρινὸς διαμένει· πρὸς δὲ τὴν ἐν τῷ λόγῳ ἀκρίβειαν, ἅμα τῷ τὴν τυχοῦσαν γίνεσθαι πάροδον ἢ πρὸς ἀνατολὴν ἢ πρὸς δύσιν, ἕτερος γίνεται μεσημβρινός. Κατὰ μὲν γὰρ τὴν πρὸς ἄρκτον καὶ πρὸς μεσημβρίαν πάροδον, καὶ ἐὰν μεταξὺ μύριοι στάδιοι ὑπάρχουσι, ὁ αὐτὸς μένει μεσημβρινός· κατὰ δὲ τὴν ἀπ' ἀνατολῆς πρὸς δύσιν πάροδον διαφοραὶ μεσημβρινῶν.

Λοξὸς δέ ἐστι κύκλος καὶ ὁ τοῦ γάλακτος. Οὗτος μὲν μείζων πλάτει λελόξωται τῶν τροπικῶν κύκλων, συνέστηκε δὲ ἐκ βραχυμερείας νεφελοειδοῦς· καὶ ἐστιν ἐν τῷ κόσμῳ μόνος θεωρητός. Οὐχ ὥρισται [22] δὲ αὐτοῦ τὸ πλάτος, ἀλλὰ κατὰ μέν τινα μέρη πλατύτερός ἐστι, κατὰ δέ τινα στενότερος. Δι' ἥντινα αἰτίαν ἐν ταῖς πλείσταις σφαίραις οὐδὲ καταγράφεται ὁ τοῦ γάλακτος κύκλος. Ἔστι δὲ καὶ οὗτος τῶν μεγίστων κύκλων· μέγιστοι γὰρ ἐν σφαίραις λέγονται κύκλοι οἱ τὸ αὐτὸ κέντρον ἔχοντες τῇ σφαίρᾳ. Εἰσὶ δὲ μέγιστοι κύκλοι ἑπτά· ἰσημερινός, ζωδιακός, καὶ ὁ διὰ μέσων τῶν

[22] *γρ.* οὐ κεχώρισται.

(21) *Ὑπὸ μέν γε τῆς σφαιροθήκης.* Leg. ἀπό.

Digitized by Google

ζωδίων, οἱ διὰ τῶν πόλων, ὁ καθ' ἑκάστην οἴκησιν A maximi circuli septem : æquinoctialis, zodiacus,
διορίζων, ὁ μεσημβρινὸς, ὁ τοῦ γάλακτος. et circulus per medietates signorum ; circuli per
polos, circulus qui in omni habitatione 13 visam mundi partem a non visa separat, meridianus,
et circulus viæ lacteæ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ἡμέρας καὶ νυκτός.

Ἡμέρα λέγεται διχῶς· καθ' ἕνα μὲν τρόπον χρόνος ὁ ἀπὸ ἀνατολῆς ἡλίου μέχρι δύσεως· καθ' ἕτερον δὲ τρόπον ἡμέρα λέγεται χρόνος ὁ ἀφ' ἡλίου ἀνατολῆς μέχρις ἡλίου αὖθις ἀνατολῆς. Ἔστι δὲ ἡμέρα κατὰ τὸν δεύτερον τρόπον τοῦ κόσμου περιστροφὴ, καὶ τῆς περιφερείας [ἀνατολῆς], ἣν ὁ ἥλιος μεταβαίνει ὑπεναντίως κινούμενος τῷ κόσμῳ ἐν τῇ περιστροφῇ τοῦ κόσμου. Δι' ἣν αἰτίαν οὐδ' ἔστι τὸ συναμφότερον, νὺξ καὶ ἡμέρα ἐπὶ τὸ αὐτὸ ἴση πάσῃ νυκτὶ καὶ ἡμέρᾳ· ἀλλὰ πρὸς μὲν τὴν αἴσθησιν ἴσα τὰ μεγέθη ἐστί· πρὸς δὲ τὴν ἐν τῷ λόγῳ ἀκρίβειαν μικρά τις καὶ ἀνεπαίσθητος ἡ παραλλαγή. Αἱ μὲν γὰρ τοῦ κόσμου περιστροφαὶ ἰσόχρονοί εἰσιν· αἱ δὲ τῶν περιφερειῶν ἀνατολαὶ, ἃς ὁ ἥλιος μεταβαίνει ἐν τῇ τοῦ κόσμου περιστροφῇ, οὐκ εἰσιν ἰσόχρονοι. Δι' ἣν αἰτίαν οὐκ ἔστι συναμφότερον πᾶσα νὺξ καὶ ἡμέρα συναμφοτέρῳ, πάσῃ νυκτὶ καὶ ἡμέρᾳ ἴσῃ.

Κατὰ δὲ τὸν δεύτερον τρόπον τῆς διαιρέσεως τῶν ἡμερῶν, τὸν μὲν μῆνα λέγομεν εἶναι ἡμερῶν λ', τὸν δὲ ἐνιαυτὸν ἡμερῶν τξέ α'/δ'· ἔστι δὲ τὸ συναμφότερον νὺξ. καὶ ἡμέρα χρόνος ὡρῶν ἰσημερινῶν κδ', ἰσημερινὴ δὲ ὥρα τὸ α'/κδ' μέρος τοῦ χρόνου τοῦ συναγομένου ἐκ νυκτὸς καὶ ἡμέρας. C

Οὐ κατὰ πᾶσαν δὲ χώραν καὶ πόλιν τὰ αὐτὰ μεγέθη τῶν ἡμερῶν ἐστιν· ἀλλὰ τοῖς μὲν πρὸς ἄρκτον οἰκοῦσι μείζονες καὶ ἡμέραι γίνονται, τοῖς δὲ πρὸς μεσημβρίαν ἐλάσσονες.

Ἔστι δὲ ἐν Ῥόδῳ μὲν ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ' α'/β'· περὶ δὲ Ῥώμην ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιε'· τοῖς δ' ἔτι βορειοτέροις οἰκοῦσι τῆς Προποντίδος μεγίστη ἡμέρα γίνεται ὡρῶν ἰσημερινῶν ις'· καὶ ἔτι τοῖς βορειοτέροις ιζ' καὶ ιη' ὡρῶν ἡ μεγίστη ἡμέρα γίνεται.

Ἐπὶ δὲ τοὺς τόπους (22) τούτους δοκεῖ καὶ Πυθέας ὁ Μασσαλιώτης παρεῖναι. Φησὶ γοῦν ἐν τοῖς περὶ τοῦ Ὠκεανοῦ πεπραγματευμένοις αὐτῷ, ὅτι « Ἐδείκνυον D ἡμῖν οἱ βάρβαροι, ὅπου ὁ ἥλιος κοιμᾶται. Συνέβαινε γὰρ περὶ τούτους τοὺς τόπους τὴν μὲν νύκτα παντελῶς μικρὰν γίνεσθαι, ὡρῶν οἷς μὲν β', οἷς δὲ γ'· ὥστε μετὰ τὴν δύσιν, μικροῦ διαλείμματος γενομένου, ἐπανατέλλειν εὐθέως τὸν ἥλιον. » Κράτης δὲ ὁ γραμματικὸς (23) φησι τῶν τόπων τούτων καὶ Ὅμηρον μνημονεῦσαι ἐν οἷς φησιν Ὀδυσσεύς·

CAPUT V.

De die et nocte.

Dies dicitur dupliciter, uno modo tempus illud quod est ab ortu solis usque ad occasum : altero modo, dies dicitur tempus quod est ab ortu solis usque ad proximum ortum solis. Est autem dies juxta secundum modum conversio mundi, et ortus ejus arcus quem sol peragrat dum in conversione mundi movetur contra mundum. Quam ob causam neque compositum illud tempus ex nocte et die simul sumptis, æquale est omni nocti et B diei ; sed quoad sensum magnitudines sunt æquales, quoad rationis judicium parva quædam est, atque insensibilis diversitas. Mundi enim conversiones inter se temporibus sunt æquales : sed arcuum ascensiones, quos sol conficit in mundi conversione, non sunt temporibus æquales. Quam ob causam non est compositum illud tempus, nempe omnis nox et dies, composito illi tempori, scilicet omni nocti et diei, æquale.

Secundum alterum modum divisionis dierum, mensem dicimus esse dierum 30, annum vero dierum 365 1/4; est autem tempus ex nocte, et die compositum horarum æquinoctialium 24, æquinoctialis autem hora est 1/24 pars temporis compositi ex nocte et die.

Non sunt autem per omnes regiones et urbes eædem magnitudines dierum, sed iis qui versus septentrionem habitant majores fiunt et dies, minores vero iis qui versus meridiem habitant.

Est autem in Rhodo longissima dies horarum æquinoctialium 14 1/2 ; circa Romam longissima dies horarum æquinoctialium 15 ; iis vero qui habitant aliquantulum ultra Propontida versus hoream, longissima dies fit horarum æquinoctialium 16, et adhuc magis borealibus 17 et 18 horarum longissima fit dies.

Ad loca hæc videtur etiam Pytheas Massiliensis accessisse. Inquit igitur in libris suis de Oceano scriptis sic : « Monstrabant nobis barbari, ubi sol cubaret. Eveniebat enim circa hæc loca noctem quidem valde parvam fieri, bis quidem horarum 2, illis vero 3, ut post occasum, parvo intervallo interposito, statim sol postea oriretur. » Crates grammaticus inquit horum locorum etiam Homerum meminisse in his quæ Ulysses dicit :

(22) *Ἐπὶ δὲ τοὺς τόπους.* Non ea præcise loca, ubi maxima dies fit horarum 17, vel 18. Sed ulteriorisea quoque, ubi est horarum 21 et 22, ut ex sequentibus apparet ; quod in elevatione graduum 65, 66, ac deinceps evenit.

(23) *Κράτης δὲ ὁ γραμματικός.* Eustathius ad *Odyss.* K, versus illos exponens, qui a Gemino citantur, ait Cratetem illius interpretationis auctorem exstitisse, quæ Homericos versus ad exquisitiorem et mathematicam rationem exigit. Nam simplicior istorum sententia traditur, noctu et interdiu pariter operam dedisse pastioni Læstrygonas ; ac nocte quidem boves, ob asilorum et ejusmodi pestium metum ; de die vero, villis munita pecora pavisse. Porro κελεύθους ἤματος καὶ νυκτός, *diurna et nocturna pascua* vocari. Ita Eustathius, quæ quidem

Digitized by Google

Altiportam Læstrygoniam, ubi pastorem pastor
Vocat adducens : ille vero educens exaudit.
Ubi etiam insomnis vir duplices excipit mercedes.
Unam boves pascens, alteram argenteas oves pascens.
Prope enim et noctis et diei sunt viæ.

A *Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν*
Ἠπύει εἰσελάων· ὁ δέ τ' ἐξελάων ὑπακούει.
Ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιοὺς ἐϋήρατο μισθούς·
Τὸν μὲν βουκολέων, τὸν δ' ἀργυφέα μῆλα νομεύων.
Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.

Cum enim circa hæc loca maxima dies sit horarum æquinoctialium 21, nox omnino parva relinquitur esse horarum 3, ita ut occasus propinquus sit ortui, cum prorsus parvus arcus de æstivo tropico infra horizontem desumatur. Si quis igitur, inquit, posset pervigilare per tantos dies, duplicem mercedem ferret; unam quod boves; alteram, quod argenteas oves pasceret. Deinde adjicit rationem, quæ est mathematica et congruens cum sphærica doctrina.

Περὶ γὰρ τοὺς τόπους τούτους γινομένης μεγίστης ἡμέρας ὡρῶν κα' [25] ἰσημερινῶν, ἡ νὺξ μικρὰ παντάπασιν εἶναι ἀπολείπεται ὡρῶν γ' [26]· ὥστε πλησιάζειν τὴν δύσιν τῇ ἀνατολῇ, μικρᾶς παντάπασι τῆς περιφερείας ὑπὸ τὸν ὁρίζοντα ἀπολαμβανομένης ὑπὸ τοῦ θερινοῦ τροπικοῦ. Εἴ τις οὖν, φησὶ, δύναιτο διαγρυπνεῖν τὰς τηλικαύτας ἡμέρας, διπλοῦς ἐξοίσεται μισθούς· τὸν μὲν βουκολέων, τὸν δ' ἀργυφα μῆλα νομεύων. Εἶτα ἐπιφέρει τὴν αἰτίαν μαθηματικὴν οὖσαν, καὶ σύμφωνον τῷ σφαιρικῷ λόγῳ·

Prope enim et noctis et diei sunt viæ,

B *Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.*

id autem est quod occasus apponitur ortui.

Τοῦτο δ' ἐστὶν, ὅτι ἡ δύσις παράκειται τῇ ἀνατολῇ.

Cum vero adhuc magis versus septentrionem progredimur, fit æstivus tropicus circulus totus supra terram, ut in æstivis conversionibus dies apud illos fiat horarum æquinoctialium 24, iis vero qui adhuc magis versus septentrionem 14 habitant, fit arcus aliquis zodiaci circuli semper supra terram; et apud quos signi magnitudo supra horizontem desumitur, apud eos menstrua fit dies; apud quos duo signa supra terram desumuntur, bimestrem contingit longissimam dierum diem fieri. Tandem est locus aliquis extremus ad septentrionem situs, in quo polus mundi fit verticalis; zodiaci sex signa supra horizontem desumuntur: C dies vero longissima apud eos fit semestris: similiter et nox. Et horum locorum videtur etiam Homerus meminisse, ut inquit Crates grammaticus, cum de Cimmeriorum habitatione dicit:

Ἔτι δὲ μᾶλλον πρὸς ἄρκτον ἡμῶν παροδευόντων, γίνεται ὁ θερινὸς τροπικὸς κύκλος ὅλος ὑπὲρ γῆν· ὥστε ἐν ταῖς θεριναῖς τροπαῖς τὴν παρ' ἐκείνοις ἡμέραν γίνεσθαι ὡρῶν ἰσημερινῶν κδ'. Τοῖς δὲ ἔτι πρὸς ἄρκτον οἰκοῦσι γίνεται μέρος τι τοῦ ζωδιακοῦ κύκλου ὑπὲρ γῆν διὰ παντός· καὶ παρ' οἷς μὲν ζωδίου μέγεθος (24) ὑπὲρ τὸν ὁρίζοντα ἀπολαμβάνεται, μηνιαία ἡμέρα παρ' αὐτοῖς γίνεται· παρ' οἷς δὲ δύο ζώδια ὑπὲρ γῆν ἀπολαμβάνεται, διμηνιαίαν [τῶν ἡμερῶν] τὴν μεγίστην ἡμέραν συμβαίνει γίνεσθαι. Πέρας δέ ἐστί τις χώρα ἐσχάτη πρὸς ἄρκτον κειμένη, ἐν ᾗ ὁ μὲν πόλος κατὰ κορυφὴν γίνεται, τοῦ δὲ ζωδιακοῦ κύκλου τὰ ς' ζώδια ὑπὲρ τὸν ὁρίζοντα ἀπολαμβάνεται, ἓξ δὲ ὑπὸ τὸν ὁρίζοντα ὑποτέμνεται· ἡ μεγίστη δὲ ἡμέρα παρ' αὐτοῖς ἑξαμηνιαία γίνεται· ὁμοίως δὲ καὶ ἡ νύξ. Καὶ τούτων μὲν τῶν τόπων δοκεῖ μνημονεύειν καὶ ὁ Ὅμηρος, ὡς φησι Κράτης ὁ γραμματικὸς, ὅταν περὶ τῆς Κιμμερίων οἰκήσεως λέγῃ·

Hic vero Cimmeriorum virorum populique urbesque
Aere et nebula tecti. Neque unquam eos
Sol splendens aspicit radiis;
Neque cum ascendit ad cælum stelliferum;
Neque cum rursus cælitus ad terram convertitur.

Ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμοί τε πόλεις τε
Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν·
Οὐδ' ὁπόταν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα·
Οὐδ' ὅταν αὖ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται.

Sed nox tristis extensa est super miseros homines.

Ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.

Cum enim polus mundi est verticalis, contingit diem fieri semestrem, similiter et noctem. Trimestris enim fit, in quanto tempore sol ab æquinoctiali circulo, qui horizontis locum obtinet, ad æstivum tropicum circulum accedit; altera vero

Τοῦ γὰρ πόλου κατὰ κορυφὴν ὑπάρχοντος, ἑξαμηνιαίαν τὴν ἡμέραν καὶ τὴν νύκτα γενέσθαι συμβαίνει. D Τρίμηνος μὲν γὰρ γίνεται, ἐν ὅσῳ ὁ ἥλιος χρόνῳ ἀπὸ τοῦ ἰσημερινοῦ κύκλου, ὃς δὴ τὴν τοῦ ὁρίζοντος ἐπέχει τάξιν, ἐπὶ τὸν θερινὸν τροπικὸν κύκλον παρα-

[25] γρ. κγ'. [26] γρ. ὥρας μιᾶς.

expositio detorta et violenta mihi videtur. Altera itaque melior, quam ex eodem Cratete etiam Eustathius attulit. Qui hoc insuper addit, Cratetem sub Draconis capite tractum illum collocasse. Verum cum Draconis caput ex Eudoxi et Hipparchi ratiocinio, a polo distaret gradibus 37, ἑξάρμα poli non nisi graduum esset 53, ac dies longissima horarum fere 17, quod non convenit. Nox enim horarum erit circiter 7. Sed neque satis recte ad idem institutum Arateum illum versum accommodat Eustathius.

..... ἦχί περ ἄκραι
Ἐσγονται δύσιές τε καὶ ἀνατολαὶ ἀλλήλῃσι.

De quo postea.

(24) *Καὶ παρ' οἷς μὲν ζωδίου μέγεθος.* Manilius lib. III:

..... Si longius inde
Procedas, totis condentur singula membris,
Tricenasque trahent connexo tempore noctes,
Et totidem noctes adiment.

De his enim poeta loquitur quibus integrum dodecatemorion non oritur, aut occidit, non de iis quibus singulis dies in Cancro saltem exigua nocte interrumpuntur, ut voluit Scaliger, quod ad altitudinem poli graduum 66, 30', accidit.

Digitized by Google

γίνεται· ἑτέρα δὲ τρίμηνος, ἐν ᾗ ἀπὸ τοῦ θερινοῦ τροπικοῦ ἐπὶ τὸν ὁρίζοντα καταντᾷ· καὶ πάντα τοῦτον τὸν χρόνον κατὰ τοὺς ὑπὲρ γῆν κύκλους παραλλήλους ἐνεχθήσεται. Ἐπεὶ δὲ συμβαίνει τὴν οἴκησιν ταύτην ἐν μέσῃ τῇ κατεψυγμένῃ καὶ ἀοικήτῳ ζώνῃ ὑπάρχειν, ἀνάγκη διὰ παντὸς νέφεσι κατέχεσθαι τὸν τόπον, καὶ ἐπὶ πολὺ βάθος ἀέρος συνεστηκέναι τὰ νέφη, καὶ μὴ δύνασθαι τὰς τοῦ ἡλίου αὐγὰς διακόπτειν τὰ νέφη· ὥστε εὐλόγως νύκτα [26] διὰ παντὸς εἶναι παρ' αὐτοῖς σκότος. Ὅταν μὲν γὰρ ὑπὲρ γῆν ὑπάρχῃ ὁ ἥλιος, σκότος ἐστὶ παρ' αὐτοῖς διὰ τὴν παχυμερίαν τῶν νεφῶν· ὅταν δὲ ὑπὸ τὸν ὁρίζοντα ὁ ἥλιος ᾖ, διὰ τὴν φυσικὴν ἀνάγκην νύξ ἐστι παρ' αὐτοῖς· ὥστε διὰ παντὸς ἀφώτιστον αὐτῶν εἶναι τὴν οἴκησιν. Τοῦτο οὖν, φησὶ, τὸ λεγόμενόν ἐστιν ὑπὸ τοῦ ποιητοῦ·

A trimestris dies, in qua ab æstivo tropico ad horizontem descendit. Atque omni hoc tempore per circulos parallelos, qui sunt supra terram, feretur. Cum vero contingat hanc habitationem in media frigida atque inhabitabili zona esse, necesse est semper nebulis occupari locum, et in magna aeris profunditate nebulas constitutas esse, nec posse solis radios nebulas illas dissipare : itaque consentaneum est semper apud ipsos esse noctis tenebras. Cum enim supra terram fuerit sol, tenebræ sunt apud ipsos propter crassitiem nebularum; cum vero infra horizontem sol fuerit, propter naturalem necessitatem nox est apud eos : ita ut semper eorum habitatio lumine careat. Hoc igitur, inquit, est illud quod a poeta dicitur:

..... οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν.

B

... *neque unquam eos*
Sol splendens aspicit radiis.

Εἰ μὲν οὖν ταῦτα ἐνθυμεῖται ὁ Ὅμηρος, ἕτερος ἔστω λόγος· ὅτι δέ εἰσι τόποι τινὲς, τῆς γῆς σφαιροειδοῦς ὑπαρχούσης, ἔχοντες τὰ προειρημένα μεγέθη τῶν ἡμερῶν πρὸς ἄλληλα, δῆλον ἀπ' αὐτῆς τῆς σφαίρας. Τοὺς μέντοιγε τόπους τούτους ἀοικήτους εἶναι συμβαίνει διὰ τὴν τοῦ ψύχους ὑπερβολήν. Ἐν μέσῃ γὰρ κεῖνται τῇ κατεψυγμένῃ ζώνῃ.

An igitur hæc cogitet Homerus, alia esto oratio; quod autem sint loca quædam, cum terra sit globosa, quæ prædictas magnitudines dierum inter se habeant, manifestum est ex ipsa sphæræ figura. Loca certe hæc inhabitabilia esse contingit propter frigoris excessum. Sunt enim sita in media zona frigida.

Ἀνάπαλιν δὲ τοῖς πρὸς μεσημβρίαν οἰκοῦσιν ἐλάσσονες ἀεὶ μᾶλλον, καὶ ἐλάττονες αἱ ἡμέραι γίνονται· παρ' οἷς μὲν ιδ' ὡρῶν ἰσημερινῶν ἡ μεγίστη ἡμέρα γίνεται, παρ' οἷς δὲ ιγ' [27].

Contra vero iis qui versus meridiem habitant, minores semper et adhuc minores fiunt dies; apud alios quidem longissima dies est horarum æquinoctialium 14, apud alios 13.

Πέρας δέ ἐστι χώρα τις πρὸς μεσημβρίαν μᾶλλον ἡμῶν κειμένη, λεγομένη ὑπὸ τὸν ἰσημερινόν· ἐν ᾗ οἱ μὲν πόλοι ἐπὶ τοῦ ὁρίζοντος πίπτουσιν· ὀρθὴ δὲ καθίσταται ἡ τοῦ κόσμου σφαῖρα. Διχοτομοῦνται δὲ πάντες οἱ παράλληλοι κύκλοι οἱ γραφόμενοι ὑπὸ τοῦ ἡλίου κατὰ [28] τὴν τοῦ κόσμου γινομένην περιστροφήν. Δι' ἣν αἰτίαν ἰσημερία διὰ παντός ἐστι παρ' αὐτοῖς. Οὐ γὰρ παρ' ἄλλην τινὰ αἰτίαν ἡ ἀνισότης γίνεται τῶν ἡμερῶν, ἀλλὰ παρὰ τὸ ἔξαρμα τοῦ πόλου· ὃ δὴ καλεῖται ἔγκλιμα τοῦ κόσμου. Συμβαίνει γὰρ διὰ τὸν μετεωρισμὸν τοῦ πόλου τῶν μὲν ἀπὸ τοῦ ἰσημερινοῦ μέχρι τοῦ θερινοῦ τροπικοῦ γραφομένων κύκλων μείζονα μὲν τμήματα ὑπὲρ γῆν γίνεσθαι, ἐλάττονα δὲ ὑπὸ γῆν· τῶν δὲ ἀπὸ τοῦ ἰσημερινοῦ μέχρι τοῦ χειμερινοῦ τροπικοῦ γραφομένων κύκλων ἐλάττονα μὲν τμήματα ὑπὲρ γῆν γίνεσθαι, μείζονα δὲ ὑπὸ γῆν. Ὅπου δὲ οἱ πόλοι ἐπὶ τοῦ ὁρίζοντος πίπτουσιν, ἀναιρουμένου τοῦ αἰτίου τῆς ἀνισότητος τῶν ἡμερῶν (τοῦτο δὲ ἦν τὸ ἔγκλιμα), εὐλόγως συμβαίνει ἰσημερίαν εἶναι διὰ παντὸς παρ' αὐτοῖς. Πάντας μὲν γὰρ τοὺς κύκλους ὁ ἥλιος ἰσοχρόνως περιστρέφεται, καὶ τοὺς μείζονας, καὶ τοὺς ἐλάσσονας, διὰ τὸ περί τινα μένοντα σημεῖα, τοὺς πόλους, γίνεσθαι τὴν περιστροφὴν τοῦ κόσμου. Ὥστε μὴ παρὰ τὰ μεγέθη τῶν κύκλων, ἀλλὰ παρὰ τὴν ἀνισότητα τῶν τμημάτων, ὧν φέρεται ὁ ἥλιος ὑπὸ γῆν, καὶ ὑπὲρ γῆν, τὴν ἀνισότητα τῶν ἡμερῶν γίνεσθαι. Αἱ μέντοιγε παραυξήσεις τῶν ἡμερῶν καὶ τῶν νυκτῶν οὐκ εἰσὶν ἐν πᾶσι τοῖς ζωδίοις ἴσαι, ἀλλὰ περὶ μὲν τὰ τροπικὰ σημεῖα μικραὶ παντελῶς

C

Tandem est regio quædam magis nobis versus meridiem sita, quæ dicitur esse sub æquinoctiali, in qua poli mundi in horizonte ponuntur, sphæra autem mundi recta constituitur : æqualiter autem secantur omnes paralleli circuli, qui describuntur a sole secundum quotidianam mundi conversionem. Quam ob causam apud eos semper est æquinoctium. Non enim propter aliam quamdam causam exsistit dierum inæqualitas, nisi propter poli exaltationem, quæ mundi vocatur inclinatio. Evenit enim propter poli exaltationem, eorum circulorum qui ab æquinoctiali usque ad æstivum tropicum describuntur, majora quidem supra terram esse segmenta, minora autem infra terram : eorum vero, qui ab æquinoctiali ad hibernum tropicum describuntur, minora segmenta infra terram fieri, majora vero supra terram. Ubi vero poli mundi in horizonte jacent, causa inæqualitatis dierum sublata, quæ est inclinatio mundi, evenit ut æquinoctium apud eos sit semper. Omnes enim circulos parallelos sol æqualibus temporibus peragrat, cum majores, tum minores, propterea quod circa fixa puncta nempe polos mundi, fiat conversio mundi. Itaque non propter magnitudines circulorum, sed propter inæqualitatem segmentorum, in quibus sol fertur infra terram, et supra terram, fit inæqualitas dierum. Incrementa vero dierum et noctium non sunt in omnibus signis æqualia, sed circa tropica

D

[26] *γρ.* νυκτός. [27] *γρ.* ις'. [28] *γρ.* παρά.

Digitized by Google

κθ' α/β α/ιγ ἐπὶ τοὺς ιδ' μῆνας. Γίνονται οὖν ἡμέραι ,βϡκγ' α/β. Ἐν ἄρα τοῖς η' ἔτεσι τοῖς καθ' ἥλιον δεῖ ἄγεσθαι κατὰ σελήνην ἡμέρας ,βϡκγ' α/β. Ἀλλ' ἐπεὶ ὁ καθ' ἥλιον ἐνιαυτός ἐστιν ἡμερῶν τξε' α/δ, τὰ δὲ η' ἔτη καθ' ἥλιον περιέχει ἡμέρας ,βϡκβ' · ὀκταπλασιασθεῖσαι γὰρ αἱ τοῦ ἐνιαυτοῦ ἡμέραι τοσοῦτον ἀποτελοῦσι πλῆθος · ἐπεὶ οὖν αἱ κατὰ σελήνην ἡμέραι ἦσαν ἐν τοῖς η' ἔτεσι ,βϡκγ' α/β, ὑστερήσομεν καθ' ἑκάστην ὀκταετηρίδα παρὰ τὴν σελήνην καὶ ἡμέρᾳ μιᾷ καὶ ἡμίσει. Ἐν ἄρα τοῖς ις' ἔτεσιν ὑστερήσομεν παρὰ τὴν σελήνην ἡμέρας γ'. Δι' ἣν αἰτίαν καθ' ἑκάστην ἑξκαιδεκαετηρίδα πρὸς τὸν τῆς σελήνης δρόμον γ' ἐπάγονται ἡμέραι · ἵνα κατὰ μὲν ἥλιον τοὺς ἐνιαυτοὺς ἄγωμεν, κατὰ δὲ σελήνην τοὺς μῆνας καὶ τὰς ἡμέρας.

Γενομένης δὲ τῆς τοιαύτης διορθώσεως, ἕτερον ἁμάρτημα ἐπακολουθεῖ. Αἱ γὰρ κατὰ τὴν σελήνην C
ἡμέραι ἐπαγόμεναι γ' ἐν τοῖς ις' ἔτεσι πλεονάζουσι πρὸς τὸν ἥλιον ἐν ταῖς ις' δεκαετηρίσι λ' ἡμέρας

sem lunarem esse dierum 29 1/2, tempus autem bimestre dierum 59. Unde cavum et plenum mensem per vices agunt, eo quod luna bimestris dierum est 59. Fiunt igitur in anno sex pleni, et sex cavi menses. Colliguntur autem dies 354; ac propterea mensem post mensem plenum et cavum agunt.

Si igitur oporteret nos tantum annis solaribus congruere, sufficeret, cum prædicta periodo uteremur, eam congruere ad apparentias. Cum vero non tantum secundum solem oporteat annos agere, sed etiam menses et 21 dies secundum lunam, considerarunt qua ratione et hoc finem suum assequeretur. Cum igitur lunaris mensis præcise sumptus sit dierum 29 1/2 et 1/33, sint autem in octaeteride una cum intercalaribus menses 99, multiplicaverunt mensis dies 29 1/2 et 1/33 in 99 menses. Fiunt igitur dies 2923 1/2. Ergo in annis solaribus octo, lunæ dies aguntur 2923 1/2. Atqui cum annus solaris sit dierum 365 1/4, et octo anni solares contineant dies 2922, octies multiplicati dies anni hunc efficiunt numerum. Cum igitur lunares dies sint in octo annis 2923 1/2, deficiemus a luna in quavis octaeteride die 1, et insuper dimidio. Quare in 16 annis deficiemus a luna diebus 3. Quam ob causam in quavis hecœdecaeteride ad lunæ cursum tres adjiciuntur dies, ut secundum solem annos agamus, secundum lunam autem menses et dies.

Cum talis emendatio facta esset, sequitur aliud erratum. Nam lunares dies 3 intercalati in 16 annis abundant supra solem in 16 decaeteridibus, diebus 30; hoc est integro mense. Ob quam cau-

exeunti Macrobius assignet, ut idem Solinianus existimat. Non idem solum uterque, sed eodem etiam modo factum intelligit. Annus quilibet octavus, et ultimus octaeteridis idem et octavus est periodi, et ab ultimo antecedentis est nonus. Quare intercalatio quævis nono anno fiebat ab anteriori intercalatione, et octavo nihilominus periodi suæ. Sic Olympiacus agon omnis et anno quinto fiebat ab antecedente, et quarto tetraeteridis suæ, si tetraeteridem ab eo, qui ab ludorum commissione proximus est, auspicemur. Hinc scriptores alii quarto quoque anno celebratos illos esse ludos, alii quinto quoque dixerunt; neque propterea dissentiunt invicem. Idem et in bissexto Romano evenit. Hoc animadvertere critici hominis interfuit, non tam joculariter hallucinari in re nihili.

Quod autem Glaucippum auctorem citat Macrobius (I *Saturn.* 6, 13), cave putes veterem hunc scriptorem tale quid prodidisse memoriæ, quale de anno Græco isti fabulantur; nimirum in fine octaeteridis nonaginta dies tresve solidos menses ad annum accessisse. Nihil enim ille scripsit aliud, quam superfluos dies ultimo anni sui mensi interseruisse Græcos, quod de paucis diebus, non de mensibus integris usurpavit. Nam hecœdecaeteridi dies tres accrescebant, ut auctor est Geminus.

Postremo notetur illa quoque Gemini ratio (pag. 21), quam affert, cur anno tertio, quinto, et octavo intercalatum fuerit; videlicet quod exspectandum minime fuerit; dum mense solido annus anteverteret; quam πρόληψιν embolimi mensis nostri quoque computi artifices olim adhibuerunt. Vide lib. VI *De doctrina temporum*, cap. 6.

(38) *Ἐπεὶ δὲ οὐ μόνον δεῖ.* Observent studiosi quo sensu in anni Græci ratione describenda Geminus affirmet, studuisse Græcos, uti annus suus cum sole paria faceret, menses cum luna; quod non semel monere satis habemus propter Hispanici jurisconsulti ἀτοπίαν, qui præfracte asserit, ex mente Gemini Græcos sic annos suos ordinasse, ut et singuli menses lunares essent, et anni singuli solares. Hoc non docet Geminus, sed mensem quidem cum lunæ cursu quemlibet exæquatum fuisse; cum sole vero, systema ipsum annorum D
plurium, puta octaeteridem et enneadecaeteridem.

(39) *Ἐπεὶ τοίνυν ὁ κατὰ σελήνην.* Prima octaeteris dierum exstitit 2922, menses habens 99, e quibus ordinarii erant 96, reliqui tres embolimi. Illi ἐναλλὰξ pleni et cavi. Hi pleni omnes ac tricenarii. Posterior octaeteris ex diebus componitur 2923 1/2. Ita menses singuli diebus constant 29 1/2 1/33, hoc est supra dies 29 horas habent 12, et 21/33 unius horæ, vel 8/11. Nam in priore octaeteridis modo, singulæ syzygiæ colligunt dies 29, horas 12 et 12/3, sive 4/11 unius horæ. Ducantur enim 99 in 29, 1/2 1/33 unius diei, conflet numerus dierum 2923 1/2. Perperam itaque Scaliger lib. II *De emend.* cap. quod inscribitur *Elenchus octaeteridis*, errorem esse putat in Gemino α/λγ pro 6/λγ, quasi mensis supra dies 29 1/2 exigat 2/33. Id si esset verum, syzygia dierum esset 29, horarum 13 15/33 sive 13, 27', 16" 4/11. Octaeteris vero dierum 2926 1/2.

Digitized by Google

sam per annos 160 unus mensis intercalarium ex octaeteridibus aufertur. Nam pro tribus mensibus, qui debebant in 8 annis agi, duo tantum intercalantur; ut rursus mense subtracto, in mensibus et diebus congruant ad lunam, in annis vero ad solem.

Talis cum facta esset correctio, ne sic quidem contingit eam congruere ad apparentiam; totam enim octaeterida contigit aberrare, et secundum menses, et secundum dies, et secundum intercalares menses. Nam menstruum tempus non præcise sumptum est. Est enim tempus menstruum præcise sumptum dierum 29, minutorum primorum 31′, secundorum 40″, et tertiorum 50‴, et quartorum 24⁗ [36]. Propter hoc autem oportebit aliquando in 16 annis pro intercalaribus diebus dies 4 intercalari. Unde non oportet in ulla periodo menses cavos pares plenis agere; sed plures esse plenos cavis. Si enim menstruum tempus tantum esset dierum 29 1/2, oporteret pares menses plenos et cavos agi. Nunc **22** autem est particula sensibilis in menstruo tempore, quæ complet diurnam magnitudinem.

[36] Hæc cum Græco non concordant.

πρὸς τὰς τοῦ ἡλίου ὥρας· ὅπερ ἐστὶ μήν. Δι' ἣν αἰτίαν δι' ἐτῶν ρξ' εἷς μὴν τῶν ἐμβολίμων ἐκ τῶν ὀκταετηρίδων ὑφαιρεῖται. Ἀντὶ γὰρ τῶν τριῶν μηνῶν τῶν ὀφειλόντων ἐν τοῖς η' ἔτεσιν ἄγεσθαι, β' μόνον ἐμβάλλονται· ὥστε πάλιν ἐξ ἀρχῆς, τοῦ μηνὸς ὑπεξαιρεθέντος, κατὰ μὲν τοὺς μῆνας καὶ τὰς ἡμέρας τῇ σελήνῃ συμφωνεῖν, κατὰ δὲ τοὺς ἐνιαυτοὺς τῷ ἡλίῳ.

Τοιαύτης δὲ γινομένης διορθώσεως, οὐδ' οὕτως συμβαίνει συμφωνεῖν πρὸς τὸ φαινόμενον· ὅλην γὰρ τὴν ὀκταετηρίδα διημαρτῆσθαι συμβέβηκε καὶ κατὰ τοὺς μῆνας, καὶ κατὰ τὰς ἡμέρας, καὶ κατὰ τοὺς ἐμβολίμους. Ὁ γὰρ μηνιαῖος χρόνος οὐκ ἀκριβῶς εἴληπται. Ἔστι γὰρ ὁ μηνιαῖος χρόνος (40) ἀκριβῶς λαμβανόμενος ἡμερῶν κθ', καὶ πρώτων ἐξηκοστῶν λα', καὶ δευτέρων ν', καὶ τρίτων η', καὶ τετάρτων κ'· διὰ δὲ τοῦτο δεήσει ποτὲ ἐν τοῖς ις' ἔτεσιν ἀντὶ τῶν ἐμβολίμων ἡμερῶν, δ' ἐπάγεσθαι. Ὅθεν οὐ δεῖ ἐν οὐδεμιᾷ περιόδῳ ἴσους τοὺς κοίλους τοῖς πλήρεσιν ἄγειν, ἀλλὰ πλεονάζειν τοὺς πλήρεις τῶν κοίλων. Εἰ μὲν γὰρ ὁ μηνιαῖος χρόνος μόνον ἦν ἡμερῶν κθ' α/β, ἴσους ἔδει τοὺς πλήρεις καὶ τοὺς κοίλους μῆνας ἄγεσθαι· νυνὶ δέ ἐστι μόριον αἰσθητὸν ἐν τῷ μηνιαίῳ χρόνῳ, ὃ συμπληροῖ ἡμερήσιον μέγεθος. Δι' ἣν αἰτίαν δεήσει

(40) *Ἔστι γὰρ ὁ μηνιαῖος χρόνος.* Mendosus hic locus est in cusis. Scribendum, ut est in veteri, καὶ πρώτων ἐξηκοστῶν λα', καὶ δευτέρων ν', καὶ τρίτων η‴, καὶ τετάρτων κ⁗, qui est mensis Hipparcheus apud Ptolemæum lib. IV, cap. 2, dierum scilicet 29, 12, 44′, 3″, 20‴. Quoniam autem astronomi veteres in subducendis rationibus suis sexagesimis dierum sæpius utuntur, quam horis horarumque scrupulis; contra quam hodie fieri vulgo solet, juvat in tironum gratiam tabellas hic duas ascribere, quibus tam horæ quam horaria scrupula in dierum scrupula redigantur; ac vicissim diurna scrupula in horaria vertantur.

Tabula I conversionis scrupulorum diurnorum in horaria.

Sexagesimæ diurnæ.	Horæ.	Scrupula horaria.	Sexagesimæ diurnæ.	Horæ.	Scrupula oraria.	Sexagesimæ diurnæ	Horæ.	Scrupula horaria.
1	0	24	21	8	24	41	16	24
2	0	48	22	8	48	42	16	48
3	1	12	23	9	12	43	17	12
4	1	36	24	9	36	44	17	36
5	2	0	25	10	0	45	18	0
6	2	24	26	10	24	46	18	24
7	2	48	27	10	48	47	18	48
8	3	12	28	11	12	48	19	12
9	3	36	29	11	36	49	19	36
10	4	0	30	12	0	50	20	0
11	4	24	31	12	24	51	20	24
12	4	48	32	12	48	52	20	48
13	5	12	33	13	12	53	21	12
14	5	36	34	13	36	54	21	36
15	6	0	35	14	0	55	22	0
16	6	24	36	14	24	56	22	24
17	6	48	37	14	48	57	22	48
18	7	12	38	15	12	58	23	12
19	7	36	39	15	36	59	23	36
20	8	0	40	16	0	60	24	0

Tabula II, conversionis horarum et scrupulorum horarium in diurna scrupula.

Horæ vel scrupula horaria.	Sexagenæ diurnæ.	Horaria scrup.	Sexagenæ dierum.	Horaria scrup.	Sexagenæ dierum.
	′ ″		′ ″ ‴		′ ″ ‴
1	2 30	25	1 2 30	49	2 2 30
2	5 0	26	1 5 0	50	2 5 0
3	7 30	27	1 7 30	51	2 7 30
4	10 0	28	1 10 0	52	2 10 0
5	12 30	29	1 12 30	53	2 12 50
6	15 0	30	1 15 0	54	2 15 0
7	17 30	31	1 17 30	55	2 17 30
8	20 0	32	1 20 0	56	2 20 0
9	22 30	33	1 22 30	57	2 22 30
10	25 0	34	1 25 0	58	2 25 0
11	27 30	35	1 27 30	59	2 27 30
12	30 0	36	1 30 0	60	2 30 0
13	32 30	37	1 32 30		
14	35 0	38	1 35 0		
15	37 30	39	1 37 30		
16	40 0	40	1 40 0		
17	42 30	41	1 42 30		
18	45 0	42	1 45 0		
19	47 30	43	1 47 30		
20	50 0	44	1 50 0		
21	52 30	45	1 52 30		
22	55 0	46	1 55 0		
23	57 30	47	1 57 30		
24	60 0	48	2 0 0		

Methodus utriusque tabulæ est ejusmodi. Propositæ diurnæ sexagesimæ, et in horas earumque scrupula redigendæ quærantur in primo versu prioris tabulæ, eique respondentes horæ, horarumque sexagenæ notentur. Ut si libet inquirere quot sint scrupula dierum 31′, 50″, 8‴, 20⁗ in horas resoluta, quærantur ea singillatim in primo

Digitized by Google

πλεονάζειν τοὺς πλήρεις τῶν κοίλων μηνῶν. Οὐδὲ μὴν ἐν τοῖς η' ἔτεσι τρεῖς οὖν ἔνεισι μῆνες ἐμβόλιμοι. Εἰ μὲν γὰρ ἦν ὁ ἐνιαυτὸς ὁ κατὰ σελήνην ἡμερῶν τνδ', ἦν ἂν ἡ ὑπεροχὴ τοῦ ἡλιακοῦ ἐνιαυτοῦ ἡμερῶν ια' α/δ. Αὗται δὲ ὀκτάκις πολυπλασιασθεῖσαι συνεπλήρουν ἂν τοὺς γ' μῆνας τοὺς ἐμβολίμους· νυνὶ δὲ ὁ κατὰ σελήνην ἐνιαυτὸς ἀκριβῶς ἐστι τνδ' ὡς ἔγγιστα τρίτου. Ἐὰν οὖν ἀφέλωμεν τὰ τνδ' α/γ ἀπὸ τῶν τξε' α/δ, καταλειφθήσονται ἡμέραι ι', ια' δωδεκάδες· αὗται δὲ ὀκταπλασιασθεῖσαι ἀποτελοῦσιν ἡμέρας πζ' α/γ ὡς ἔγγιστα. Αὗται δὲ ἡμέραι οὐ συμπληροῦσι γ' μῆνας. Δι' ἣν αἰτίαν οὐ δεῖ ἀγνοεῖν ἐν τοῖς η' ἔτεσι γ' μῆνας ἐμβολίμους μὴ δύνασθαι εἶναι. Τοῦτο δὲ καὶ διὰ τῆς ἐννεακαιδεκαετηρίδος φανερὸν γίνεται. Ἐν γὰρ τοῖς ιθ' ἔτεσι ζ' μῆνες ἐμβόλιμοι ἄγονται, καὶ ἐκ πλειόνων χρόνων συμφωνήσει ἡ ἐννεακαιδεκαετηρὶς κατὰ τὴν τῶν μηνῶν ἀγωγήν· ἐν ἄρα ταῖς ὀκτὼ ἐννεακαιδεκαετηρίσιν ἐμβόλιμοι μῆνες ἀχθήσονται νς'. Ἐν δὲ τῇ ὀκταετηρίδι μῆνες ἐμβόλιμοι ἄγονται γ'· ἐν ἄρα ταῖς ιθ' ὀκταετηρίσιν, ὅπερ ἐστὶν ἔτη ρνβ', ἐμβόλιμοι ἄγονται νζ'. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ κατὰ τὴν ἐννεακαιδεκαετηρίδα τὴν συμφωνοῦσαν τοῖς φαινομένοις ἐμβόλιμοι μῆνες ἄγονται νς'· ὥστε πλεονάζειν τὴν ὀκταετηρίδα ἑνὶ μηνὶ ἐμβολίμῳ. Οὐκ ἄρα ἡ ὀκταετηρὶς τρεῖς μῆνας ἔχει ἐμβολίμους· ἀλλὰ καὶ κατὰ τοῦτο διημάρτηται ἡ περίοδος.

Διόπερ, ἐπειδὴ διημαρτημένην εἶναι συνέβαινε τὴν ὀκταετηρίδα κατὰ πάντα, ἑτέραν περίοδον συνεστήσαντο τὴν τῆς ἐννεακαιδεκαετηρίδος οἱ περὶ Εὐκτήμονα (41), καὶ Φίλιππον, καὶ Κάλιππον ἀστρολόγοι.

A Quam ob causam oportet plenos menses plures esse cavis mensibus. Neque vero in octo annis tres jam insunt menses intercalares. Si enim annus lunaris esset dierum 354, solaris annus haberet excessum dierum 11 1/4. Hi octies multiplicati complerent tres menses intercalares. Nunc vero lunaris annus præcise est dierum 354 1/3 fere. Si igitur 354 1/3 auferamus a 365 1/4 relinquentur dies 10 11/12 : qui per 8 multiplicati efficiunt dies 87 1/3 fere. Hi autem dies non complent tres menses. Quam ob causam non est ignorandum in octo annis tres menses intercalares non posse esse. Hoc autem etiam per enneakædecaeterida, id est periodum 19 annorum, fit manifestum. In annis enim 19 aguntur 7 menses intercalares, et ex majoribus tempo-
B ribus congruet enneakædecaeteris in mensium usu. Igitur in octo periodis 19 annorum intercalares menses agentur 56, in octaeteride menses intercalares aguntur tres. Igitur in 19 octaeteridibus, quæ faciunt annos 152, intercalares aguntur 57. In eodem tempore in periodo decemnovennali, quæ apparentiis congruit, intercalares menses aguntur 56. Itaque octaeteris uno mense intercalari superat periodum decemnovennalem. Non igitur octaeteris potest tres menses intercalares habere ; sed et hæc periodus in hoc fefellit.

23 Quamobrem cum contingeret octaeterida per
C omnia aberrare, aliam constituerunt periodum, nempe decemnovennalem, Euctemon, Philippus, Calippus astrologi. Observarunt enim in 19 annis

versu, et quæ respondent e directo horarum ratiocinia capiantur : ita ut si scrupula diurna prima sint, quæ his respondent, pro horis, et horarum scrupulis primis habeantur. Si scrupula diurna secunda proposita sint, horæ sint primorum scrupulorum instar ; et scrupula prima secundorum ; atque ita deinceps uno gradu scrupula descendant. Ad hunc ergo modum ista computabimus.

		Horæ			
31'	Scrupula diurna	12	24'	0"	0"'
50"	Secunda	0	20	0	0
8"'	Tertia	0	0	3	12
20""	Quarta	0	0	0	8
	Summa horarum	12	44'	43"	20"'

Rursus ex secunda tabula investigemus quot in sexagenas diurnas commutentur horæ 12, 44', 3", D 20"', eadem cautione servata, ut si horæ propositæ sint, quæ iis respondent sexagesimæ primæ, secundæ, etc., ut in tabula notatæ sunt, habeantur. Sin pro horis scrupula proponantur, tum horæ in sexagesima prima horaria convertendæ, sexagesima prima in secunda. Hoc modo itaque ratio constabit.

Horæ	12	30'	0"	0"'	0""
Scrupula	44'	1	50	0	0
Scrupula	3"	0	0	7	30
Scrupula	20"'	0	0	0	50
Summa		31'	50"	8"'	20""

(41) *Οἱ περὶ Εὐκτήμονα.* Mirum de Metone tacuisse Geminum, cui tamen præcipue inventum illud decemnovennalis cycli tribuitur.

Hipparchus, lib. I, Philippi auctoritate Attalum

redarguit, qui diem in Græcia longissimum scripserat eam ad brevissimum habere rationem, quæ est quinque ad tria, cum tamen Eudoxus et Philippus asseverent ejusmodi esse, qualis est duodecim ad septem. Nam cum Eudoxo consentiens Philippus docuerat tropici segmentum, quod supra terram est, eam habere rationem ad alterum quod sub terra est, quæ est duodecim ad septem. Ὁμοίως δὲ τούτῳ καὶ τῶν περὶ Φίλιππον ἀναγραφόντων, quem et συγκαταδύσεις, et συναvατολὰς τῶν ἄστρων, quasi ad situm Græciæ conscripsisse dicit : cum tamen in eo sint hallucinati. Igitur ortus siderum et occasus proposuit in parapegmate Philippus. Plutarchus in tract. : *Ὅτι οὐδὲ ζῆν ἔστιν ἡδέως κατ' Ἐπίκουρον*, ejusdem Philippi inventum esse scribit, demonstrationem schematis lunæ : Τίνας οἰόμεθα, καὶ πηλίκας ἡδονὰς ἀπὸ γεωμετρίας δρέπεσθαι, καὶ ἀστρολογίας, Εὐκλείδην γράφοντα τὰ διοπτικὰ, καὶ Φίλιππον ἀποδεικνύτα περὶ τοῦ σχήματος τῆς σελήνης ; *Quas et quantas voluptates credimus e geometria et astrologia decerpsisse Euclidem, cum scriberet dioptica;* Philippum *demonstratione de figura lunæ litteris mandata?* Plinius lib. XVIII, cap. 31, Philippum, laudat parapegmatis auctorem, in quo stellarum ortus occasusque descripserat, perinde ac Calippum, Dositheum, Eudoxum, et alios, qui passim ab antiquis eo nomine citantur. *Deinde consentiunt* (*quod est rarum*) Philippus, *Calippus*, *Dositheus*, *Parmeniscus*, *Conon*, *Criton*, *Democritus*, *Eudoxus*, *Ion*, IV *Kal. Octob. Capellam matutino exoriri, et* III *Kalend. Hædos.* Tum lib. I in catalogo scriptorum externorum lib. XVIII cum Thalete, Eudoxo, Calippo, Dositheo, etc., nominatur Philippus. Ptolemæus in libro *De significat. fixarum* Græce a nobis edito, Philippi parapegma non semel laudat. Thon. XXX : Ὁ κοινὸς Ἵππου, καὶ Ἀνδρομέδας ἐῶος δύνει,

Digitized by Google

contineri dies 6940, menses vero 235 cum intercalaribus mensibus. Aguntur autem in 19 annis menses intercalares septem. Annus igitur secundum eos fit dierum 365 5/19. In mensibus autem 235 cavos posuerunt 110, plenos vero 125. Itaque non agitur unus post alterum cavus et plenus, sed interdum quoque duo pleni continuantur. Hoc enim natura in apparentiis admittit ad lunæ rationem, quod in octacteride non inerat. In 235 autem mensibus cavos posuerunt 110 propter hanc causam. Cum menses agantur 235 in 19 annis, finxerunt hos omnes 30 dierum; et colliguntur dies 7050. Oportebat autem dici 110 cavos, quam ob causam in periodo decemnovennali dies fiunt secundum lunam 6940. Cum igitur omnes menses 30 dierum aguntur, dies 7050 superant dies 6940, diebus 110. Quare 110 menses colligunt cavos, ut in 235 mensibus compleantur dies periodi decemnovennalis 6940; ut, quantum licebat, maxime ex æquo dierum exemptilium administratio fieret, diviserunt 6940 dies in 110. Fiunt igitur dies 63. Per dies igitur 63 oportet unum exemptilem facere diem in eadem periodo. Neque semper fit exemptilis dies tricesimus, sed is, qui post 63 dies cadit, exemptilis dicitur. In hac periodo videntur menses pulchre sumpti, et intercalares sic ordinati, ut ad apparentias congruant. Tempus vero annuum apparentiis congruum sumptum est. Nam tempus annuum ex pluribus annis observatum congruit, quod sit dierum 365 1/4. At annus ex enneadecaeteride collectus constat diebus 365 5/19, qui numerus numerum 365 1/4, superat 1/76. Quam ob causam Calippus cum suis correxerunt excessum diei, et constituerunt periodum 76 annorum, constantem ex quatuor decemnovennalibus, quæ continent menses quidem 940, e quibus intercalares 28, dies vero 22759 [37]. Ordine autem mensium intercalarium simili sunt usi. Ac videtur omnium maxime eadem periodus ad apparentias congruere.

A Παρετήρησαν γὰρ ἐν τοῖς ιθ' ἔτεσι περιέχεσθαι ἡμέρας ,ςϑμ', μῆνας δὲ σλε' σὺν τοῖς ἐμβολίμοις. Ἄγονται δὲ ἐν τοῖς ιθ' ἔτεσι μῆνες ἐμβόλιμοι ἑπτά. Γίνεται οὖν ὁ ἐνιαυτὸς κατ' αὐτοὺς ἡμερῶν τξε' καὶ ε' ἐννεακαιδεκάτων. Ἐν δὲ τοῖς σλε' μησὶ κοίλους ἔταξαν ρι', πλήρεις δὲ ρκε' · ὥστε μὴ ἄγεσθαι ἕνα καὶ ἕνα κοῖλον καὶ πλήρη, ἀλλὰ καὶ β' ποτὲ κατὰ τὸ ἑξῆς πλήρεις. Τοῦτο γὰρ ἡ φύσις ἐπὶ τῶν φαινομένων ἐπιδέχεται πρὸς τὸν τῆς σελήνης λόγον · ὅπερ ἐν τῇ ὀκταετηρίδι οὐκ ἐνῆν. Ἐν δὲ τοῖς σλε' μησὶ κοίλους ἔταξαν ρι' δι' αἰτίαν τοιαύτην. Ἐπεὶ μῆνες ἄγονται σλε' ἐν τοῖς ιθ' ἔτεσιν, ὑπεστήσαντο τούτους ἅπαντας τριακονθημέρους · καὶ συνάγονται ἡμέραι ,ζν'. Ἔδει δὲ λέγεσθαι ρι' κοίλους, δι' ἣν αἰτίαν τῇ ἐννεακαιδεκαετηρίδι ἡμέραι γίνονται κατὰ σελήνην ,ςϑμ'. Πλεονάζουσιν B οὖν, τριακονθημέρων ἀγομένων πάντων τῶν μηνῶν, αἱ ,ζν' ἡμέραι τῶν ,ςϑμ' ἡμερῶν ἡμέρας ρι'. Διὸ ρι' μῆνας συνάγουσι κοίλους, ἵνα ἐν τοῖς σλε' μησὶ συμπληρωθῶσιν αἱ τῆς ἐννεακαιδεκαετηρίδος ἡμέραι ,ςϑμ' · ἵνα[38], ὡς ἐνδέχεται, μάλιστα δι' ἴσου ἡ τῶν ἐξαιρετίμων ἡμερῶν γένηται πραγματεία, ἐμέρισαν τὰς ,ςϑμ' ἡμέρας εἰς ρι'. Γίνονται οὖν ἡμέραι ξγ'. Δι' ἡμερῶν ἄρα (42) ξγ' ἐξαιρέσιμον τὴν ἡμέραν ἄγειν δεῖ ἐν αὐτῇ τῇ περιόδῳ. Οὐδὲ γίνεται ἐξαιρέσιμος ἡ τριακὰς διὰ παντὸς, ἀλλ' ἡ διὰ τῶν ξγ' ἡμερῶν πίπτουσα ἐξαιρέσιμος λέγεται. Ἐν δὲ τῇ περιόδῳ ταύτῃ δοκοῦσιν οἱ μὲν μῆνες καλῶς εἰλῆφθαι, καὶ οἱ ἐμβόλιμοι συμφώνως τοῖς φαινομένοις διατετάχθαι. Ὁ δὲ ἐνιαύσιος χρόνος σύμφωνος [38a] εἴληπται τοῖς φαινομένοις. Ὁ γὰρ ἐνιαύσιος χρόνος ἐκ πλειόνων ἐτῶν C παρατετηρημένος συμπεφώνηκεν, ὅτι ἐστὶν ἡμερῶν τξε' α/β. Ὁ δὲ ἐκ τῆς ἐννεαδεκαετηρίδος συναγόμενος ἐνιαυτός ἐστιν ἡμερῶν τξε', ἐννεακαιδεκάτων ε'. Πλεονάζουσι δὲ αὗται τῶν τξε' α/δ ἡμέρας ἑβδομηκονθέκτῳ. Δι' ἣν αἰτίαν οἱ περὶ Κάλιππον γενόμενοι ἀστρολόγοι διωρθώσαντο τὸ πλεονάζον τῆς ἡμέρας, καὶ συνεστήσαντο τὴν ἐξαιεβδομηκονταετηρίδα συνεστηκυῖαν ἐκ τεσσάρων ἐννεακαιδεκαετηρίδων, αἵτινες περιέχουσι μῆνας μὲν ,ϑμ', ὧν ἐμβόλιμοι κη', ἡμερῶν δὲ δισμυρίων ,ζψνθ'. Τῇ δὲ τάξει τῶν ἐμβολίμων ὁμοίως ἐχρήσαντο. Καὶ δοκεῖ μάλιστα πάντων ἡ αὐτὴ περίοδος τοῖς φαινομένοις συμφωνεῖν.

CAPUT VII.

De lunæ illuminationibus.

Luna a sole illuminatur, semper enim splendentem partem habet conversam ad solem: et cum oritur ante solem, pars ejus splendens ad ortum

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ σελήνης φωτισμῶν.

D Ἡ σελήνη ὑπὸ τοῦ ἡλίου φωτίζεται. Ἀεὶ γὰρ τὸ λαμπρὸν πρὸς ἥλιον ἐπεστραμμένον [39] ἔχει · καὶ ὅταν προανατέλλει τοῦ ἡλίου, τὸ λαμπρὸν αὐτῆς πρὸς

[37] Hæc cum Græco non concordant. [38] *f.* ἵνα δέ. [38a] *Leg.* οὐ σύμ. [39] *γρ.* ἀπεστραμμένον.

Εὐκτήμονι, ΦΙΛΙΠΠΩ καὶ Κόνωνι ἐπισημαίνει. Item XIV die Athyr, et XXI die Mechir, nec non XXIX, Phamenoth XVI, Pharmuthi XXI, Pachon V, Epiphi XIV. In calce vero scholiastes loca percensens, in quibus observationes ab iis, quorum usus erat testimoniis, factæ sunt, Philippum ait in Peloponneso et Locride versatum esse. Stephanus *De urbibus* in Μέδμη, quæ est Medama Bruttiorum oppidum: Ὁ πολίτης Μεδμαῖος, ὅθεν ἦν Φίλιππος ὁ ἀξιόλογος ἀνὴρ, ὁ περὶ ἀνέμων γεγραφώς. Italus ergo, atque e Bruttiis oriundus fuit eximius ille astronomus, qui de ventis scripserat. Proclus lib. II in Euclidis *Elementa*, pag. 19, ejusdem meminit: Φίλιππος δὲ ὁ Μεταῖος Πλάτωνος ὢν μαθητὴς, καὶ ὑπ' ἐκείνου προτραπεὶς εἰς τὰ μαθήματα. *Philippus Medmæus* (ita leg. non *Metæus*) *Platonis discipulus, et ab eodem incitatus ad mathematicas artes.*

(42) *Δι' ἡμερῶν ἄρα.* Hunc locum expendimus lib. II *De doctrina temporum*, cap. 9. Tum de Metonica et Calippica periodo plene ibidem egimus.

Digitized by Google

ἀνατολὴν βλέπει· καὶ ὅταν προδύνῃ τοῦ ἡλίου, καὶ ὅταν ἐπικαταδύνῃ τῷ ἡλίῳ, ἐπέστραπται τὸ λαμπρὸν πρὸς τὸν ἥλιον. Ἐν δέ τισι τῶν ἡμερῶν παρατετήρηται ἡ σελήνη κατὰ τὸ σπάνιον ἐπικαταδύνουσα τῷ ἡλίῳ, καὶ τὸ λαμπρὸν ἔχουσα βλέπον πρὸς τὴν δύσιν. Παραλλάξασα δὲ τῇ νυκτὶ πρὸς τὸν ἥλιον, καὶ προανατείλασα τοῦ ἡλίου, τὸ λαμπρὸν ἔχουσα θεωρεῖται πρὸς ἀνατολήν. Ἐξ οὗ φανερὸν, ὅτι ἡ σελήνη ὑπὸ τοῦ ἡλίου φωτίζεται. Παρατετήρηται δὲ καὶ τὰ τοιαῦτα. Ὅτε μὲν γὰρ κατὰ χειμερινὰς τροπὰς ὑπάρχων ὁ ἥλιος ἀνατέλλῃ, τότε τὸ μεσαίτατον τοῦ πεφωτισμένου βλέπει πρὸς τὸν ἥλιον· ὥστε τὴν τὰς κεραίας ἐπιζευγνύουσαν τῆς σελήνης εὐθεῖαν δίχα καὶ πρὸς ὀρθὰς τέμνεσθαι ὑπὸ τῆς εὐθείας τῶν ἀγομένων ἀπὸ τοῦ κέντρου τοῦ ἡλίου ἐπὶ τὴν διχοτομίαν τῆς σελήνης· ὅταν δὲ κατὰ θερινὰς τροπὰς ὑπάρχων ἀνατέλλῃ ὁ ἥλιος, πάλιν ἔστραπται τὸ μέσον τοῦ πεφωτισμένου πρὸς τὸ μέσον τοῦ ἡλίου· ὥστε ὁμοίως διχοτομεῖσθαι, καὶ πρὸς ὀρθὰς τέμνεσθαι τὴν προειρημένην εὐθεῖαν. Τὸ δὲ αὐτὸ γίνεται καὶ ἐπὶ τῶν δύσεων· ὥστε καὶ διὰ τούτου τοῦ σημείου συνάγεσθαι, ὅτι ὑπὸ τοῦ ἡλίου φωτίζεται ἡ σελήνη. Πεφωτισμένων μέντοιγε διὰ παντὸς αὐτῆς τὸ ἴσον ἐστὶν ὡς ἡμισφαίριον· οὐ φαίνεται δὲ διὰ παντὸς αὐτῆς τὸ ἴσον πεφωτισμένον ὡς πρὸς τὴν ἡμετέραν ὅρασιν, διὰ τὰς πρὸς τὸν ἥλιον ἀποστάσεις. Ὅταν μὲν γὰρ ἐν τῇ τριακάδι ἐν τῇ αὐτῇ μοίρᾳ γένηται ὁ ἥλιος καὶ ἡ σελήνη, τότε τὸ ἡμισφαίριον ἐπεστραμμένον πρὸς τὸν ἥλιον, ἀπεστραμμένον δὲ ἀπὸ τῆς ἡμετέρας ὄψεως, φωτίζεται· ὑποκάτω γὰρ ἡ σελήνη φέρεται τοῦ ἡλίου· ὅταν δὲ παραλλάξῃ ἡ σελήνη πρὸς τὸν ἥλιον περὶ τὴν νουμηνίαν, τότε μηνοειδὴς ἡ σελήνη θεωρεῖται· τοῦ γὰρ ἡμισφαιρίου τοῦ πεφωτισμένου μικρὸν μέρος παρακλίνεται πρὸς τὴν ἡμετέραν ὅρασιν· ὅταν δὲ ἀπέχῃ ἡ σελήνη ἀπὸ τοῦ ἡλίου ἐν ταῖς ἑφεξῆς ἡμέραις, πλεῖον ἀεὶ καὶ πλεῖον τὸ πεφωτισμένον ὑφ' ἡμῶν θεωρεῖται· ὅταν δὲ τὸ α/δ μέρος τοῦ ζωδιακοῦ κύκλου ἀπόσχῃ σελήνη, διχότομος θεωρεῖται· τότε γὰρ ἡμισφαιρίου τοῦ πεφωτισμένου ὑπὸ τοῦ ἡλίου τὸ ἥμισυ ἐφ' ἡμᾶς ἐπέστραπται· μείζονος δὲ γενομένου τοῦ διαστήματος τῆς σελήνης ἀπὸ τοῦ ἡλίου, μεῖζον καὶ τὸ πεφωτισμένον· ὅταν δὲ κατὰ διάμετρον γένηται τῷ ἡλίῳ, τὸ πεφωτισμένον ἡμισφαίριον ἐναντίον γίνεται πρὸς τὴν ἡμετέραν ὅρασιν. Καὶ καθόλου δὲ πρὸς λόγον τῶν διαστάσεων τὰ μεγέθη τῶν φωτισμῶν θεωρεῖται. Τὸ δὲ τελευταῖον, ὅταν ὑποτροχάσῃ τῷ ἡλίῳ ἡ σελήνη, ἀφώτιστος βλέπεται. Τὸ γὰρ ἡμισφαίριον αὐτῆς τὸ πεφωτισμένον ἄνω πρὸς τὸν ἥλιον ἐπέστραπται· ὅθεν εὐλόγως ἡμῖν ἀθεώρητον γίνεται τὸ πεφωτισμένον μέρος τῆς σελήνης. Ἐξ ὧν φανερὸν, ὅτι ἡ σελήνη ὑπὸ τοῦ ἡλίου φωτίζεται. Λαμβάνει δὲ τοὺς πάντας σχηματισμοὺς ἡ σελήνη ἐν τῷ μηνιαίῳ χρόνῳ τέσσαρας, ὃς αὐτοὺς ἀποτελοῦσα. Εἰσὶ δὲ οἱ σχηματισμοὶ οἵδε, μηνοειδὴς, διχότομος, ἀμφίκυρτος, πανσέληνος. Μηνοειδὴς μὲν οὖν γίνεται περὶ τὰς ἀρχὰς τῶν μηνῶν· διχότομος δὲ περὶ τὴν ὀγδόην τοῦ μηνός· ἀμφίκυρτος δὲ περὶ τὴν δωδεκάτην· πανσέληνος δὲ περὶ τὴν δεκαπεντεκαιδεκάτην· ἀμφίκυρτος μετὰ τὴν δεκαπεντεκαιδεκάτην· διχότομος δὲ περὶ τὴν εἰκοστὴν τρίτην· μηνοειδὴς δὲ περὶ τὰ ἔσχατα τῶν μηνῶν.

A respicit: et cum occidit ante solem, et cum occidit post solem, pars splendens ad solem conversa est. In quibusdam autem diebus observata est luna raro occidere post solem, et habere partem splendidam respicientem occasum. Cum vero nocturno tempore alternis variat ad solem, et ante solem oritur; videtur splendentem partem habere ad ortum. Unde manifestum est lunam a sole illuminari. Observata sunt et talia. Cum enim sol in hibernis conversionibus exsistens oritur, tunc medium illuminatæ partis lunæ respicit ad solem: ita ut recta linea, quæ cornua lunæ conjungit, æqualiter, et ad angulos rectos secetur a recta earum linearum, quæ ducuntur a centro solis ad æqualem sectionem lunæ; cum vero sol in æstivis B exsistens conversionibus oritur, rursus medietas illuminatæ partis lunæ conversa est ad medium solis; ita ut similiter æqualiter, et ad angulos rectos secetur prædicta recta. Idem fit et in occasibus; ut per hoc etiam signum colligatur, a sole lunam illuminari. Verumtamen pars lunæ media tanquam hemisphærium semper illuminatur: non tamen semper apparet ejus pars media illuminata, quoad nostrum aspectum, propter ejus a sole distantiam. Cum enim die tricesimo in eodem gradu fuerint sol et luna, tum hemisphærium conversum quidem ad solem, aversum vero a visione nostra illuminatur, fertur enim luna infra solem, cum vero alternis vicibus luna variat ad solem circa novilunium, tunc luna falcata apparet; nam he- C misphærii **24** illuminati parva pars declinat ad nostram visionem; cum vero abest luna a sole in diebus sequentibus, plus semper de illuminata parte a nobis conspicitur; cum autem per quadrantem zodiaci circuli abfuerit luna, dimidiata apparet; tunc enim hemisphærii illuminati a sole medietas ad nos conversa est; cum major fit lunæ a sole distantia, etiam major est pars illuminata; cum autem opposita fuerit soli, illuminatum hemisphærium nostro conspectui offertur. Et ut universe dicam, secundum rationem distantiarum magnitudines illuminationum spectantur. Postremo, cum luna subierit solem, expers luminis apparet. Hemisphærium enim ejus illuminatum sur- D sum ad solem conversum est: unde jure pars lunæ illuminata non spectatur. Ex quibus manifestum est, lunam a sole illuminari. Accipit autem omnes configurationes luna quatuor in menstruo tempore, bis eas efficiens. Sunt autem configurationes hæ, falcata, dimidiata, gibbosa et plena. Falcata efficitur circa principia mensium; dimidiata circa diem octavam mensis; gibbosa circa duodecimam; et plena circa medietatem mensis: ac rursus gibbosa post medietatem mensis; dimidiata circa vicesimam tertiam; et falcata circa extremos menses.

Digitized by Google

Non semper autem in diebus ejusdem nominis easdem configurationes luna efficit, sed in diversis diebus secundum inæqualitatem motus. Cum enim celerrima est, apparet luna falcata ipso die novilunii; cum tardissima, die tertio, et manet falcata interdum usque ad diem quintum; interdum cum tardissima est, usque ad septimum diem; dimidiata efficitur, cum est velocissima, circa sextum; cum tardissima, circa octavum; gibbosa efficitur, cum est celerrima, circa decimum; cum est tardissima, circa 13; plena redditur, cum est celerrima, circa 13; cum tardissima, circa 17; gibbosa secundo, cum est celerrima, fit circa 18, cum tardissima, circa 22; dimidiata secundo, cum est celerrima, circa 21, cum tardissima, circa 23; falcata secundo fit, cum est celerrima, circa 25, cum est tardissima, circa 26. Totum autem tempus menstruum est dierum 29 1/2 1/3. Est enim inensis tempus a conjunctione ad conjunctionem; a plenilunio ad plenilunium, conjunctio autem est tempus in quo sol et luna in eodem gradu consituuntur. Quod contingit die 30 mensis.

A

B

CAPUT VIII.

De eclipsi solis.

Solis eclipses fiunt ex interpositu lunæ. Cum enim sol superius feratur, luna inferius, cum in eodem gradu fuerint sol et luna sub solem subieus ista officit radiis solis, qui ad nos feruntur. Quamobrem ne dicendum quidem est, eas proprie esse eclipses, sed interpositiones. Nam solis quidem nulla pars unquam deficiet; nobis vero ipse redditur invisibilis propter incursionem lunæ. Quam ob causam ne æquales quidem rursus eclipses fiunt; sed secundum climatum differentias magnæ diversitates fiunt circa magnitudines eclipsium. Eodem enim tempore aliis totus deficit sol; aliis medietas solis; aliis minor pars medietate; aliis nulla pars omnino solis deficere videtur. Nam qui habitant in perpendiculo interpositionis lunæ, his totus sol absconditur; qui vero extra perpendiculum partem aliquam interpositionis habent, iis pars aliqua solis deficere videtur; qui vero omnino extra interpositionem habitant, his nulla pars solis deficit. Quod autem secundum interjectum lunæ sol deficiat, maximum est argumentum, non fieri in alio die eclipses, nisi tantum in tricesimo, cum luna conjungitur cum sole; et hinc idem cognoscitur, quod pro ratione locorum magnitudines eclipsium fiant.

C

D

Οὐ διὰ παντὸς δὲ ἐν ταῖς ὁμωνύμοις ἡμέραις τοὺς αὐτοὺς σχηματισμοὺς ἡ σελήνη ἀποτελεῖ. Ἀλλ' ἐν διαφόροις ἡμέραις κατὰ τὴν ἀνωμαλίαν τῆς κινήσεως. Ταχίστη μὲν γὰρ φαίνεται ἡ σελήνη μηνοειδὴς τῇ νουμηνίᾳ· βραδυτάτη δὲ τῇ τρίτῃ. Καὶ μένει μηνοειδής, ὁτὲ μὲν [40] ἕως τῆς πέμπτης, ὁτὲ δὲ βραδύτατον, ἕως τῆς ἑβδόμης· διχότομος δὲ γίνεται ταχίστη μὲν περὶ τὴν ἕκτην, βραδυτάτη δὲ περὶ τὴν ὀγδόην· ἀμφίκυρτος δὲ γίνεται περὶ τὴν δεκάτην ταχίστη, βραδυτάτη δὲ περὶ τὴν ιγ'· πανσέληνος δὲ γίνεται ταχίστη μὲν περὶ τὴν ιγ', βραδυτάτη δὲ περὶ τὴν ιζ'. Ἀμφίκυρτος δὲ τὸ δεύτερον, ταχίστη μὲν ἀνατέλλει περὶ τὴν ιη', βραδυτάτη δὲ περὶ τὴν κβ'. Διχότομος δὲ γίνεται τὸ δεύτερον ταχίστη μὲν περὶ τὴν εἰκάδα καὶ μίαν, βραδυτάτη δὲ περὶ τὴν εἰκάδα καὶ τρίτην· μηνοειδὴς δὲ γίνεται τὸ δεύτερον, ταχίστη μὲν περὶ τὴν εἰκάδα καὶ πέμπτην, βραδυτάτη δὲ περὶ τὴν εἰκάδα καὶ ἕκτην. Ὁ δὲ πᾶς μηνιαῖος χρόνος ἡμερῶν ἐστι κθ' α/β α/γ· ἔστι γὰρ μὴν χρόνος ἀπὸ συνόδου εἰς σύνοδον, ἀπὸ τῆς πανσελήνου ἐπὶ τὴν πανσέληνον· σύνοδος δέ ἐστι χρόνος, ἐν ᾧ ὁ ἥλιος καὶ ἡ σελήνη ἐν τῇ αὐτῇ μοίρᾳ γίνονται. Ὅπερ συμβαίνει τῇ τριακάδι.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἐκλείψεως ἡλίου.

Αἱ τοῦ ἡλίου ἐκλείψεις γίνονται κατ' ἐπιπρόσθησιν σελήνης. Μετεωροτέρου γὰρ φερομένου τοῦ ἡλίου, ταπεινοτέρας δὲ τῆς σελήνης, ὅταν κατὰ τὴν αὐτὴν μοῖραν γένηται ὁ ἥλιος καὶ ἡ σελήνη, ὑποτροχάσασα ἡ σελήνη τῷ ἡλίῳ ἀντιφράττει ταῖς ἀπὸ τοῦ ἡλίου φερομέναις αὐγαῖς πρὸς ἡμᾶς. Διόπερ οὐδὲ ῥητέον αὐτὰς κυρίως ἐκλείψεις, ἀλλ' ἐπιπροσθήσεις. Τοῦ μὲν γὰρ ἡλίου οὐδὲ ἓν μέρος οὐδέποτε ἐκλείψει· ἡμῖν δὲ ἀθεώρητος γίνεται διὰ τὴν ἐπιπρόσθησιν τῆς σελήνης. Δι' ἣν αἰτίαν οὐδ' ἴσαι πάλιν αἱ ἐκλείψεις γίνονται· ἀλλὰ κατὰ τὰς τῶν κλιμάτων διαφορὰς μεγάλαι παραλλαγαὶ γίνονται περὶ τὰ μεγέθη τῶν ἐκλείψεων. Κατὰ γὰρ τὸν αὐτὸν χρόνον (43) οἷς μὲν ὅλος ὁ ἥλιος ἐκλείπει, οἷς δὲ τὸ ἥμισυ, οἷς δὲ τὸ ἔλαττον τοῦ ἡμίσεως· οἷς δὲ τὴν ἀρχὴν οὐδὲν μέρος τοῦ ἡλίου ἐκλελοιπὸς θεωρεῖται. Ὅσοι μὲν γὰρ κατὰ κάθετον οἰκοῦσι τῆς ἐπιπροσθήσεως, τούτοις ὅλος ἀθεώρητος γίνεται ὁ ἥλιος· τοῖς δὲ ἔξω μέρος τι τῆς ἐπιπροσθήσεως ἔχουσι μέρος τι τοῦ ἡλίου ἐκλελοιπὸς βλέπεται· τοῖς δὲ ἔξω ὁλοσχερῶς τῆς ἐπιπροσθήσεως οἰκοῦσιν οὐδὲν μέρος τοῦ ἡλίου ἐκλελοιπὸς θεωρεῖται. Ὅτι δὲ κατὰ τὴν ἐπιπρόσθησιν τῆς σελήνης ὁ ἥλιος ἐκλείπει, μέγιστον τεκμήριον τὸ μὴ γίνεσθαι ἐν ἄλλῃ ἡμέρᾳ τὰς ἐκλείψεις, ἀλλ' ἐν τῇ τριακοστῇ μόνον, ὅτε συνοδεύει ἡ σελήνη τῷ ἡλίῳ, καὶ ἐκ τοῦ πρὸς λόγον τῶν οἰκήσεων τὰ μεγέθη τῶν ἐκλείψεων γίνεσθαι.

[40] *f.* ὁτὲ μὲν ταχίστη, et mox βραδυτάτη

(43) *Κατὰ γὰρ τὸν αὐτὸν χρόνον.* Totusne sol aliquando deficiat, an pars ejus aliqua semper emergat, obducique nequeat, non inter principes artis illius convenit. Nam ætate nostra Tycho Braheus negavit ab luna, quamlibet dejecta, totum obscurari posse solis orbem; ac diametros aspectabiles lunæ minores in syzygiis, quam solares, constituit. Pugnat autem ex adverso veterum auctoritas; tum experimenta ipsa magnorum artificum. Vide Keplerum, capite 8 *Opticæ astronomicæ*, ubi pluribus exemplis approbat solem aliquando totum posse deficere, quod hic Geminus noster affirmat,

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἐκλείψεως τῆς σελήνης.

Αἱ τῆς σελήνης ἐκλείψεις γίνονται κατὰ τὴν εἰς τὸ σκίασμα τῆς γῆς ἔμπτωσιν τῆς σελήνης. Καθάπερ γὰρ καὶ τὰ λοιπὰ τῶν σωμάτων, φωτιζόμενα ὑπὸ τοῦ ἡλίου, σκιὰς ἀποβάλλει, οὕτω καὶ ἡ γῆ, φωτιζομένη ὑπὸ τοῦ ἡλίου, σκιὰν ἀποβάλλει. Καὶ ἤδη μέντοιγε διὰ τὸ μέγεθος τῆς γῆς εἰλικρινῆ συμβαίνει τὴν σκιὰν εἶναι καὶ βαθεῖαν. Ὅταν οὖν κατὰ διάμετρον γένηται ἡ σελήνη τῷ ἡλίῳ, τότε καὶ τὸ σκίασμα τῆς γῆς κατὰ διάμετρον γίνεται τῷ ἡλίῳ. Ὅθεν ἡ σελήνη ταπεινοτέρα φερομένη τοῦ σκιάσματος, εὐλόγως ἐμπίπτει εἰς τὸ σκίασμα τῆς γῆς. Ἀεὶ δὲ τὸ ἐμπίπτον αὐτῆς μέρος εἰς τὸ σκίασμα τῆς γῆς ἀφώτιστον γίνεται τοῦ ἡλίου, διὰ τὴν ἐπιπρόσθησιν τῆς γῆς. Τότε γὰρ ἐπὶ τῆς αὐτῆς εὐθείας γίνεται ὁ ἥλιος καὶ ἡ γῆ, καὶ τὸ σκίασμα τῆς γῆς, καὶ ἡ σελήνη. Δι' ἣν αἰτίαν οὐδὲ γίνονται ἐκλείψεις τῆς σελήνης ἐν ἄλλῃ ἡμέρᾳ, ἀλλ' ἐν τῇ διχομηνίᾳ. Τότε γὰρ κατὰ διάμετρον γίνεται ἡ σελήνη τῷ ἡλίῳ. Γίνονται μέντοιγε πᾶσαι αἱ τῆς σελήνης ἐκλείψεις ἴσαι· αἱ μὲν γὰρ ἐπιπροσθήσεις αἱ γινόμεναι ἐν ταῖς τοῦ ἡλίου ἐκλείψεσι παρὰ τὰς οἰκήσεις διάφοροι γίνονται, δι' ἣν αἰτίαν καὶ τὰ μεγέθη τῶν ἐκλείψεων διάφορα γίνεται· αἱ δὲ ἐμπτώσεις τῆς σελήνης εἰς τὸ σκίασμα ἴσαι πᾶσαι γίνονται κατὰ τὴν αὐτὴν ἔκλειψιν. Ἤδη μέντοιγε οὐ διὰ παντὸς τὸ ἴσον ἐκλείπει τῆς σελήνης. Ὅταν γὰρ διὰ μέσου τοῦ ἐκλειπτικοῦ ἡ σελήνη τὴν πάροδον ποιῆται, ὅλη ἐμπίπτει εἰς τὸ σκίασμα τῆς γῆς· ὥστε ἀναγκαῖον καὶ ὅλην αὐτὴν ἐκλείπειν. Ὅταν δὲ παράψηται τοῦ σκιάσματος, μέρος τι τῆς σελήνης ἐκλείπει· ἔστι δὲ τὸ ἐκλειπτικὸν αὐτῆς μοιρῶν δύο. Ἐν γὰρ τούτῳ τῷ τόπῳ πάσας τὰς ἐκλείψεις συμβαίνει τῆς σελήνης γίνεσθαι. Ἐκ δὲ τούτων φανερὸν, ὅτι αἱ τῆς σελήνης ἐκλείψεις γίνονται κατὰ τὴν εἰς τὸ σκίασμα τῆς γῆς ἔμπτωσιν· πρὸς λόγον γὰρ τῆς κατὰ πλάτος κινήσεως τῆς ἡμερησίου τῆς σελήνης τὰ μεγέθη τῶν ἐκλείψεων σύμφωνα γίνεται· καὶ ἐν ἄλλαις ἡμέραις οὐ γίνονται αἱ τῆς σελήνης ἐκλείψεις, πλὴν ἐν τῇ διχομηνίᾳ.

CAPUT IX.

De eclipsibus lunæ.

Lunæ eclipses fiunt secundum incidentiam lunæ in umbram terræ. Quemadmodum enim et reliqua corpora, cum a sole illuminantur, umbras projiciunt, sic etiam terra, cum a sole illuminatur, projicit umbram. Et certe jam propter magnitudinem terræ contingit, umbram ejus manifestam et profundam esse. Cum igitur luna soli diametraliter opponitur, tunc quoque terræ umbra diametraliter opponitur soli. Unde luna, cum inferius feratur quam umbra, necessario incidit in umbram terræ. Semper autem pars ejus, qua in umbram terræ incidit, non illuminatur a sole propter intercursionem terræ. Tunc enim in eadem linea recta constituuntur sol, terra, umbra terræ et luna. Quam ob causam ne fiunt quidem eclipses lunæ in alio die, nisi in plenilunio. Tunc enim e diametro luna opponitur soli. Verumtamen omnes lunæ eclipses fiunt æquales; nam incursiones, quæ in solis eclipsibus fiunt, propter loca habitationum diversæ efficiuntur, ob id etiam magnitudines eclipsium solarium diversæ redduntur : at lunæ incidentiæ in umbram fiunt omnes æquales in eadem eclipsi. Jam vero non semper æqualis pars lunæ deficit. Cum enim per medium circulum eclipticum luna transitum facit, tota incidit in umbram terræ. Itaque necessarium est, ut ipsa tota deficiat. Cum vero attingit umbram, pars aliqua lunæ deficit : pars autem circuli, quæ lunam deficere facit, est duorum graduum. In hoc enim loco omnes eclipses lunæ contingit fieri. Ex his manifestum est, quod lunæ eclipses fiant secundum incidentiam in umbram terræ; nam ratione diurni motus lunæ secundum latitudinem fiunt congruæ eclipsium magnitudines, et in aliis diebus non fiunt lunares eclipses, nisi in plenilunio.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ὅτι τὴν ἐναντίαν τῷ κόσμῳ κίνησιν οἱ πλάνητες ποιοῦνται.

Ὁ κόσμος κινεῖται φορὰν ἐγκύκλιον ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. Ὅσοι γὰρ ἂν τῶν ἀστέρων μετὰ τὴν τοῦ ἡλίου δύσιν πρὸς τῇ ἀνατολῇ θεωρηθῶσι, προβαινούσης τῆς νυκτὸς, μετεωριζόμενοι μᾶλλον ἀεὶ καὶ μᾶλλον θεωροῦνται· εἶτα βλέπονται πρὸς τῇ μεσουρανήσει· προβαινούσης δὲ τῆς νυκτὸς, ἀποκλινόμενοι πρὸς τὴν δύσιν οἱ αὐτοὶ ἀστέρες θεωροῦνται· καὶ πέρας δύνοντες ὁρῶνται· καὶ τοῦτο καθ' ἑκάστην ἡμέραν ἐπὶ πάντων ἀστέρων γίνεται. Ὥστε φανερὸν, ὅτι ὅλος ὁ κόσμος πᾶσι τοῖς ἐφ' ἑαυτοῦ μέρεσι κινεῖται καὶ ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. Ὅτι δὲ ἐγκύκλιον ποιεῖται τὴν προφορὰν, πρόδηλον ἐκ τοῦ πάντας τοὺς ἀστέρας ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλειν, καὶ εἰς τὸν αὐτὸν τόπον δύνειν· ἔτι καὶ διὰ τῶν διόπτρων θεωρούμενοι πάντες οἱ ἀστέρες φαίνονται ἐγκύκλιον ποιούμενοι τὴν κίνησιν ὅλῃ τῇ περιαγωγῇ τῶν διόπτρων.

CAPUT X.

Quod contrarium mundo motum planetæ faciant.

Mundus movetur motu circulari ab ortu ad occasum. Nam quæcunque stellæ post solis occasum ad ortum conspiciuntur, hæ procedente nocte, magis magisque semper elevari spectantur; deinde videntur in medio cœli. Progrediente autem nocte, declinare ad occasum eædem stellæ videntur, et tandem occidere spectantur. Atque hoc quotidie in omnibus fit stellis. Itaque manifestum est, quod totus mundus cum omnibus suis partibus moveatur, et quidem ab ortu versus occasum. Quod vero circularem faciat motum, ex eo manifestum est, quod omnes stellæ ex eodem loco oriantur, et in eumdem locum occidant; præterea etiam per dioptra omnes stellæ spectatæ videntur circularem motum facere in tota circumductione dioptrorum.

Digitized by Google

At sol ab occasu versus ortum fertur motu contrario mundo. Hoc manifestum est ex stellis, quæ ante solem oriuntur. Nam quæcunque stellæ ante ortum solis spectatæ fuerint oriri ante solem, hæ sequentibus noctibus tempestivius conspiciuntur oriri ante solem, atque hoc fit continuo in omnibus noctibus. Unde manifestum est, quod in consequentia signa sol procedat, cum ab occasu versus ortum moveatur contra mundi motum. Si vero ab ortu versus occasum ferretur sol, semper contingeret eas stellas, quæ prius orirentur, minime apparere. Nam in antecedentia transiens signa, debebat eas suis radiis obscurare ; stellæ enim, cum prope solem fuerint, non videntur, utpote a sole obscuratæ. At hoc non fit : sed stellæ, quæ prius oriuntur, sequentibus noctibus semper magis magisque ab ortu distantiam habere spectantur : ita ut menstruo tempore totum signum constellationis ante solem oriatur, quod prius radiis solis occultabatur : semper enim illud signum, quod solem sequitur, a sole fit invisibile, propter radios solis : illud vero, quod præcedit solem, conspicitur. In menstruo autem tempore signum sequens semper est invisibile, cum sol ad id transeat ; præcedens vero signum, cum distat duorum signorum spatio, conspicitur ; atque hoc in duodecim signis semper fit. E quibus manifestum est, **26** quod sol, cum contra mundi motum feratur, in consequentia, et non in antecedentia signa transitum faciat.

Manifestius autem in luna conspicitur motus. Nam et ipsa contra motum mundi ab occasu versus ortum videtur moveri : hoc autem in una nocte potest deprehendi per visionem, cum apparentia testimonium præbeat. Cum enim apud aliquam stellarum fixarum conspecta fuerit luna, nocte procedente distat ab illa observata stella ad ortum, et stella illa a luna ad occasum ; ac sæpe in tota nocte luna gradu ab illa observata stella distat ad ortum, ita ut in una nocte spectetur motus contrarius mundo. Non enim ad antecedentes stellas procedit, sed ad consequentes.

Dicunt autem quidam, solem ad consequentia signa transitum facere, et lunam similiter : verumtamen eos non moveri contra mundum ; sed propter magnitudines superari eos a sphæra stellarum inerrantium ; videri autem nobis in consequentia signa transitum illum fieri juxta motum contrarium ; sed hoc non esse verum ; et ferri solem, et lunam ab ortu, versus occasum ; sed cum superentur a mundo, antequam circulum peragrent, in consequentibus signis spectari. Utuntur autem quidam et hac similitudine. Si enim aliquis, inquiunt, constitueret cursores duodecim eadem

Ὁ μέντοιγε ἥλιος ἀπὸ δύσεως ἐπὶ τὴν ἀνατολὴν φέρεται ὑπεναντίως τῷ κόσμῳ. Τοῦτο δέ ἐστι φανερὸν ἐκ τῶν προανατελλόντων ἀστέρων τοῦ ἡλίου. Ὅσοι γὰρ ἂν πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς θεωρηθῶσιν ἀστέρες προανατεταλκότες τοῦ ἡλίου, ἐν ταῖς ἐχομέναις νυξὶν ἐνωρότερον προανατεταλκότες θεωροῦνται· καὶ τοῦτο γίνεται κατὰ τὸ ἑξῆς ἐπὶ πασῶν τῶν νυκτῶν. Ἐξ οὗ φανερὸν, ὅτι εἰς τὰ ἑπόμενα τῶν ζωδίων ὁ ἥλιος μεταβαίνει, ἀπὸ δύσεως ἐπ' ἀνατολὴν κινούμενος ὑπεναντίως τῷ κόσμῳ. Εἰ δέ γε ἀπὸ τῆς ἀνατολῆς ἐπὶ τὴν δύσιν ἐφέρετο ὁ ἥλιος, ἀεὶ τοὺς προανατέλλοντας ἀστέρας ἀθεωρήτους ἂν εἶναι συνέβαινεν. Εἰς γὰρ τὰ προηγούμενα μεταβαίνων μέρη, ὤφειλεν ἀποκρύπτειν αὐτοὺς ταῖς ἰδίαις αὐγαῖς· ἀεὶ γὰρ οἱ κατὰ τὸν ἥλιον γινόμενοι ἀστέρες ἀθεώρητοι ὑπάρχουσι, καταυγούμενοι ὑπὸ τοῦ ἡλίου. Νῦν δὲ οὐ γίνεται τοῦτο· ἀλλ' οἱ προανατέλλοντες ἀστέρες ἐν ταῖς ἐχομέναις νυξὶ πλεῖον ἀεὶ καὶ πλεῖον ἀπὸ τῆς ἀνατολῆς ἀπέχοντες διάστημα θεωροῦνται· ὥστε μηνιαίῳ χρόνῳ ζώδιον ὅλον προανατέλλειν τοῦ ἡλίου τὸ πρότερον ὑπάρχον ἐν ταῖς αὐγαῖς τοῦ ἡλίου. Ἀεὶ γὰρ τὸ μὲν ἑπόμενον ζώδιον ὑπὸ τοῦ ἡλίου ἀθεώρητόν ἐστι διὰ τὰς αὐγὰς τοῦ ἡλίου· τὸ δὲ προηγούμενον αὐτοῦ θεωρεῖται. Ἐν δὲ τῷ μηνιαίῳ χρόνῳ ἀεὶ τὸ μὲν ἑπόμενον ζώδιον ἀθεώρητον γίνεται, μεταβαίνοντος εἰς αὐτὸ τοῦ ἡλίου· τὸ δὲ προηγούμενον ζώδιον δύο ζωδίων διάστημα ἀφεστηκὸς βλέπεται· καὶ τοῦτο ἐπὶ τῶν ιβ' ζωδίων διὰ παντὸς γίνεται. Ἐξ ὧν φανερὸν, ὅτι ὁ ἥλιος, ὑπεναντίως τῷ κόσμῳ κινούμενος εἰς τὰ ἑπόμενα τῶν ζωδίων, καὶ οὐκ εἰς τὰ προηγούμενα ποιεῖται τὴν μετάβασιν.

Ἐκδηλότερον δὲ ἐπὶ τῆς σελήνης θεωρεῖται ἡ κίνησις· καὶ γὰρ αὐτὴ ὑπεναντίως τῷ κόσμῳ θεωρεῖται ἀπὸ δύσεως ἐπ' ἀνατολὴν κινουμένη· τοῦτο δὲ ἐν μιᾷ νυκτὶ δύναται καταλαμβάνεσθαι διὰ τῆς ὁράσεως, ἐπιμαρτυροῦντος τοῦ φαινομένου. Ὅταν γὰρ παρά τινα τῶν ἀπλανῶν ἀστέρων θεωρηθῇ ἡ σελήνη, προβαινούσης τῆς νυκτὸς ἀφίσταται ἀπὸ τοῦ παρατετηρημένου ἀστέρος πρὸς ἀνατολὴν, καὶ ὁ ἀστὴρ ἀπὸ τῆς σελήνης πρὸς δύσιν· καὶ πολλάκις ἐν ὅλῃ τῇ νυκτὶ ἡ σελήνη μοίρᾳ [61] ἀπὸ τοῦ παρατετηρημένου ἀστέρος διίσταται πρὸς ἀνατολήν· ὥστε ἐν μιᾷ νυκτὶ θεωρεῖσθαι τὴν ὑπεναντίαν κίνησιν τῷ κόσμῳ. Οὐ γὰρ εἰς τοὺς προηγουμένους ἀστέρας προβαίνει, ἀλλ' εἰς τοὺς ἑπομένους.

Λέγουσι δέ τινες εἰς μὲν τὰ ἑπόμενα ζώδια τὴν μετάβασιν γίνεσθαι τῷ ἡλίῳ καὶ τῇ σελήνῃ· μὴ μέντοιγε ὑπεναντίως αὐτοὺς κινεῖσθαι τῷ κόσμῳ, ἀλλὰ διὰ τὰ μεγέθη ὑπολείπεσθαι αὐτοὺς τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας· δοκεῖν δὲ ἡμῖν εἰς τὰ ἑπόμενα τῶν ζωδίων τὴν μετάβασιν γίνεσθαι κατὰ τὴν ἐναντίαν κίνησιν· τοῦτο δὲ μὴ εἶναι ἀληθὲς, ἀλλὰ φέρεσθαι μὲν ἥλιον καὶ σελήνην ἀπ' ἀνατολῆς ἐπὶ δύσιν· καταταχουμένους δὲ ὑπὸ τοῦ κόσμου πρὸ τοῦ κύκλον περιδραμεῖν, ἐν τοῖς ἑπομένοις ζωδίοις θεωρεῖσθαι. Χρῶνται δέ τινες καὶ τῷ ὁμοιώματι τούτῳ. Εἴ γάρ τις, φασὶν, ὑπεστήσατο δρομεῖς ιβ' ἴσῳ τάχει χρωμένους,

[61] *f.* τῇ νυκτὶ ἡ μοῖρα.

Digitized by Google

καὶ ποιουμένους ἐπὶ κύκλου τὴν κίνησιν, εἶτα μέντοι γε ἄλλον τινὰ ἕνα βραδύτερον ἐν αὐτοῖς κινούμενον, ὁμοίαν δὲ τὴν κίνησιν αὐτοῖς ποιούμενον ἐπὶ κύκλου· ὄόξει μὲν, περικαταλαμβανόμενος [48], εἰς τὰ ἑπόμενα μεταβαίνειν, οὐκ ἔσται δὲ τοῦτο ἐπὶ τῆς ἀληθείας· ἀλλ' ὁμοίως αὐτοῖς κινούμενος διὰ τὴν βραδυτῆτα δόξει εἰς τἀναντία κινεῖσθαι. Τοῦτο δὴ καὶ ἐπὶ τοῦ ἡλίου καὶ ἐπὶ τῆς σελήνης συμβεβηκέναι. Ἐπὶ γὰρ τὰ αὐτὰ μέρη κινούμενοι τῷ κόσμῳ, διὰ τὴν βραδυτῆτα εἰς τὰ ἑπόμενα ὑποφέρονται· καθάπερ τὰ ἐπὶ τῶν ποταμῶν καταφερόμενα πλοῖα, προκαταταχούμενα ὑπὸ τοῦ ῥεύματος, δοκεῖ εἰς τὰ ὀπίσω κινεῖσθαι· τοῦτο δέ φασι καὶ ἐπὶ τοῦ ἡλίου, καὶ ἐπὶ τῆς σελήνης συμβαίνειν.

celeritate utentes, et facientes in circulo motum, deinde vero alium quemdam inter ipsos tardius se moventem, et tamen iis similem motum in circulo facientem : videbitur quidem is, cum anteveniatur, in consequentia transire, verum ex rei veritate hoc non erit ; sed cum similiter atque ipsi moveatur, tamen propter tarditatem videbitur in contraria moveri. Atque hoc idem et in sole, et in luna contingere. Cum enim versus easdem partes cum mundo moveantur, propter tarditatem in consequentia inferius feruntur : quemadmodum navigia, quæ in fluviis deferuntur, cum a fluxu superantur, videntur retro ferri. Hoc autem inquiunt et in sole et in luna contingere.

Αὕτη δὲ ἡ δόξα ὑπὸ πολλῶν φιλοσόφων εἰρημένη ἀσύμφωνός ἐστι τοῖς φαινομένοις· εἰ γὰρ καθ' ὑπόλειψιν ἐκινοῦντο, ὑποφερομένων τῶν σωμάτων διὰ τὰ μεγέθη, ἔδει κατὰ παραλλήλους κύκλους τὴν ὑπόλειψιν γίνεσθαι· καθάπερ καὶ οἱ ἀπλανεῖς ἀστέρες πάντες ἐπὶ παραλλήλων κύκλων φέρονται, διὰ τὸ καὶ τὴν τοῦ κόσμου φορὰν ἐγκύκλιον εἶναι ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. Νυνὶ δὲ οὐχ ὑπολείπονται κατὰ παραλλήλους κύκλους· ἀλλ' ὁ μὲν ἥλιος, ἐπὶ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου κινούμενος, ἅμα καὶ τὴν κατὰ πλάτος πάροδον ποιεῖται ἀπὸ τροπῶν ἐπὶ τροπάς· ὡς ἂν, οἶμαι, ἰδίας ὑπαρχούσης αὐτῷ τῆς κινήσεως, τῆς μὲν ἀπ' ἀνατολῆς ἐπὶ δύσιν, τῆς δὲ ἀπὸ δύσεως ἐπ' ἀνατολήν· ἡ δὲ σελήνη ἐν ὅλῳ τῷ πλάτει τοῦ ζωδιακοῦ κύκλου τὴν πάροδον ποιεῖται. Οὐδὲν δὲ τῶν καθ' ὑπόλειψιν ὑποφερομένων ἅμα δύναται κατὰ πλάτος κινεῖσθαι· ἀλλ' ὀφείλει κατὰ τὴν τοῦ κόσμου φορὰν τὴν ὑπόλειψιν ποιεῖσθαι. Ἐλέγχει δὲ τὴν δόξαν ψευδῆ ὑπάρχουσαν μάλιστα πάντων ἡ περὶ τοὺς πέντε πλάνητας ἀστέρας κίνησις· ἐκεῖνοι γὰρ ὁτὲ μὲν ὑπολείπονται τῶν ἀπλανῶν ἀστέρων, ὁτὲ δὲ προηγοῦνται· ὁτὲ δὲ κατὰ τοὺς αὐτοὺς ἀστέρας μένουσιν· οἱ δὲ καὶ καλοῦνται στηριγμοί. Τοιαύτης δὲ ὑπαρχούσης περὶ αὐτοὺς τῆς κινήσεως, φανερὸν, ὅτι ἡ ἐπὶ τὰ ἑπόμενα μετάβασις οὐ γίνεται κατὰ ὑπόλειψιν· διὰ παντὸς γὰρ ἂν ὑπελείποντο. Νυνὶ δὲ ἰδία τίς ἐστιν ἡ περὶ ἕκαστον σφαιροποιία, καθ' ἣν ποτὲ μὲν εἰς τὰ ἑπόμενα μεταβαίνουσι, ποτὲ δὲ εἰς τὰ προηγούμενα, ποτὲ δὲ στηρίζουσιν. Οὕτω δὴ καὶ περὶ τὸν ἥλιον, καὶ περὶ τὴν σελήνην ἰδία τίς ἐστι καὶ προαιρετικὴ, καὶ κατὰ φύσιν ἡ περὶ πλάτος κίνησις, καθ' ἣν ἀπὸ δύσεως ἐπ' ἀνατολὴν κινούμενοι τὴν κατὰ πλάτος πάροδον ποιοῦνται. Ὅτι δὲ οὐ δύνανται καθ' ὑπόλειψιν εἰς τὰ ἑπόμενα τῶν ζωδίων τὴν μετάβασιν ποιεῖσθαι, φανερὸν καὶ ἐκ τοῦ μὴ ἀνάλογον τοῖς μεγέθεσι, μηδὲ τοῖς ἀποστήμασι τὰς μεταβάσεις γίνεσθαι. Εἰ γὰρ διὰ τὰ μεγέθη τῶν σωμάτων ὑπεφέροντο, βραδυτέραν ἔχοντες τῶν ἀπλανῶν ἀστέρων κίνησιν, ἔδει ἀνάλογον τοῖς μεγέθεσι καὶ τοῖς ἀποστήμασι τὰς ὑπολείψεις γίνεσθαι· μὴ γινομένου δὲ τούτου, ἀνάγκη λέγειν κατὰ φύσιν εἶναι τοῖς πλανωμένοις ἀστῆρσι τὴν ὑπεναντίαν κίνησιν. Ἤδη μέντοι διὰ τὴν ἰδίαν ἑκάστου σφαιοο-

At hæc opinio, etsi a multis philosophis est dicta, tamen non congruit cum apparentiis ; si enim juxta hujusmodi relictionem moverentur, cum corpora illa inferius moveantur, propter magnitudines oportebat in parallelis circulis hanc relictionem fieri ; quemadmodum et stellæ inerrantes omnes in parallelis circulis feruntur : eo quod et mundi motus est circularis ab ortu versus occasum. At non relinquuntur in parallelis circulis ; sed sol cum in circulo per media signa transeunte moveatur, simul etiam secundum latitudinem facit motum a solstitio ad solstitium : quod, ut opinor, proprius ei sit motus hic ab ortu versus occasum ; ille ab occasu versus ortum ; luna vero in tota latitudine zodiaci circuli motum facit. Nihil vero eorum quæ secundum relictionem feruntur, simul potest secundum latitudinem moveri ; sed debet secundum mundi motum relictionem illam facere. Convincit autem hanc opinionem, quod falsa sit, maxime omnium motus quinque planetarum ; illi enim interdum relinquuntur ab inerrantibus stellis, interdum præcedunt eas ; interdum apud easdem stellas manent : quæ etiam stationes vocantur. Talis cum motus sit planetarum, manifestum est, quod transitus in consequentia non fiat secundum relictionem. Semper enim quasi a tergo relinqueretur. At nunc cujusque est propria quædam sphæra, secundum quam nunc in consequentia tendunt, nunc in antecedentia, nunc vero sunt stationales. Sic igitur et solis et lunæ proprius est aliquis, et electivus, et naturalis secundum latitudinem motus ; secundum quem cum ab occasu versus ortum moventur, simul illum latitudinis motum faciunt. Quod vero non possint secundum relictionem in consequentia signa progressum facere, etiam hinc est manifestum quod non congruenter cum magnitudinibus, neque cum distantiis hi progressus fiant. Si enim propter magnitudines corporum inferius moverentur, cum habeant tardiorem motum quam stellæ inerrantes, oportebat congruenter cum magnitudinibus et cum distantiis relictiones fieri ; hoc cum non fiat, necesse est dicere, secundum

[48] *f.* προκαταλαμ.

Digitized by Google

naturam esse errantibus stellis contrarium illum motum. Jam certe propter propriam cujusque sphæram contingit diversos fieri progressus.

27 CAPUT XI.

De ortibus et occasibus.

Mundus cum movetur ab ortu versus occasum, die et nocte restituitur ab ortu versus ortum: in conversione autem mundi omnes stellæ quotidie et oriuntur et occidunt. Et ortus quidem est apparitio supra horizontem; occasus vero est occultatio, quæ quotidie fit infra horizontem. Aliter autem dicuntur ἐπιτολή, καὶ κρύψις, id est apparitio, et occultatio; quæ nonnulli ex ignorantia secundum eumdem sensum putant dici. Est autem magna differentia inter ἀνατολήν et ἐπιτολήν. Ἀνατολή est ortus ille, de quo jam dictum est. At ἐπιτολή est illa ad horizontem apparitio, quæ desumitur cum distantia a sole. Eadem differentia est inter δύσιν, id est occasum, et κρύψιν, id est occultationem. Aliter enim dicitur δύσις, occasus, qui est quotidiana infra horizontem occultatio: aliter vero κρύψις, id est occultatio quæ fit simul et ad horizontem et ad solem.

Sunt autem cujusque stellæ ortus duo; alii enim dicuntur matutini, alii vespertini. Matutinus ortus est, cum simul cum sole oriente stella aliqua oritur, estque eodem tempore in horizonte. Vespertinus ortus est, cum sole occidente oritur stella aliqua simul in horizonte constituta.

A eas mutationes, quæ maxime circa eadem zodiaci loca contingunt, in tabulis conscripserunt, non ex arte aliqua, neque ex certa methodo sumentes descriptionem, sed ab experientia, id quod fere congruit, sumentes. Cum vero non possent singulos dies, neque menses, neque annos certos inscribere, in quibus horum aliquid perficiebatur: eo quod initia annorum apud omnes non sint eadem, neque menses sint apud omnes ilsdem appellationibus, neque dies similiter agantur: immotis quibusdam signis voluerunt determinare mutationes aeris. Unde astrorum ortibus, cum hi in temporibus sint determinati, mutationes aeris fiunt; non quod astra vim habeant ad mutationem ventorum et imbrium, sed quod signi gratia assumpta sint ad hoc, ut præcognoscamus aeris affectiones. Et ut lampas, seu fax, non ipsa est causa bellici motus, sed signum est bellici **33** temporis: ita et astrorum ortus non ipsi sunt causa mutationum aeris, sed proposita sunt signa talium affectionum. Nam qui a principio observaverunt et composuerunt tabulas illas, exploratis locis zodiaci circuli, in quibus ut plurimum mutationes aeris fiunt, consideraverunt quæ astra temporibus illis oriantur, aut simul occidant, atque horum ortibus et occasibus pro signis sunt usi ad præcognitionem prædictorum. Ortus enim veros et occasus contingit esse invisibiles: eos vero, qui apparebant, ortus et occasus, poterant videre, et circa tempora dicta discernere, eo quod Pleiades occidentes habeant talem vim, ut humiditatem quamdam circa aerem generent; aut rursus orientes æstatis initium significent. Unde et Hesiodus inquit:

B

C

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων,
Ἄρχεσθ' ἀμήτου· ἀρότοιο δὲ, δυσσομενέων.

Pleiadibus Atlantis filiabus orientibus
Incipe messem: arationem vero occidentibus

Οὐ διὰ τὴν τοῦ ἄστρου δύναμιν· παντελῶς γάρ ἐστιν ἀπόπληκτον· εἴτε γὰρ πύρινά ἐστι τὰ ἄστρα, εἴτε αἰθέρια, ὡς ἀρέσκει τισὶ, πάντα τῆς αὐτῆς οὐσίας καὶ δυνάμεως κεκοινώνηκε, καὶ οὐδεμίαν συμπάθειαν ἔχει πρὸς τὰ ἐπὶ τῆς γῆς γινόμενα. Ἡ γὰρ σύμπασα γῆ κέντρου λόγον ἔχει πρὸς τὴν τῶν ἀπλανῶν σφαῖραν, καὶ οὐδεμία ἀποφορὰ, οὐδὲ ἀπόῤῥοια διικνεῖται ἀπὸ τῶν ἀπλανῶν ἀστέρων ἐπὶ τὴν γῆν. Ὧς ὑποληπτέον τούτους ὄμβρων καὶ πνευμάτων καὶ χαλάζης παραιτίους γίνεσθαι, ἀφ' ὧν οὐδεμία δύναμις πίπτει πρὸς ἡμᾶς; Ἀπὸ μὲν γὰρ ἡλίου καὶ σελήνης διικνεῖται ἡ δύναμις ἐπὶ τὴν γῆν κατὰ τὰς μεταβάσεις αὐτῶν καὶ μειζόνων καὶ ἐλαττόνων· ὅθεν εὔλογον πρὸς τούτους συμπάθειαν εἶναι κατὰ τὴν ἑκάστου δύναμιν αὐτῶν· αἱ δὲ τῶν ἀπλανῶν ἀστέρων ἐπιτολαὶ καὶ δύσεις σημείου τάξιν ἐπέχουσι, καθάπερ προείπομεν. Ὅθεν οὐδὲ προληπτέον τὰς αὐτὰς ἐπισημασίας ἐπιτελεῖσθαι ἐκ τῶν αὐτῶν ἄστρων·

Pleiadibus Atlantis filiabus orientibus
Incipe messem: arationem vero occidentibus

Non propter astri vim: omnino enim id est stupidum: sive enim ignea sunt astra, sive ætherea, ut placet aliquibus, omnia eamdem essentiam et vim sortita sunt, et nullam habent mutuam compassionem erga ea quæ in terra fiunt. Universa enim terra centri rationem habet ad inerrantium sphæram; nec ulla vis emanans aut profluvium pervenit ab inerrantibus stellis ad terram. Quomodo putandum est has imbrium et ventorum et grandinum causas esse, a quibus nulla vis cadit ad nos? Nam a sole quidem et luna pervenit vis ad terram secundum transitus eorum et majorum et minorum. Unde consentaneum est terræ cum his esse mutuam consensionem secundum vim cujusque eorum. Inerrantium vero stellarum ortus et occasus signi rationem obtinent, sicut prædiximus. Unde ne statuendum quidem est easdem significationes perfici ex iisdem astris; sed secun-

D

[88] *f.* ἐπεὶ δέ.

Digitized by Google

dum eorumdem climatum varietates, diversos et ortus et occasus astrorum fieri, et quidem in quolibet horizonte propria signa habere mutationis aeris. Idem enim parapegma non potest congruere in urbe Roma, et in Ponto, et in Rhodo, et in urbe Alexandriæ; sed necesse est ut diversæ sint observationes in diversis horizontibus, et in qualibet urbe alia sumantur astra significationes efficientia.

Unde manifestum est quod non naturaliter astrorum ortus et occasus affectiones aeris generent; sed quod in quolibet horizonte diversæ fiant observationes et aerum mutationes. Quamobrem neque omnes significationes in tabulas relatæ semper congruunt; sed interdum universaliter non fiunt: sed qui maximas tempestates comprehendunt ortus et occasus, hi efficiunt serenitates: interdum in urbe serenitas contingit, in agris imber. Sæpe post dies tres aut quatuor aliquis significavit per ortum aut occasum astri mutationem aeris: interdum antevertit significationem diebus quatuor. Unde qui aberrant in prædictionibus significationum, habent excusationem, quod anticiparunt significationem, eo quod posterius est facta.

Ex quibus omnibus manifestum est quod quæ ad significationes spectant, ea in tabulis rudi Minerva sint inscripta, cum non arte quadam, neque necessitate sint tradita, sed ex continua observatione inscripta. Eam ob causam sæpe hæc fallunt. Unde astrologi non sunt accusandi, si aberraverint in significationibus. Si vero eclipsin prædicens aliquis, aut ortum astri, aberraverit, merito et studium, et qui illud tractat, accusantur. Omnia enim quæ arte traduntur debent infallibilem habere prædictionem, seu enuntiationem. At ea quæ ad significationes spectant, neque cum ea assequimur, perfectam laudem, neque cum ab iis aberramus, accusationem merentur. Astrologiæ enim hæc est quædam pars expers artis, et indigna quæ proferatur in medium. Idem opinandum est fieri etiam circa Canis ortum. Omnes enim putant, hanc stellam propriam vim habere, et causam esse intensionis æstuum, cum simul oritur cum sole. At hoc non ita se habet: sed quoniam juxta calidissimum tempus anni hæc stella ortum faciebat, hujus apparitione aeris in æstum mutationem notarunt. Est autem sol causa intensionis æstuum. Primum enim cum ex hieme simus frigefacti, secundum appropinquationem quæ fit ad nos, incipit nos sol calefacere: nondum tamen manifestam efficit calefactionem, cum adhuc frigefactio, quæ est ab hieme, permaneat; cum vero fit commoratio, et semper magis **34** magisque appropinquat sol, contingit fieri sensum calefactionis; deinde contingit bis ad eamdem habitationem continuo solem accedere. Etenim in progressu ad æstivum tropicum circulum, et in recessu, per easdem habitationes transit sol. Unde evenit propter causam hanc intensiones æstuum fieri. Præterea accessus ad æstivum tropicum et

ἀλλὰ κατὰ τὰς τῶν αὐτῶν κλιμάτων παραλλαγὰς διαφόρους καὶ τὰς ἐπιτολὰς καὶ τὰς δύσεις τῶν ἄστρων γίνεσθαι. Καὶ δὴ καθ' ἕκαστον ὁρίζοντα ἴδια σημεῖα ἔχειν τῆς περὶ τὸν ἀέρα μεταβολῆς. Τὸ γὰρ αὐτὸ παράπηγμα οὐ δύναται συμφωνεῖν ἐν τῇ Ῥώμῃ καὶ ἐν τῷ Πόντῳ, καὶ ἐν Ῥόδῳ, καὶ ἐν Ἀλεξανδρείᾳ· ἀλλὰ ἀνάγκη διαφόρους τὰς παρατηρήσεις εἶναι ἐν διαφόροις ὁρίζουσι, καὶ καθ' ἑκάστην πόλιν ἕτερα λαμβάνεσθαι ἄστρα ἐπισημασίας ἐπιτελοῦντα.

Ἐξ οὗ φανερὸν, ὅτι οὐ φυσικῶς αἱ τῶν ἄστρων ἐπιτολαὶ καὶ δύσεις τὰ περὶ τὸν ἀέρα πάθη ἀπογεννῶσιν· ἀλλὰ καθ' ἕκαστον ὁρίζοντα διάφοροι παρατηρήσεις γεγόνασι, καὶ τῶν ἀέρων μεταβολαί. Διόπερ οὐδὲ πᾶσαι ἐπισημασίαι, ἐν τοῖς παραπήγμασιν ἀγόμεναι, ἀεὶ συμφωνοῦσιν· ἀλλ' ἔστι μὲν ὅτε καθόλου οὐ γίνονται, ἀλλὰ τοὺς μεγίστους περιέχουσαι χειμῶνας ἐπιτολαὶ καὶ δύσεις, εὐδίας ἀποτελοῦσιν· ἔστι δ' ὅτε κατὰ μὲν τὴν πόλιν εὐδία ἐγένετο, ἐπὶ χώρας δὲ ὄμβρος· πολλάκις δέ τις μεθ' ἡμέρας τρεῖς ἢ τέσσαρας ἐπεσήμηνε τῇ ἐπιτολῇ ἢ τῇ δύσει τοῦ ἄστρου· ἔστι δὲ ὅτε προέλαβε τὴν ἐπισημασίαν πρὸ ἡμερῶν τεσσάρων. Ὅθεν καὶ οἱ ἀποτυγχάνοντες ἐν ταῖς προρρήσεσι τῶν ἐπισημασιῶν ἔχουσιν ἀπολογίαν, ὅτι προέλαβον τὴν ἐπισημασίαν, ὅτι ὑστέρα ἐγένετο.

Ἐξ ὧν πάντων φανερὸν, ὅτι τὰ κατὰ τὰς ἐπισημασίας ἐν τοῖς παραπήγμασιν ὁλοσχερέστερον ἀναγέγραπται, οὐ τέχνῃ τινὶ οὐδὲ ἀνάγκῃ μεθοδευόμενα, ἀλλ' ἐκ τῆς συνεχοῦς παρατηρήσεως ἀναγεγραμμένα. Διὸ πολλάκις διαψεύδεται. Ὅθεν οὐδὲ κατηγορητέον ἐστὶ τῶν ἀστρολόγων, ἐὰν ἀποτυγχάνωσιν ἐν ταῖς ἐπισημασίαις. Ἐὰν δ' ἔκλειψιν προειπών τις ἢ ἐπιτολὴν ἄστρου διαμάρτῃ, εὐλόγως καὶ τὸ ἐπιτήδευμα καὶ ὁ μεταχειριζόμενος κατηγορίας ἀξιωθήσεται. Πάντα γὰρ τέχνῃ μεθοδευόμενα ἀδιαμάρτητον ἔχειν ὀφείλει τὴν ἀπόφασιν. Τὰ δὲ περὶ τὰς ἐπισημασίας οὔτ' ἐπιτυγχανόμενα ὁλοσχερῆ τὸν ἔπαινον ἔχει, οὔτ' ἀποτυγχανόμενα κατηγορίαν. Ἄτεχνον γάρ τι μέρος ἐστὶ τοῦτο τῆς ἀστρολογίας, καὶ οὐκ ἄξιον προφορᾶς. Τὸ δὲ αὐτὸ ὑποληπτέον καὶ περὶ τὴν Κυνὸς ἐπιτολὴν γίνεσθαι. Πάντες γὰρ ὑπολαμβάνουσιν ἰδίαν δύναμιν ἔχειν τὸν ἀστέρα, καὶ παραίτιον γίνεσθαι τῆς τῶν καυμάτων ἐπιτάσεως ἅμα συνεπιτέλλοντα τῷ ἡλίῳ. Τοῦτο δ' οὐκ ἔστιν οὕτως ἔχον· ἀλλὰ ἐπεὶ κατὰ τὸν πυρειδέστατον καιρὸν τοῦ ἐνιαυτοῦ οὗτος ὁ ἀστὴρ ἐπέτελλε, τῇ τούτου φάσει ἐσημειώσαντο τὴν πρὸς τὸ καῦμα μεταβολὴν τοῦ ἀέρος. Ἔστι δὲ ὁ ἥλιος παραίτιος τῆς ἐπιτάσεως τῶν καυμάτων. Πρῶτον μὲν γὰρ, ἐκ τοῦ χειμῶνος κατεψυγμένων ἡμῶν, κατὰ τὸν συνεγγισμὸν τὸν πρὸς ἡμᾶς ἄρχεται ἡμᾶς θερμαίνειν· οὔπω δὲ ἔκδηλον ποιεῖ τὴν θερμασίαν, ἐπὶ τῆς καταψύξεως ἀπὸ τοῦ χειμῶνος διαμενούσης· ἐπιμονῆς δὲ γινομένης, καὶ μᾶλλον ἀεὶ καὶ μᾶλλον συνεγγίζοντος τοῦ ἡλίου, ἐπαίσθησιν συμβαίνει τῆς θερμασίας γίνεσθαι· ἔπειτα συμβαίνει δὶς ἐπὶ τὴν αὐτὴν οἴκησιν κατὰ τὸ συνεχὲς ἐπιβάλλειν τὸν ἥλιον. Καὶ γὰρ ἐν τῇ παρόδῳ τῇ πρὸς τὸν θερινὸν τροπικὸν κύκλον, καὶ ἐν τῇ ἀποχωρήσει τὰς αὐτὰς οἰκήσεις παροδεύει ὁ ἥλιος. Ὅθεν συμβαίνει διὰ τὴν αἰτίαν ταύτην τὰς ἐπιτάσεις τῶν καυμάτων γίνεσθαι. Ἔτι δὲ καὶ τὰς

Digitized by Google

προσόδους τὰς πρὸς τὸν θερινὸν τροπικὸν καὶ τὰς ἀποχωρήσεις μικράς τε παντελῶς καὶ ἀνεπαισθήτους εἶναι συμβέβηκε· σχεδὸν γὰρ ἐφ' ἡμέρας μ' ἐπὶ τοῦ θερινοῦ τροπικοῦ κύκλου τὴν ἐπιμονὴν ποιεῖται. Ὅθεν καὶ τὰ μεγέθη τῶν ἡμερῶν περὶ τὰς τροπὰς ἀνεπαίσθητον ἔχει τὴν παραύξησιν. Ἐπεὶ δὲ περὶ τοῦτον τὸν καιρὸν ἐπέτελλεν[89] ὁ Κύων, τῇ τούτου φάσει τὸν καιρὸν ἐσημειώσαντο τῆς τῶν καυμάτων ἐπιτάσεως, οὐχ ὡς αὐτοῦ τοῦ ἄστρου παραιτίου γινομένου, ἀλλ' ὡς τοῦ ἡλίου τὴν αἰτίαν ἔχοντος.

A recessus omnino et parvos' et insensibiles esse contingit. Fere enim ad dies 40 in æstivo tropico circulo moram facit. Unde et magnitudines dierum circa solstitia insensibile habent incrementum. Cum vero circa hoc tempus ortum faceret Canis, hujus apparitione significaverunt tempus intensionis æstuum; non quod ipsum astrum sit causa, sed quod sol hanc causam habeat.

Εἰ μὲν οὖν ὡς σημεῖόν τις λαμβάνει τοῦ καιροῦ τὴν τοῦ Κυνὸς ἐπιτολήν, ὀρθῶς λαμβάνει, καθάπερ Ὅμηρός φησιν ἐπὶ τοῦ Κυνὸς οὕτως·

Si igitur aliquis pro signo temporis accipiat Canis ortum, recte accipit; sicut Homerus inquit de Cane sic:

Κακὸν δέ τε σῆμα τέτυκται.

Malum autem signum factum est.

Οὐ γὰρ ὡς ἰδίαν δύναμιν ἔχοντος αὐτοῦ πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων, ἀλλ' ὡς σημείου χάριν παρειλημμένου. B

Non enim cogitandum est, quasi propriam vim habeat Canis ad intensionem æstuum, sed quod signi gratia assumptus sit Canis.

Ὅσοι μέντοιγε τῶν ποιητῶν καὶ φιλοσόφων τὴν δύναμιν τῆς ἐπιτάσεως τῶν καυμάτων τῷ Κυνὶ προσάπτουσι, πολὺ τῆς ἀληθείας καὶ τοῦ φυσικοῦ λόγου πεπλανημένοι εἰσίν. Ὁ γὰρ ἀστὴρ οὗτος τῆς αὐτῆς οὐσίας κεκοινώνηκε πᾶσι τοῖς ἄστροις. Εἴτε γὰρ πύρινά ἐστιν, εἴτε καὶ αἰθέρια τὰ ἄστρα, τὴν αὐτὴν ἔχει δύναμιν πάντα, καὶ ὀφείλει κατακρατεῖσθαι ὑπὸ τοῦ πλήθους τῶν ἄστρων ἡ ἀπὸ τοῦ Κυνὸς ἀποφορά. Καὶ γὰρ τῷ μεγέθει μείζονες αὐτοῦ εἰσιν ἕτεροι, καὶ τῷ πλήθει ἄπειροι. Εἰ οὖν ἐξ ἁπάντων αὐτῶν ἡ δύναμις οὐ διικνεῖται μέχρι τῆς γῆς, οὐδὲ εἰς τὴν τοῦ ἡλίου δύναμιν οὐδὲν συμβάλλεται, πῶς πιθανὸν τὴν ἀπὸ τοῦ ἑνὸς ἄστρου ἀποφορὰν τηλικαύτην ἐπίτασιν τῶν καυμάτων ποιεῖν; Εἰ δὲ μὴ συνεργοῦσί τι πάντες οἱ ἀπλανεῖς ἀστέρες, τῆς αὐτῆς δυνάμεως κεκοινωνηκότες, οὐκ ἐνδέχεται τὴν ἀπὸ τοῦ ἑνὸς ἄστρου θερμασίαν αἰσθητὴν διαφορὰν ἀποφαίνειν ἐν ταῖς συνανατολαῖς τοῦ ἡλίου. C

Verumtamen qui ex poetis et philosophis vim intensionis æstuum Cani ascribunt, hi multum a veritate et naturali doctrina aberraverunt. Hæc enim stella eamdem naturam sortita est cum omnibus astris. Sive enim ignea sunt, sive ætherea astra, eamdem omnia habent vim, et debet vinci a multitudine astrorum defluxus a Cane. Nam magnitudine etiam stellam Canis superant aliæ stellæ, et multitudine sunt infinitæ. Si igitur ex omnibus ipsis vis non pervenit usque ad terram, neque ad solis vim quidquam confert, quomodo credibile est defluxum ab uno astro tantam æstuum intensionem facere? Quodsi non adjuvant quidquam omnes inerrantes stellæ, cum eamdem vim sint sortitæ, non possibile est calefactionem ab una stella progredientem efficere sensibilem varietatem in coortibus cum sole.

Ἔστι δ' αὐτὸς ὁ ἥλιος παραίτιος τῶν καυμάτων, κατὰ τὸ συνεχὲς τὸν αὐτὸν τόπον τῆς οἰκήσεως ἐπιπορευόμενος. Οὐ δυνάμενοι δὲ κοινὴν ἡμέραν ἅπασιν ἀφορίσαι, ἐν ᾗ γίνονται αἱ ἐπιτάσεις τῶν καυμάτων, ἐπεὶ κατὰ τοῦτον τὸν καιρὸν ἐπέτελλεν οὗτος ὁ ἀστὴρ, τῇ τούτου φάσει τὸν καιρὸν ἐσημειώσαντο.

Est autem ipse sol causa æstuum, continuo ad eumdem locum habitationis accedens. Cum autem non possent omnibus hominibus communem diem determinare, in qua hæ intensiones æstuum fiunt, cumque circa hoc tempus hæc stella oriretur, hujus apparitione hoc tempus significaverunt.

Ὅτι δὲ οὐκ ἔστιν ὁ ἀστὴρ παραίτιος τῆς ἐπιτάσεως τῶν καυμάτων, ἐκ τῶν λέγεσθαι μελλόντων φανερόν. Πρῶτον μὲν γὰρ πολλάκις συνανατέλλουσι τῷ ἡλίῳ καὶ πλείονες καὶ μείζονες ἀστέρες, καὶ οὐδεμίαν αἰσθητὴν ποιοῦσι παραλλαγὴν, ἀλλ' ἔστιν ὅτε ἐκ τῶν ἐναντίων ἐν ταῖς ἐπιτολαῖς αὐτῶν καὶ δύσεσι χειμῶνες γίνονται, καὶ ἄνεμοι ψυχροὶ πνέουσιν, ὡς μηδὲν αὐτῶν συμβαλλομένων πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων· πολλάκις δὲ καὶ ἐν τῷ αὐτῷ ζῳδίῳ τῷ ἡλίῳ γίνονται ἀστέρες τῶν ε' πλανητῶν οἱ μέγιστοι, Φαέθων, Φωσφόρος, Πυρόεις, ἀφ' ὧν καὶ δυνάμεις ἐπὶ τὴν γῆν πίπτουσι, καὶ οὐδὲν παρὰ τὴν αὐτῶν αἰτίαν διαφορώτερον περὶ τὸν ἀέρα γίνεται. Ἐξ οὗ φανερὸν, ὅτι οὐδὲν συμβάλλονται πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων οὔθ' οἱ ἀπλανεῖς οὔθ' οἱ πλανῆται ἀστέρες· εἰ γὰρ δύναμίν τινα προσεφέρετο ὁ Κύων, ἔδει κατὰ D

Quod autem hæc stella non sit causa intensionis æstuum, ex iis quæ dicentur erit manifestum. Primum enim sæpe cooriuntur cum sole et plures et majores stellæ, et nullam sensibilem efficiunt varietatem, sed interdum econtrario in ortibus et occasibus earum tempestates fiunt, et venti frigidi spirant, tanquam hi ortus et occasus nihil conferant ad intensionem æstuum. Sæpe etiam in eodem signo cum sole sunt e quinque planetis stellæ maximæ, Jupiter, Lucifer et Mars; a quibus et vires in terram cadunt, et tamen propter horum causam nihil circa aerem magis fit diversum. Ex quo manifestum est quod nihil conferant ad intensionem æstuum neque inerrantes neque errantes stellæ. Si enim vim quamdam afferret Canis, oportebat in vero ortu intensionem æstuum fieri. Tunc enim

[89] γρ. ἐπιτέλλει.

Digitized by Google

simul una oritur cum sole. Non fit autem hoc, sed in apparenti ortu maximi fiunt æstus. Circa hoc enim tempus sol propter dictas causas efficit intensionem æstuum. In Rhodo enim post 30 dies a solstitio oritur hæc stella ; in aliis locis post 40 dies æstivi solstitii ; aliis post 50 : ita ut ejus ortus non amplius faciat intensionem æstuum : quod nemini non manifestum est, quod cum unum sit illud tempus, quod intensionem æstuum comprehendit, quod est post dies 30 solstitii æstivi ; in hoc ipso tempore apud alios Canis oritur, et tempus indicat, apud alios vero aliud quoddam ex astris constellationum ; non enim simul omnibus astris ortus et occasus contingit fieri.

Quod vero a plurimis dicitur, quod circa tempus hoc **35** Canis oriatur cum sole, omnino est imperitum. In hoc enim tempore plurimum a sole distat hæc stella. Sol enim omnino in æstivo tropico circulo iter facit : Canis vero in hiberno tropico circulo situs est ; ita ut hi maximam a se invicem distantiam habeant. Quomodo igitur posset Canis causa esse intensionis æstuum ? faceret autem intensionem, si quam vim haberet hæc stella, tum cum esset conjuncta soli secundum hibernas conversiones, cumque ferretur in eodem circulo hæc stella cum sole ; tunc enim oportebat aliquam fieri, contra id quod apparet, sensibilem aeris mutationem. Non fit autem hoc, sed e contrario potius hiems. Unde tabulis pro signo ascribitur ortus Canis. Itaque manifestum est ex omnibus, neque hanc stellam, neque aliam ullam tantam habere vim, ut circa aerem mutationes efficiat ; sed principalem esse causam solem : harum vero ortus et occasus in cognitionem mutationum aeris apponi. Quam ob causam neque semper congruunt. Unde melioribus aliquis uteretur iis signis quæ a natura nobis dantur, quibus et Aratus est usus. Nam eas aeris mutationes, quæ fiunt ex ortibus et occasibus astrorum, putavit esse falsas : eas vero quæ fiunt naturaliter, et quadam ex causa, seorsim posuit in Apparentiarum tractatu, in extrema libri totius parte. Sumit enim præscientias a solis ortu et occasu, et a lunæ ortibus et occasibus, ab area, sive corona, quæ fit circa lunam, a stellis cadentibus et a brutis animalibus. Nam quæ præscientiæ cum quadam naturali causa ex his fiunt, necessaria habent effecta. Unde et Boethus philosophus, in quarto libro expositionis Arati, physicas causas cum ventorum, tum

(49) *Τὸ δὲ λεγόμενον*. Mirum insignem mathematicum adeo pueriliter hallucinatum esse. Nam cujusmodi est, obsecro, illius ratio ? Caniculam cum sole conjunctam nihil ad æstivos calores augendos conferre, quo tempore exortum facere vulgo dicitur, ex eo demonstrat, quod tum ab ea sol abest longius. Hoc vero inde concludit, quod tunc sol æstivum tropicum tenet : Canicula vero in hiberno tropico sita est : quare si quam vim incendendis æstibus haberet illius cum sole conjunctio, ea potissimum appareret quando sol in hiberno tropico versatur, hoc est in eodem cum Canicula circulo.

A τὴν ἀνατολὴν τῶν καυμάτων γίνεσθαι ἐπίτασιν· τότε γὰρ ἅμα συναπτέλλει τῷ ἡλίῳ. Οὐ γίνεται δὲ τοῦτο· ἀλλὰ κατὰ τὴν ἐπιφαινομένην ἐπιτολὴν τὰ μέγιστα καύματα γίνεται. Περὶ γὰρ τὸν καιρὸν τοῦτον ὁ ἥλιος διὰ τὰς προειρημένας αἰτίας παραίτιός ἐστι τῆς ἐπιτάσεως τῶν καυμάτων. Ἐν Ῥόδῳ μὲν γὰρ μετὰ λ' ἡμέρας τῆς τροπῆς ἐπιτέλλει ὁ ἀστὴρ, ἐν ἄλλοις δὲ τόποις μετὰ μ' ἡμέρας τῆς θερινῆς τροπῆς, οἷς δὲ μετὰ ν'· ὥστε μηκέτι τὴν ἐπίτασιν τῶν καυμάτων τὴν ἐπιτολὴν αὐτοῦ ποιεῖσθαι ἑκάστῳ φανερὸν, ὅτι ὁ μὲν τὴν ἐπίτασιν τῶν καυμάτων περιέχων καιρὸς εἷς ἐστιν ὁ μετὰ τὰς θερινὰς τροπὰς ἡμέρας λ'· ἐν δὲ τῷ χρόνῳ τούτῳ παρ' οἷς μὲν ὁ Κύων ἐπιτέλλει, καὶ τὸν καιρὸν μηνύει, παρ' οἷς δὲ ἄλλο τι τῶν κατηστερισμένων ἄστρων· οὐ γὰρ ἅμα πᾶσι τοῖς ἄστροις

B τὰς ἐπιτολὰς καὶ τὰς δύσεις συμβαίνει γίνεσθαι.

Τὸ δὲ λεγόμενον (49) ὑπὸ τῶν πλείστων, ὅτι περὶ τὸν καιρὸν τοῦτον ἀνατέλλει σὺν τῷ ἡλίῳ, παντελῶς ἐστιν ἰδιωτικόν. Ἐν γὰρ τούτῳ τῷ χρόνῳ πλεῖστον ἀπὸ τοῦ ἡλίου διέστηκεν ὁ ἀστήρ. Ὁ μὲν γὰρ ἥλιος πάντως ἐπὶ τοῦ θερινοῦ τροπικοῦ κύκλου τὴν πάροδον ποιεῖται· ὁ δὲ ἐπὶ τοῦ χειμερινοῦ τροπικοῦ κύκλου κεῖται· ὥστε πλεῖστον ἀπ' ἀλλήλων διάστημα ἀπέχειν αὐτούς. Πῶς ἂν οὖν δύναιτο παραίτιος γίνεσθαι τῆς ἐπιτάσεως τῶν καυμάτων ; ἐπίτασιν δὲ ἐποίει ἂν, εἴ τινα δύναμιν εἶχεν ὁ ἀστὴρ, ἅμα γινόμενος τῷ ἡλίῳ κατὰ χειμερινὰς τροπὰς, ὅταν ἐπὶ τοῦ αὐτοῦ κύκλου φέρηται ὁ ἀστὴρ τῷ ἡλίῳ. Τότε γὰρ ἔδει γενέσθαι τινὰ πρὸς τὸ φαινόμενον αἰσθητὴν περὶ τὸν ἀέρα παραλλαγήν. Οὐ γίνεται δὲ τοῦτο, ἀλλ' ἐκ τῶν

A ἐναντίων χειμών. Ὅθεν τοῖς παραπήγμασι παράκειται σημεῖον· ὥστε εἶναι φανερὸν ἐκ πάντων, ὅτι οὔθ' οὗτος ὁ ἀστὴρ, οὔτ' ἄλλος οὐδεὶς τηλικαύτην τινὰ δύναμιν ἔχει, ὥστε μεταβολὰς περὶ τὸν ἀέρα κατασκευάζειν· ἀλλ' ἔστι τὸ ἡγεμονικὸν αἴτιον περὶ τὸν ἥλιον· αἱ δὲ τούτων ἐπιτολαὶ καὶ δύσεις ἐπὶ τὴν ἐπίγνωσιν τῶν περὶ τὸν ἀέρα μεταβολῶν παράκεινται. Δι' ἣν αἰτίαν οὐδὲ διὰ παντὸς συμφωνοῦσιν. Ὅθεν βελτίοσιν ἂν τις σημείοις χρήσαιτο τοῖς ὑπὸ τῆς φύσεως ἡμῖν διδομένοις· οἷς καὶ Ἄρατος κέχρηται. Τὰς μὲν γὰρ ἐκ τῶν ἐπιτολῶν καὶ δύσεων τῶν ἄστρων γινομένας μεταβολὰς τοῦ ἀέρος ᾠήθη εἶναι διεψευσμένας· τὰς δὲ φυσικῶς γινομένας καὶ μετά τινος αἰτίας κατεχώρισεν ἐν

D τῇ τῶν Φαινομένων πραγματείᾳ ἐπὶ πᾶσι τῆς ὅλης συντάξεως. Λαμβάνει γὰρ τὰς προγνώσεις ἀπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ δύσεως, καὶ ἀπὸ τῆς σελήνης ἀνατολῶν καὶ δύσεων, καὶ ἀπὸ τῆς ἅλω τῆς γινομένης περὶ τὴν σελήνην, καὶ ἀπὸ τῶν διαϊσσόντων ἀστέρων, καὶ ἀπὸ τῶν ἀλόγων ζώων· αἱ γὰρ ἀπὸ τούτων προγνώσεις, μετά τινος φυσικῆς αἰτίας γινόμεναι,

Nihil hac argumentatione falsius. Quæ tum procederet, si hiems æstas esset, aut in ipso Capricorno sita esset Canicula. Hæc enim Gemini tempore in gradu Geminorum circiter xv collocabatur. Distabat ab æquinoctiali gradibus fere xvi, a tropico et a sole prope xl. Cum autem sol in Capricorni tropico stabat, intervallum inter hunc et Caniculam amplius erat semicirculo. Quid igitur cogitabat Geminus, cum propinquiorem soli Caniculam esse scriberet, quando hibernum ille tropicum occupat quam cum in æstivo moratur ?

Digitized by Google

κατηναγκασμένα ἔχουσι τὰ ἀποτελέσματα. Ὅθεν καὶ Βόηθος ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς Ἀράτου ἐξηγήσεως, φυσικὰς τὰς αἰτίας ἀποδέδωκε τῶν τε πνευμάτων καὶ ὄμβρων, ἐκ τῶν προειρημένων εἰδῶν τὰς προγνώσεις ἀποφαινόμενος. Τούτοις δὲ τοῖς σημείοις καὶ Ἀριστοτέλης κέχρηται ὁ φιλόσοφος, καὶ Εὔδοξος, καὶ ἕτεροι πλείονες τῶν ἀστρολόγων.

A imbrium exposuit, ex prædictis generibus prænotiones ostendens. His signis et Aristoteles philosophus usus est, et Eudoxus, et plures alii astrologi.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ ἐξελιγμοῦ (50).

Ἐξελιγμός ἐστι χρόνος ἐλάχιστος περιέχων ὅλους μῆνας, καὶ ὅλας ἡμέρας, καὶ ὅλας ἀποκαταστάσεις τῆς σελήνης. Ἐπεὶ γὰρ ὁ μηνιαῖος χρόνος παρετηρήθη ὑπάρχων ἡμερῶν εἴκοσιν ἐννέα α'/δ', ὡς ἔγγιστα καὶ τριακοστοῦ τρίτου, ἡ δὲ ἀποκατάστασις τῆς σελήνης ἡμερῶν κζ' καὶ ὀκτωκαιδεκάτου ὡς ἔγγιστα· ἐζητεῖτο χρόνος ὁ ἐλάχιστος, ὅστις περιέχει ὅλας ἡμέρας, καὶ ὅλους μῆνας, καὶ ὅλας ἀποκαταστάσεις· ἔστι δὲ τοιαύτη εὕρεσις· Ἡ σελήνη ἀνωμάλως φαίνεται διαπορευομένη τὸν ζωδιακὸν κύκλον, καὶ περιφέρειάν τινα ἐνεχθεῖσα, ἐν τῇ ἐχομένῃ ἡμέρᾳ μείζονα ταύτης κινεῖται, καὶ ἀεὶ μείζονα ταῖς ἑξῆς ἡμέραις, ἕως ἂν μεγίστην περιφέρειαν κινηθῇ· εἶτ' αὖθις εἰς τὴν ἐλάττονα τῆς προηγουμένης, ἕως ἂν ἐπὶ τὴν ἐξ ἀρχῆς ἐλαχίστην περιφέρειαν ἀποκατασταθῇ. Ὁ δὲ χρόνος ὁ ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν ἐλαχίστην κίνησιν ἀποκατάστασις καλεῖται. Παρατετήρηται δὲ ὁ ἐξελιγμὸς περιέχων ὅλους μῆνας χξθ', ἡμέρας δὲ ,ιθψνς'. Ἐν δὲ τῷ χρόνῳ τούτῳ ποιεῖται τῆς κατὰ μῆκος ἀνωμαλίας ἡ σελήνη ἀποκαταστάσεις ψιζ', κύκλους δὲ ζωδιακοὺς διαπορευομένη ἐν τῷ προειρημένῳ χρόνῳ ψκγ', καὶ προσεπιλαμβάνουσα μοίρας λβ'. Ἔχοντες δὲ ταῦτα τὰ φαινόμενα ἐκ παλαιῶν χρόνων ἐζητημένα, δέον συστήσασθαι τὴν κατὰ μῆκος ἀνωμαλίαν ἡμερήσιον τῆς σελήνης, τίς ἐστιν ἐλαχίστη κίνησις αὐτῆς, καὶ τίς ἡ μεγίστη, καὶ τίς ἡ μέση, καὶ τίς ἡ καθ' ἡμέραν παραύξησις καὶ μείωσις αὐτῆς· ἐπιλαμβάνοντες ἐκ τοῦ φαινομένου καὶ τοῦτο, ὅτι ἐὰν μὲν καὶ τὰς ἐλαχίστας κινῆται, πλείονα μὲν τῶν ια' μοιρῶν κινεῖται, ἐλάττονα δὲ τῶν ιβ'· ὅταν δὲ τὰς μεγίστας κινῆται, πλείονα μὲν τῶν ιε' μοιρῶν κινεῖται, ἐλάττονα δὲ τῶν ις'· ἐπεὶ τοίνυν παρατετήρηται ἡ σελήνη ἐν ἡμέραις ,ιθψνς' διαπορευομένη ζωδιακοὺς κύκλους ψκγ', καὶ ἔτι μοίρας λβ', ἕκαστος δὲ τῶν κύκλων ἔχει μοίρας τξ'· ἀνελύσατο τῶν κύκλων πλῆθος εἰς μοίρας, καὶ προσέθηκε τὰς λβ'. Γίνεται ὁ πᾶς ἀριθμὸς μοιρῶν ,σξτιβ'. Ἐν ἄρα ἡμέραις μάλιστα ,ιθψνς' διαπορεύεται ἡ σελήνη τὸ προειρημένον πλῆθος τῶν μοιρῶν· δ δὴ πλῆθος, εἰς τὸ τῶν ἡμερῶν πλῆθος μερίσαντες, εὑρήσομεν τὴν μέσην ἡμερήσιον κίνησιν τῆς σελήνης. Ὅταν γὰρ μήτε τὴν ἐπίτασιν τῆς κινήσεως, μήτε τὴν ἄνεσιν ὑπολογιστάμενοι, ἐξ ὁμαλοῦ μερίσωμεν τὸ τῶν μοιρῶν πλῆθος, τότε ἡ εὑρεθεῖσα κίνησις μέση καλεῖται. Εὑρίσκεται δὲ αὕτη γινομένη μοιρῶν ιγ' πρώτων ἑξηκοστῶν, καὶ δευτέρων λε'. Καλεῖται δὲ τὸ τῆς μιᾶς μοίρας ἑξηκοστὸν πρῶτον ἑξηκοστόν, τὸ δὲ τοῦ πρώτου ἑξηκοστοῦ ἑξηκοστὸν δεύτερον ἑξηκοστόν· ὁμοίως δὲ τὸ

CAPUT XV.

De evolutione.

Evolutio est tempus minimum, continens integros menses, et integros dies, et integras restitutiones lunæ. Cum enim menstruum tempus observatum sit esse dierum 29 1/2, 1/33, fere: restitutio vero lunæ dierum 27 1/18 fere, quæsitum est tempus minimum, quod continet integros dies, et integros menses, et integras restitutiones: inventio autem est talis: Luna irregulariter peragrare zodiacum circulum, et fieri per arcum quemdam conspicitur. Die sequenti hoc arcu majorem conficit, et semper majorem diebus continuo sequentibus, donec per maximum arcum mota fuerit. Deinde rursus in arcum minorem præcedenti die, donec in minimum, qui fuit ab initio, arcum restituta fuerit. Tempus vero, quod est a minimo motu ad minimum motum, restitutio vocatur. Observata autem est evolutio continens integros menses 669, dies vero 19756. In hoc autem tempore luna anomaliæ secundum longitudinem facit restitutiones 717, circulos zodiacos peragrans in jam dicto tempore 723, et insuper assumens gradus 32. Habentes autem has apparentias ex veteribus temporibus quæsitas, quando constituere oportet eam diurnam lunæ anomaliam, quæ est secundum longitudinem, quis sit minimus motus ejus, et quis maximus, quis medius, et quod quotidianum incrementum et decrementum ejus: accipimus insuper ex apparentia et hoc, cum luna motus minimos facit, plus eam moveri undecim gradibus, minus duodecim: cum vero maximos conficit motus, amplius eam moveri 15 gradibus, minus vero 16 gradibus; cum igitur observatum sit, lunam in diebus 19756 peragrare zodiacos circulos 723, et præterea adhuc gradus 32: unusquisque autem circulorum habeat gradus 360, refundit luna circulorum multitudinem in gradus, et addit gradus 32. Fit igitur totus numerus graduum 260312. In diebus igitur maxime 19756 percurrit luna prædictum numerum graduum: quam multitudinem in dierum multitudinem dividentes inveniemus medium diurnum motum lunæ. Cum enim neque intentionem motus, neque remissionem reputantes, ex æquali diviserimus graduum multitudinem, tunc inventus motus **36** vocatur medius. Invenitur autem hic medius motus graduum 13 primorum sexagesimorum 10', et secundorum 35". Vocatur autem unius gradus sexagesimum, primum sexagesimum; et unius primi sexagesimi sexagesimum vocatur secundum sexagesimum; similiter etiam unum secundum sexagesimum, cum

(50) *Περὶ ἐξελιγμοῦ*. Vide Ptolemæum lib. IV, cap. 2.

Digitized by Google

divisum est in partes 60, vocatur una particula tertium sexagesimum. Eadem est ratio etiam in reliquis sexagesimis.

Cum numerorum hic sit ordo, a Chaldæis inventus est medius motus lunæ graduum 13, 10′, 35″, cumque in diebus 19756 luna faciat restitutiones 717, si voluerimus cognoscere unam restitutionem in quot diebus faciat luna, dividemus dierum multitudinem in restitutionum multitudinem; et fiunt dies restitutionis 27, et unius diei sexagesima prima 33, et secunda 20. In tot igitur diebus luna a minimo motu ad minimum motum proficiscitur.

δεύτερα κ′. Ἐν ἄρα ἡμέραις τοσαύταις ἡ σελήνη ἀπὸ
νεται.

Et cum in omni restitutione 4 sint tempora æqualia, acceperunt quartam partem dierum 27, 33′, et 20″, et fiunt dies 6, 53′, et 20″. In tot igitur diebus luna a minimo motu ad medium proficiscitur, et a medio ad maximum; et rursus similiter a maximo ad medium, et a medio ad minimum. Nam hæc quatuor tempora inter se sunt æqualia.

Et cum, si fuerint tres numeri ex æquo se superantes, extremi simul sumpti sint duplo majores medio, in motu autem lunæ tres sint numeri ex æquo se invicem superantes, nempe motus minimus, et medius, et maximus: si igitur motum maximum et minimum componamus, erunt hi compositi duplo majores medio. Erat autem medius motus graduum 13, 10′, 35″. Multiplicaverunt hæc bis, et proveniunt ex multiplicatione gradus 26, 21′, 10″. Maximus igitur motus lunæ, et minimus præcise compositi sunt dies 26, 21′, 10″. Atqui gradus ex observatione sumpti non exacte maximi et minimi motus sunt gradus 26. Reliqua igitur sunt ea sexagesima, quæ effugerunt observationem per apparentias et organa factam, videlicet unius gradus prima sexagesima 21′, et secunda 10″. Hæc igitur oportet insuper attribuere et minimo et maximo motui: ut duo hi motus compositi efficiant gradus 26, 21′, 10″. Addere autem oportet sic hanc necessariam appendicem, ut neque minimus motus agatur major gradibus 12, neque maximus major gradibus 16. Sic autem attribuemus: Cum luna in diebus 6, 53′, 20″ proficiscatur a minimo motu ad medium, et a medio ad maximum, et semper æquali incremento et decremento utatur: inveniendus est numerus qui, multiplicans quartam partem restitutivi temporis, efficiat numerum qui, additus medio motui, colligat quemdam numerum majorem quidem 15 gradibus, minorem vero 16; sublatus autem a medio motu, relinquat numerum quemdam majorem quidem 11 gradibus, minorem vero 12. At quæ adduntur gradus 15, et gradibus 11, ea erunt quoque prima sexagesima 21′, et secunda 10″. Invenitur autem hoc facere numerus 18 sexagesimorum primo-

A δεύτερον ἑξηκοστὸν, διαιρεθὲν εἰς μέρη ξ′, καλεῖται τὸ ἓν μέρος τρίτον ἑξηκοστόν. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν ἑξηκοστῶν.

Τοιαύτης δὲ τῆς διατάξεως ὑπαρχούσης τῶν ἀριθμῶν, ὑπὸ τῶν Χαλδαίων, εὕρηται ἡ μέση κίνησις τῆς σελήνης μοιρῶν ιγ′, ι′, λε′· καὶ ἐπεὶ ἐν ἡμέραις ,ιθψνς′ ἀποκαταστάσεις ποιεῖται ἡ σελήνη ψιζ′, ἐὰν βουλώμεθα ἐπιγνῶναι τὴν μίαν ἀποκατάστασιν ἐν πόσαις ἡμέραις ποιεῖται ἡ σελήνη, μεριοῦμεν τὸ τῶν ἡμερῶν πλῆθος εἰς τὸ τῶν ἀποκαταστάσεων πλῆθος· γίνονται δὲ ἡμέραι τῆς ἀποκαταστάσεως εἴκοσιν ἑπτὰ, καὶ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα λγ′, καὶ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν ἐλαχίστην παραγί-

B Καὶ ἐπεὶ ἐν πάσῃ ἀποκαταστάσει δ′ εἰσι χρόνοι ἴσοι, ἔλαβον τέταρτον μέρος τῶν κζ′ ἡμερῶν, λγ′ λεπτῶν πρώτων, καὶ κ′ δευτέρων λεπτῶν, καὶ γίνονται ἡμέραι ς′, νγ′, καὶ κ′. Ἐν ἄρα τοσαύταις ἡ σελήνη ἡμέραις ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν μέσην παραγίνεται, καὶ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, καὶ πάλιν ὁμοίως ἀπὸ τῆς μεγίστης ἐπὶ τὴν μέσην, καὶ ἀπὸ τῆς μέσης ἐπὶ τὴν ἐλαχίστην. Οἱ γὰρ δ′ οὗτοι χρόνοι εἰσὶν ἀλλήλοις ἴσοι.

Καὶ ἐπεὶ ἂν ὦσι τρεῖς ἀριθμοὶ ἴσῳ ἀλλήλων ὑπερέχοντες, γίνονται οἱ ἄκροι τοῦ μέσου διπλασίονες· ἐν δὲ τῇ κινήσει τῆς σελήνης τρεῖς εἰσιν ἀριθμοὶ τῷ ἴσῳ ἀλλήλων ὑπερέχοντες, ἥ τε ἐλαχίστη κίνησις, καὶ ἡ μέση, καὶ ἡ μεγίστη· ἐὰν ἄρα τὴν μεγίστην καὶ τὴν ἐλαχίστην συνθῶμεν, ἔσονται διπλασίονες τῆς
C μέσης κινήσεως. Ἦν δὲ ἡ μέση κίνησις μοιρῶν ιγ′, λεπτῶν ι′, λε′. Ἐπολλαπλασίασαν ταῦτα δίς· καὶ γίνονται μοῖραι κς′, κι′, ι′. Ἡ ἄρα μεγίστη κίνησις τῆς σελήνης καὶ ἡ ἐλαχίστη, ἐπ' ἀκριβὲς συντεθεῖσαι, γίνονται ἡμέραι [60] κς′, κα′, ι′. Ἀλλὰ αἱ κατὰ τὸ ὁλοσχερὲς ἐκ τηρήσεως εἰλημμέναι, ἥ τε μεγίστη καὶ ἐλαχίστη, μοῖραι κς′. Λοιπὰ ἄρα ἐστὶ τὰ ἐκφυγόντα τὴν διὰ τῶν φαινομένων καὶ τὴν τῶν ὀργάνων παρατήρησιν, μιᾶς μοίρας πρῶτα ἑξηκοστὰ κα′, καὶ δεύτερα ι′. Ταῦτα ἄρα δεῖ προσεπιμερίσαι τῇ τε ἐλαχίστῃ καὶ τῇ μεγίστῃ, ὅπως αἱ δύο συντεθεῖσαι κινήσεις ἀποτελῶσι μοίρας κς′, κα′, ι′. Προσθεῖναι δὲ τὴν ἐπουσίαν οὕτως, ὥστε μήτε τὴν ἐλαχίστην μείζονα ἄγεσθαι τῶν ιβ′ μοιρῶν, μήτε τὴν μεγίστην μείζονα μοιρῶν ις′. Ἐπιμεριοῦμεν δὲ οὕτως· Ἐπεὶ
D ἡ σελήνη ἐν ἡμέραις ς′ τε καὶ νγ′ πρώτοις, καὶ δευτέροις κ′ παραγίνεται ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν μέσην, καὶ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, καὶ διὰ παντὸς τῇ ἴσῃ παραυξήσει καὶ μειώσει χρῆται· δεῖ εὑρεῖν ἀριθμὸν, ὃς πολλαπλασιάσας τὸ τέταρτον μέρος τοῦ ἀποκαταστατικοῦ χρόνου, ἀποτελέσει τινὰ ἀριθμὸν, ὃς, προστιθεὶς μὲν τῇ μέσῃ κινήσει, συνάξει [61] τινὰ ἀριθμὸν μείζονα μὲν τῶν ιε′ μοιρῶν, ἐλάττονα δὲ τῶν ις′· ἀφαιρεθεὶς δὲ ἀπὸ τῆς μέσης κινήσεως, ἀπολείψει τινὰ ἀριθμὸν, μείζονα μὲν τῶν ια′ μοιρῶν, ἐλάττονα δὲ τῶν ιβ′. Τὰ δὲ προστιθέμενα ταῖς ιε′ μοίραις καὶ ταῖς ια′, ἔσται ἐπὶ τὸ αὐτὸ πρῶτα ἑξηκοστὰ κα′, καὶ δεύτερα ι′. Εὑρίσκεται δὲ τοῦτο

[60] f. μοῖραι [61] γρ. ποιήσει.

Digitized by Google

ποιῶν ὁ τῶν ιη' ἑξηκοστῶν πρώτων· ἐὰν γὰρ ταῦτα πολλαπλασιασθῇ ἐπὶ τὸ τέταρτον μέρος τῆς ἀποκαταστάσεως, ἐπὶ τὰς ἡμέρας ς', ιγ' πρῶτα λεπτὰ, καὶ κ' δεύτερα, ἀποτελοῦνται μοῖραι β' καὶ πρῶτα ἑξηκοστὰ δ'. Ταῦτα προσέθηκα τῇ μέσῃ κινήσει ιγ', ι', λε', καὶ γίνονται ιη μοῖραι ιε', ιδ', λε'· καὶ ἀφεῖλον ἀπὸ τῆς μέσης κινήσεως τὰς β' μοίρας, καὶ τὰ πρῶτα ἑξηκοστὰ δ', καὶ τὰ λείποντα [61], μοίρας ια', ς', λε'. Εὕρηται ἄρα ἡ μὲν ἐλαχίστη κίνησις τῆς σελήνης μοιρ. ια', πρώτων ἑξηκοστῶν ις', δευτέρων δὲ ια', τρίτων λε'· ἡ δὲ μέση κίνησις μοιρ. ιγ', ι', λε'· ἡ μεγίστη κίνησις μοιρ. ιε', ια', λε'· ἡ δὲ ἡμερησία παραύξησις πρώτων ἑξηκοστῶν ιη'.

A rum; si enim hæc multiplicata fuerint in quartam partem restitutionis, nempe in dies 6, 13′, et 20″, producuntur gradus 2 et 4′. Hæc addidi medio motui, nempe gradibus 13, 10′, 35″, et fiunt gradus 15, 14′, 35″. Subtraxi a medio motu hos gradus 2 et 4′, et reliqui sunt gradus 11, 6′, 35″. Inventus est igitur minimus motus lunæ graduum 11, 6′, 11″, 35‴; medius motus graduum 13, 10′, 35″; maximus motus graduum 15, 11′, 35″; diurnum autem incrementum primorum sexagesimorum 18′.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Χρόνοι τῶν ζωδίων ἐν οἷς ἕκαστον αὐτῶν ὁ ἥλιος διαπορεύεται· καὶ αἱ καθ' ἕκαστον ζῴδιον γινόμεναι ἐπισημασίαι αἱ ὑπογεγραμμέναι εἰσίν.

Ἀρξώμεθα δὲ ἀπὸ θερινῆς τροπῆς.

Καρκίνον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λα'.

Ἐν δὲ τῇ α' ἡμέρᾳ Καλίππῳ Καρκίνος ἄρχεται ἀνατέλλειν, τροπαὶ θερινα, καὶ ἐπισημαίνει.

Ἐν δὲ τῇ θ' ἡμέρᾳ Εὐδόξῳ νότος πνεῖ.

Ἐν δὲ τῇ ια' ἡμέρᾳ Εὐδόξῳ Ὠρίων ἐῷος ἐπιτέλλει.

Ἐν δὲ τῇ ιγ' ἡμέρᾳ Εὐκτήμονι Ὠρίων ὅλος ἐπιτέλλει.

Ἐν δὲ τῇ ις' Δοσιθέῳ Στέφανος ἐῷος ἄρχεται δύνειν.

Ἐν δὲ τῇ κγ' Δοσιθέῳ ἐν Αἰγύπτῳ Κύων ἐκφανὴς γίνεται.

Ἐν δὲ τῇ κε' Μέτωνι Κύων ἐπιτέλλει ἐῷος.

Ἐν δὲ τῇ κζ' Εὐκτήμονι Κύων ἐπιτέλλει· Εὐδόξῳ Κύων ἐῷος ἐπιτέλλει, καὶ τὰς ἑπομένας ἡμέρας ε' [62] ἐτησίαι πνέουσιν· αἱ δὲ πέντε αἱ πρῶται πρόδρομοι καλοῦνται. Καλίππῳ Καρκίνος δύνει ἀνατέλλων πνευματώδης.

Ἐν δὲ τῇ κη' Εὐκτήμονι Ἀετὸς ἐῷος δύνει· χειμὼν κατὰ θάλασσαν ἐπιγίνεται.

Ἐν δὲ τῇ λ' Καλίππῳ Λέων ἄρχεται ἀνατέλλειν· νότος πνεῖ· καὶ Κύων ἀνατέλλων φανερὸς γίνεται.

Ἐν δὲ τῇ λα' Εὐδόξῳ νότος πνεῖ.

Ὁ ἥλιος τὸν Λέοντα διαπορεύεται ἐν ἡμέραις λα'.

Ἐν μὲν οὖν τῇ α' ἡμέρᾳ Εὐκτήμονι Κύων μὲν ἐκφανὴς, πνῖγος δὲ ἐπιγίνεται, ἐπισημαίνει.

Ἐν δὲ τῇ ε' Εὐδόξῳ Ἀετὸς ἐῷος δύνει.

Ἐν δὲ τῇ ι' ἡμέρᾳ Εὐδόξῳ Στέφανος δύνει.

Ἐν δὲ τῇ ιβ' Καλίππῳ Λέων μέσος ἀνατέλλων πνίγη μάλιστα ποιεῖ.

Ἐν δὲ τῇ ιδ' Εὐκτήμονι πνίγη μάλιστα γίνεται.

Ἐν δὲ τῇ ις' ἡμέρᾳ Εὐδόξῳ ἐπισημαίνει.

Ἐν δὲ τῇ ιζ' Εὐκτήμονι Λύρα δύεται, καὶ ἔτι ὗει, καὶ ἐτησίαι παύονται, καὶ Ἵππος ἐπιτέλλει.

Ἐν δὲ τῇ ιη' Εὐδόξῳ Δελφὶς ἐῷος δύνει. Δοσιθέῳ Προτρυγητὴρ ἀκρόνυχος ἐπιτέλλει.

Ἐν δὲ τῇ κβ' Εὐδόξῳ Λύρα ἐῷος δύνει, καὶ ἐπισημαίνει.

Ἐν δὲ τῇ κθ' Εὐδόξῳ ἐπισημαίνει. Καλίππῳ Παρθένος ἐπιτέλλει, ἐπισημαίνει.

CAPUT XVI.

Tempora signorum in quibus unumquoaque eorum sol peragrat: et significationes singulorum signorum sunt ejusmodi.

Incipiamus autem ab æstiva conversione.

Cancrum peragrat sol in diebus 31.

Primo die Calippo Cancer incipit oriri, conversiones æstivæ, et significat.

Die 9 Eudoxo flat auster.

Die 11 Eudoxo Orion mane oritur.

Die 13 Euctemoni Orion totus oritur.

Die 16 Dositheo Corona mane incipit occidere.

Die 23 Dositheo in Ægypto Canis apparet.

Die 25 Metoni Canis oritur mane

Die 27 Euctemoni Canis oritur. Eudoxo Canis mane oritur, et per dies sequentes quinque etesiæ spirant: e quibus diebus primi quinque vocantur præcursores. Calippo Cancer occidit, oriens flatuosus.

Die 28 Euctemoni Aquila mane occidit; tempestas per mare post excitatur.

Die 30 Calippo Leo incipit oriri; auster spirat; et Canis oriens fit conspicuus.

Die 31 Eudoxo auster spirat.

Leonem sol peragrat diebus 31.

Primo igitur die Euctemoni Canis quidem est conspicuus: post autem fit æstus, significat.

Die 5 Eudoxo Aquila mane occidit.

Die 10 Eudoxo Corona occidit.

Die 12 Calippo Leo medius oriens æstus maxime facit.

Die 14 Euctemoni æstus maxime fiunt.

Die 16 Eudoxo significat.

Die 17 Euctemoni Lyra occidit, et insuper pluit, et etesiæ cessant: Equus oritur.

Die 18 Eudoxo Delphinus mane occidit. Dositheo Vindemiator vesperi oritur.

Die 22 Eudoxo Lyra mane occidit, et significat.

Die 29 Eudoxo significationem habet. Calippo Virgo oritur, significat.

[61] γρ. καταλειφθέντα. [62] γρ. νε'.

Digitized by Google

Virginem percurrit sol diebus 30.

Die 5 Eudoxo ventus spirat magnus, et insuper tonat. Calippo humeri Virginis oriuntur, et efesiæ spirant.

Die 10 Euctemoni Vindemiator apparet; oritur et Arcturus, et Sagitta occidit mane. Tempestas fit per mare. Eudoxo pluvia, tonitrua; ventus magnus spirat.

Die 17 Calippo Virgo media oriens significat, et Arcturus oriens est conspicuus.

Die 19 Eudoxo Arcturus mane oritur, et per sequentes dies 7 spirant venti, serenitas est plerumque. Cessante hoc tempore, ventus ab aurora exsistit.

Die 20 Arcturus Euctemoni conspicuus. Autumni initium, et Capra oritur, stella magna in Auriga, et deinde significat. Tempestas per mare.

Die 24 Calippo spica Virginis oritur.

Libram sol peragrat diebus 30.

Die 1 Euctemoni æquinoctium autumnale, et significat. Calippo Aries incipit occidere. Æquinoctium autumnale.

Die 3 Euctemoni Hædi vespertini oriuntur. Tempestas exsistit.

Die 4 Eudoxo Capra vesperi oritur.

Die 5 Euctemoni vespertinæ apparent Pleiades ab ortu. Calippo Virgo cessat oriri.

Die 7 Euctemoni Corona oritur. Tempestas est.

Die 8 Eudoxo Pleiades oriuntur.

Die 10 Eudoxo . . . mane oritur.

Die 12 Eudoxo Scorpius vesperi incipit occidere, et tempestas insuper oritur, et ventus flat magnus.

Die 17 Eudoxo totus Scorpius vesperi; Capra penitus occidit. Calippo Chelæ incipiunt oriri, significant.

Die 19 Eudoxo boreæ et austri spirant.

Die 22 Eudoxo Hyades vesperi oriuntur.

Die 28 Calippo Tauri cauda occidit, significat.

Die 29 Eudoxo boreas et auster spirant.

Die 30 Euctemoni magna per mare tempestas.

Scorpium sol permeat diebus 30.

Die 3 Dositheo tempestas est.

Die 4 Democrito Pleiades occidunt summo mane, venti hiberni plerumque et frigora, et pruina. Solet oriri flatus. Folia abjicere maxime incipiunt arbores. Calippo Scorpii frons oritur cum flatu.

A Τὴν δὲ Παρθένον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ'.

Ἐν μὲν οὖν τῇ ε' ἡμέρᾳ Εὐδόξῳ ἄνεμος μέγας πνεῖ, καὶ ἐπιβροντᾷ. Καλίππῳ δὲ οἱ ὦμοι τῆς Παρθένου ἐπιτέλλουσι, καὶ ἐτησίαι πνέουσιν [64].

Ἐν δὲ τῇ ι' ἡμέρᾳ Εὐκτήμονι Προτρυγητὴρ φαίνεται· ἐπιτέλλει δὲ καὶ Ἀρκτοῦρος· καὶ Ὀϊστὸς δύεται ὄρθρου. Χειμὼν κατὰ θάλασσαν. Εὐδόξῳ ὑετὸς, βρονταὶ, [65] ἄνεμος μέγας πνεῖ.

Ἐν δὲ τῇ ιζ' Καλίππῳ Παρθένος μέση ἐπιτέλλουσα ἐπισημαίνει, καὶ Ἀρκτοῦρος ἀνατέλλων φανερός.

Ἐν δὲ τῇ ιθ' Εὐδόξῳ Ἀρκτοῦρος ἑῷος ἐπιτέλλει, καὶ τὰς ἑπομένας ἡμέρας ζ' ἄνεμοι πνέουσιν, εὐδία ὡς τὰ πολλά. Λήγοντος δὲ τοῦ χρόνου, ἀπ' ἠοῦς
B πνεῦμα γίνεται.

Ἐν δὲ τῇ κ' Ἀρκτοῦρος Εὐκτήμονι ἐκφανής. Μετοπώρου ἀρχὴ, καὶ Αἴξ ἐπιτέλλει, ἀστὴρ μέγας ἐπὶ τοῦ Ἡνιόχου, κἄπειτα ἐπισημαίνει. Χειμὼν κατὰ θάλασσαν.

Ἐν δὲ τῇ κδ' ἡμέρᾳ Καλίππῳ στάχυς ἐπιτέλλει τῆς Παρθένου.

Τὸν δὲ ζυγὸν διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ'.

Ἐν δὲ τῇ πρώτῃ ἡμέρᾳ Εὐκτήμονι ἰσημερία μετοπωρινὴ, καὶ ἐπισημαίνει. Καλίππῳ ὁ Κριὸς ἄρχεται δύνειν. Ἰσημερία μετοπωρινή.

Ἐν δὲ τῇ γ' Εὐκτήμονι Ἔριφοι ἐπιτέλλουσιν ἑσπέριοι. Χειμαίνει.

Ἐν δὲ τῇ δ' Εὐδόξῳ Αἴξ ἀκρόνυχος ἐπιτέλλει.

Ἐν δὲ τῇ ε' Εὐκτήμονι Πλειάδες ἑσπέριαι φαίνονται ἐκ τοῦ πρὸς ἕω. Καλίππῳ Παοθένος λήγει ἀνατέλλουσα.
C

Ἐν δὲ τῇ ζ' ἡμέρᾳ Εὐκτήμονι Στέφανος ἀνατέλλει. Χειμαίνει.

Ἐν δὲ τῇ η' Εὐδόξῳ Πλειάδες ἐπιτέλλουσιν.

Ἐν δὲ τῇ ι' Εὐδόξῳ... ἑῷος ἐπιτέλλει.

Ἐν δὲ τῇ ιβ' ἡμέρᾳ Εὐδόξῳ Σκορπίος ἀκρόνυχος ἄρχεται δύνειν, καὶ χειμὼν ἐπιγίνεται, καὶ ἄνεμος μέγας πνεῖ.

Ἐν δὲ τῇ ιζ' Εὐδόξῳ Σκορπίος ὅλος ἀκρόνυχος· Αἴξ ὅλως δύνει. Καλίππῳ Χηλαὶ ἄρχονται ἀνατέλλειν· ἐπισημαίνουσιν.

Ἐν δὲ τῇ ιθ' Εὐδόξῳ βορέαι καὶ νότοι πνέουσιν.

Ἐν δὲ τῇ κβ' Εὐδόξῳ Ὑάδες ἀκρόνυχοι ἐπιτέλ-
D λουσιν.

Ἐν δὲ τῇ κη' Καλίππῳ τοῦ Ταύρου κέρκος δύνει, ἐπισημαίνει.

Ἐν δὲ τῇ κθ' Εὐδόξῳ βορέας καὶ νότος πνέουσιν.

Ἐν δὲ τῇ λ' Εὐκτήμονι χειμὼν κατὰ θάλασσαν πολύς.

Τὸν δὲ Σκορπίον ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λ'.

Ἐν μὲν οὖν τῇ τρίτῃ Δοσιθέῳ χειμαίνει.

Ἐν δὲ τῇ δ' ἡμέρᾳ Δημοκρίτῳ Πλειάδες δύνουσιν ἅμα ἠοῖ· ἄνεμοι χειμέριοι ὡς τὰ πολλὰ, καὶ ψύχη, ἠδὴ καὶ πάχνη. Ἐπιπνεῖν φιλεῖ. Φυλλορροεῖν ἄρχεται τὰ δένδρα μάλιστα. Καλίππῳ τοῦ Σκορπίου τὸ μέτωπον ἐπιτέλλει, πνευματώδες [66].

[64] γρ. λήγονται. [65] γρ. βροντᾷ. [66] γρ. πνευματώδη.

Digitized by Google

Ἐν δὲ τῇ ε' Εὐκτήμονι Ἀρκτοῦρος ἑσπέριος δύεται, καὶ ἄνεμοι μεγάλοι πνέουσιν.

Ἐν δὲ τῇ η' Εὐδόξῳ Ἀρκτοῦρος ἀκρόνυχος πρωΐας δύνει, καὶ ἐπισημαίνει, καὶ ἄνεμος πνεῖ.

Ἐν δὲ τῇ θ' Καλίππῳ τοῦ Ταύρου δύνει κεφαλὴ ἑῴα· ὑετοί [67].

Ἐν δὲ τῇ ι' Εὐκτήμονι Λύρα ἑῷος ἐπιτέλλει, καὶ ἐπιχειμάζεται ὑετῷ.

Ἐν δὲ τῇ ιβ' Εὐδόξῳ Ὡρίων ἀκρόνυχος ἄρχεται ἐπιτέλλειν.

Ἐν δὲ τῇ ιγ' Δημοκρίτῳ Λύρα ἐπιβάλλει ἅμα ἡλίῳ ἀνίσχοντι· καὶ ὁ ἀὴρ χειμερινὸς γίνεται ὡς ἐπὶ τὰ πολλά.

Ἐν δὲ τῇ ιδ' Εὐδόξῳ ὑετία.

Ἐν δὲ τῇ ιε' Εὐκτήμονι Πλειάδες δύνουσι, καὶ ἐπισημαίνει, καὶ Ὡρίων ἄρχεται καὶ μεσοῦντι καὶ λήγοντι ἐπιχειμάζειν.

Ἐν δὲ τῇ ις' Καλίππῳ ὁ ἐν τῷ Σκορπίῳ λαμπρὸς ἀστὴρ ἀνατέλλει, ἐπισημαίνει· καὶ Πλειάδες δύνουσι φανεραί.

Ἐν δὲ τῇ ιη' Εὐδόξῳ Σκορπίος ἄρχεται ἐπιτέλλειν ἑῷος.

Ἐν δὲ τῇ ιθ' Εὐδόξῳ Πλειάδες ἑῷαι δύνουσι· καὶ Ὡρίων ἄρχεται δύνειν, καὶ χειμάζει.

Ἐν δὲ τῇ κα' Εὐδόξῳ Λύρα ἑῷος ἐπιτέλλει.

Ἐν δὲ τῇ κζ' Εὐκτήμονι Ὑάδες δύνονται· καὶ ἔτι ὗει.

Ἐν δὲ τῇ κη' Καλίππῳ τοῦ Ταύρου τὰ κέρατα δύεται· ὑετία.

Ἐν δὲ τῇ κθ' Εὐδόξῳ Ὑάδες δύνουσι, καὶ χειμαίνει σφόδρα.

Τὸν δὲ Τοξότην ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ'.

Ἐν μὲν οὖν τῇ ἑβδόμῃ Εὐκτήμονι Κύων δύεται, καὶ ἐπιχειμάζει. Καλίππῳ ὁ Τοξότης ἄρχεται ἀνατέλλειν· καὶ Ὡρίων δύνειν φανερῶς. Χειμαίνει.

Ἐν δὲ τῇ η' Εὐδόξῳ Ὡρίων ἑῷος δύνει.

Ἐν δὲ τῇ ι' Εὐκτήμονι τοῦ Σκορπίου τὸ κέντρον ἐπιτέλλει.

Ἐν δὲ τῇ ιβ' Εὐδόξῳ Κύων ἑῷος δύνει, χειμαίνει.

Ἐν δὲ τῇ ιδ' Εὐδόξῳ ὑετός.

Ἐν δὲ τῇ ιε' Εὐκτήμονι Ἀετὸς ἐπιτέλλει, νότος πνεῖ.

Ἐν δὲ τῇ ις' Δημοκρίτῳ Ἀετὸς ἐπιτέλλει ἅμα ἡλίῳ, καὶ ἐπισημαίνειν φιλεῖ βροντὴν, καὶ ἀστραπὴν, καὶ ὕδατι ἢ ἀνέμῳ, ἢ ἀμφότερα ὡς ἐπὶ τὰ πολλά. Εὐδόξῳ Κύων ἀκρόνυχος [68] ἐπιτέλλει, καὶ ὅτι Καλίππῳ οἱ Δίδυμοι μετίασι δυόμενοι, νοτία [69].

Ἐν δὲ τῇ ιθ' Εὐκτήμονι, Εὐδόξῳ δύνει.

Ἦν δὲ τῇ κα' Εὐδόξῳ Σκορπίος ἑῷος ἐπιτέλλει, καὶ χειμαίνει.

Ἐν δὲ τῇ κγ' Εὐδόξῳ Αἴξ ἑῴα δύνει.

Ἐν δὲ τῇ κς' Εὐδόξῳ Ἀετὸς ἑῷος ἐπιτέλλει.

Τὸν δὲ Αἰγόκερων ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ'.

Ἐν μὲν οὖν τῇ α' ἡμέρᾳ Εὐκτήμονι τροπαὶ χειμε-

Die 5 Euctemoni Arcturus vesperi occidit, magnique spirant venti.

Die 8 Eudoxo Arcturus in extremitate noctis mane occidit, et significat; ventus spirat.

Die 9 Calippo Tauri caput occidit mane; pluviæ.

Die 10 Euctemoni Lyra mane oritur, atque insuper hiems est cum pluvia.

Die 12 Eudoxo Orion vesperi incipit oriri.

Die 13 Democrito Lyra ascendit una cum sole
38 oriente, et aer fit tempestuosus plerumque.

Die 14 Eudoxo est pluvia.

Die 15 Euctemoni Pleiades occidunt, et significant. Orion incipit cum medio mense, tum desinente, tempestatem excitare.

Die 16 Calippo splendida in Scorpio stella oritur, significat; et Pleiades occidunt apparenter.

Die 18 Eudoxo Scorpius incipit oriri mane.

Die 19 Eudoxo Pleiades mane occidunt; et Orion incipit occidere, et tempestatem excitat.

Die 21 Eudoxo Lyra mane oritur.

Die 27 Euctemoni Hyades occidunt, atque insuper pluit.

Die 28 Calippo Tauri cornua occidunt; et fit pluvia.

Die 29 Eudoxo Hyades occidunt; et magna est tempestas.

Sagittarium sol percurrit diebus 29.

Die 7 Euctemoni Canis occidit, atque insuper fit tempestas. Calippo Sagittarius incipit oriri, et Orion occidere apparenter. Oritur tempestas.

Die 8 Eudoxo Orion mane occidit.

Die 10 Euctemoni Scorpii aculeus oritur.

Die 12 Eudoxo Canis mane occidit, fit tempestas

Die 14 Eudoxo est pluvia.

Die 15 Euctemoni Aquila oritur, flat auster.

Die 16 Democrito Aquila oritur simul cum sole, et insuper significare solet tonitru et fulgur, cum aqua aut vento, aut utraque plerumque. Eudoxo Canis vesperi oritur, eo quod Calippo Gemini transeunt occidentes, fit pluvia.

Die 19 Euctemoni et Eudoxo occidit.

Die 21 Eudoxo Scorpius mane oritur, estque tempestas.

Die 23 Eudoxo Capra mane occidit.

Die 26 Eudoxo Aquila mane oritur.

Capricornum sol peragrat diebus 29.

Die 1 Euctemoni solstitium hibernum significat.

[67] γρ. ὑετοσίαι. [68] γρ. ἀκρόνυξ. [69] γρ. νοτια.

Digitized by Google

Calippo Sagittarius desinit oriri ; conversiones contingunt hibernæ, fit tempestas.

Die 2 Euctemoni Delphinus oritur, exsistit tempestas.

Die 4 Eudoxo fiunt hibernæ conversiones, exsistit tempestas.

Die 7 Euctemoni Aquila vesperi occidit, fitque tempestas.

Die 9 Eudoxo Corona vesperi oritur.

Die 12 Democrito auster spirat . . . oritur.

Die 14 Euctemoni media hiems. Auster multus flat hibernus per mare.

Die 15 Calipoo Capricornus incipit oriri, flat auster.

Die 16 Euctemoni auster hibernus per mare.

Die 18 vesperi post solem occidit Perseus, et spirat auster.

Die 27 Euctemoni Delphinus vespertinus occidit. Calippo Cancer desinit occidere ; est tempestas.

Aquarium permeat sol diebus 30.

Die 2 Leo incipit occidere, fit pluvia. Democrito hiems exsistit.

Die 4 Eudoxo Delphinus vesperi occidit.

Die 11 Eudoxo Lyra vesperi occidit. Exsistit pluvia.

Die 14 Eudoxo serenitas, interdum etiam flat zephyrus.

Die 16 Democrito zephyrus incipit flare, et manet per dies 43 a conversionibus.

Die 17 Euctemoni tempus est ut spiret zephyrus. Calippo Aquarius medius oriens est ; flat zephyrus.

Die 25 Euctemoni vesperi occidit, et insuper magna est tempestas.

Pisces sol percurrit diebus 30.

Die 2 tempus est hirundinem apparere, et spirant ornithiæ, seu venti aviarii. Calippo Leo desinit occidere, et hirundo apparet, significat.

Die 4 Democrito varii sunt dies qui vocantur dies halcyonum. Eudoxo Arcturus vesperi oritur, et exsistit pluvia, hirundo apparet, et per sequentes dies 30 boreæ spirant, et maxime illi qui dicuntur proornithiæ, seu venti anteaviarii.

Die 12 Euctemoni Arcturus vesperi oritur, et Vindemiator fit apparens. Insuper flat frigidus boreas.

39 Die 14 Democrito frigidi flant venti qui ornithiæ vocantur, per dies maxime novem. Euctemoni Equus mane occidit : insuper frigidus flat boreas.

Die 17 Eudoxo exsistit tempestas, et milvus apparet. Calippo Piscium australis oritur, desinit boreas.

Die 21 Eudoxo Corona vesperi oritur, incipiunt ornithiæ spirare.

Die 22 Euctemoni milvus apparet, ornithiæ spirant usque ad æquinoctium.

[10] γρ. ἀκρόνυξ ubique. [11] *f.* νότιος, *al.* ἄλοπος.

ρινὰ ἐπισημαίνουσι. Καλίππῳ Τοξότης λήγει ἀνατέλλων. Τροπαὶ χειμερινὰι, χειμαίνει.

Ἐν δὲ τῇ β' Εὐκτήμονι Δελφὶς ἐπιτέλλει, χειμαίνει.

Ἐν δὲ τῇ δ' Εὐδόξῳ τροπαὶ χειμερινὰι, χειμαίνει.

Ἐν δὲ τῇ ζ' Εὐκτήμονι Ἀετὸς ἑσπέριος δύεται, καὶ χειμαίνει.

Ἐν δὲ τῇ θ' Εὐδόξῳ Στέφανος ἀκρόνυχος δύνει.

Ἐν δὲ τῇ ιβ' Δημοκρίτῳ νότος πνεῖ, ... ὡς ἐπιτέλλει.

Ἐν δὲ τῇ ιδ' Εὐκτήμονι μέσος χειμών. Νότος πολὺς ἐπιπνεῖ χειμερινὸς κατὰ θάλασσαν.

Ἐν δὲ τῇ ιε' Καλίππῳ Αἰγόκερως ἄρχεται ἀνατέλλειν, νότος.

Ἐν δὲ τῇ ις' Εὐκτήμονι νότος χειμέριος κατὰ θάλασσαν.

Ἐν δὲ τῇ ιη' ἀκρόνυχος ἐπιδύνει ὁ Περσεὺς, καὶ νότος πνεῖ.

Ἐν δὲ τῇ κζ' Εὐκτήμονι Δελφὶς ἑσπέριος δύνει. Καλίππῳ Καρκίνος λήγει δύνων· χειμαίνει

Τὸν δὲ Ὑδροχόον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ'.

Ἐν μὲν οὖν τῇ β' Καλίππῳ Λέων ἄρχεται δύνειν· ὑετία. Δημοκρίτῳ [ἄλοχος] χειμών.

Ἐν δὲ τῇ δ' ἡμέρᾳ Εὐδόξῳ Δελφὶν ἀκρόνυχος [10] δύνει.

Ἐν δὲ τῇ ια' Εὐδόξῳ Λύρα ἀκρόνυχος δύνει. Ὑετός.

Ἐν δὲ τῇ ιδ' Εὐδόξῳ εὐδία· ἐνίοτε καὶ ζεφυρος πνεῖ.

Ἐν δὲ τῇ ις' Δημοκρίτῳ ζέφυρος πνεῖν ἄρχεται, καὶ παραμένει ἡμέρας γ' καὶ μ' ἀπὸ τροπῶν.

Ἐν δὲ τῇ ιζ' Εὐκτήμονι ζέφυρος πνεῖ. Καλίππῳ Ὑδροχόος μέσος ἀνατέλλων· ζέφυρος πνεῖ.

Ἐν δὲ τῇ κε' Εὐκτήμονι ἑσπέριος δύνει· καὶ σφόδρα ἐπιχειμάζει.

Τοὺς δὲ Ἰχθύας ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λ'.

Ἐν μὲν οὖν τῇ β' χελιδόνα ὥραι φαίνεσθαι, καὶ ὀρνιθίαι πνέουσι. Καλίππῳ δὲ Λέων δύνων λήγει, καὶ χελιδὼν φαίνεται, ἐπισημαίνει.

Ἐν δὲ τῇ δ' Δημοκρίτῳ ποικίλαι ἡμέραι γίνονται ἀλκυονίδες καλούμεναι. Εὐδόξῳ δὲ Ἀρκτοῦρος ἀκρόνυχος ἐπιτέλλει, καὶ ὑετὸς γίνεται, καὶ χελιδὼν φαίνεται· καὶ τὰς ἑπομένας ἡμέρας λ' βορέαι πνέουσι, καὶ μάλιστα οἱ προορνιθίαι καλούμενοι.

Ἐν δὲ τῇ ιβ' Εὐκτήμονι Ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει, καὶ Προτρυγητὴρ ἐκφανής. Ἐπιπνεῖ βορέας ψυχρός.

Ἐν δὲ τῇ ιδ' Δημοκρίτῳ ἄνεμοι πνέουσι ψυχροὶ, οἱ ὀρνιθίαι καλούμενοι, ἡμέρας μάλιστα θ'. Εὐκτήμονι δὲ Ἵππος ἑῷος δύνει· ἐπιπνεῖ βορέας ψυχρός.

Ἐν δὲ τῇ ιζ' Εὐδόξῳ χειμαίνει, καὶ ἰκτῖνος φαίνεται. Καλίππῳ τῶν Ἰχθύων ὁ νότος [11] ἐπιτέλλει· λήγει βορέας.

Ἐν δὲ τῇ κα' Εὐδόξῳ Στέφανος ἀκρόνυχος ἐπιτέλλει· ἄρχονται ὀρνιθίαι πνέοντες.

Ἐν δὲ τῇ κβ' Εὐκτήμονι ἰκτῖνος φαίνεται, ὀρνιθίαι πνέουσι μέχρις ἰσημερίας.

Digitized by Google

Ἐν δὲ τῇ κθ' Εὐκτήμονι τοῦ Σκορπίου οἱ πρῶτοι ἀστέρες δύνουσιν, ἐπιπνεῖ βορέας ψυχρός.

Ἐν δὲ τῇ λ' Καλίππῳ τῶν Ἰχθύων ὁ βόρειος ἐπιτέλλων λήγει, ἰκτῖνος φαίνεται, βορέας πνεῖ.

Τὸν δὲ Κριὸν διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λα'.

Ἐν μὲν τῇ πρώτῃ Καλίππῳ σύνδεσμος τῶν Ἰχθύων ἀνατέλλει. Ἰσημερία ἐαρινή, καὶ ψεκὰς λεπτή· χειμαίνει σφόδρα, ἐπισημαίνει.

Ἐν δὲ τῇ γ' Καλίππῳ Κριὸς ἄρχεται ἐπιτέλλειν· ὑετὸς, ἢ νιφετός.

Ἐν δὲ τῇ ς' Εὐδόξῳ ἰσημερία, ὑετὸς γίνεται.

Ἐν δὲ τῇ ι' Εὐκτήμονι Πλειάδες ἑσπέριοι κρύπτονται.

Ἐν δὲ τῇ ιγ' Εὐδόξῳ Πλειάδες ἀκρόνυχοι δύνουσι· καὶ Ὡρίων ἄρχεται δύνειν ἀπὸ ἀκρονύχου· ὑετὸς γίνεται. Δημοκρίτῳ Πλειάδες κρύπτονται ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ ἀφανεῖς γίνονται νύκτας μ'.

Ἐν δὲ τῇ κα' Εὐδόξῳ Ὑάδες ἀκρόνυχοι δύνουσιν.

Ἐν δὲ τῇ κγ' Εὐκτήμονι Ὑάδες κρύπτονται, καὶ χάλαζα ἐπιγίνεται, καὶ ζέφυρος πνεῖ. Καλίππῳ Ζυγὸς ἄρχεται δύνειν, πολλαχῇ δὲ καὶ χάλαζα.

Ἐν δὲ τῇ κζ' Εὐδόξῳ Λύρα ἀκρόνυχος ἐπιτέλλει.

Τὸν δὲ Ταῦρον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λβ'.

Ἐν μὲν οὖν τῇ α' ἡμέρᾳ Εὐδόξῳ Ὡρίων ἀκρόνυχος δύνει· ὑετία. Καλίππῳ ὁ Κριὸς λήγει ἐπιτέλλων· ὑετία· πολλαχῇ δὲ καὶ χάλαζα.

Ἐν δὲ τῇ β' Εὐκτήμονι Κύων κρύπτεται, καὶ χάλαζα γίνεται. Τῇ δ' αὐτῇ Λύρα [τβ] ἐπιτέλλει Εὐδόξῳ. Κύων ἀκρόνυχος δύνει, καὶ ὑετὸς γίνεται. Καλίππῳ τοῦ Ταύρου ἡ κέρκος ἐπιτέλλει· νοτία.

Ἐν δὲ τῇ ζ' Εὐδόξῳ ὑετὸς γίνεται.

Ἐν δὲ τῇ η' Εὐκτήμονι Αἴξ ἑῴα ἀνατέλλει· εὐδία· ὗει νότῳ ὕδατι.

Ἐν δὲ τῇ θ' Εὐδόξῳ Αἴξ ἑῴα ἐπιτέλλει.

Ἐν δὲ τῇ ια' Εὐδόξῳ Σκορπίος ἑῷος δύνειν ἄρχεται, καὶ ὑετὸς γίνεται.

Ἐν δὲ τῇ ιγ' Εὐκτήμονι Πλειὰς ἐπιτέλλει· θέρους ἀρχὴ, καὶ ἐπισημαίνει. Καλίππῳ ἡ τοῦ Ταύρου κεφαλὴ ἐπιτέλλει· ἐπισημαίνει.

Ἐν δὲ τῇ μιᾷ καὶ εἰκάδι Εὐδόξῳ Σκορπίος ἑῷος ὅλος δύνει.

Ἐν δὲ τῇ κβ' Εὐδόξῳ Πλειάδες ἐπιτέλλουσι, καὶ ἐπισημαίνουσιν.

Ἐν δὲ τῇ κε' Εὐκτήμονι Ἀετὸς ἑσπέριος δύνει.

Ἐν δὲ τῇ λ' Εὐκτήμονι ἑσπέριος ἐπιτέλλει.

Ἐν δὲ τῇ λα' Εὐκτήμονι Ἀετὸς ἑσπέριος ἐπιτέλλει.

Ἐν δὲ τῇ λβ' Εὐκτήμονι Ἀρκτοῦρος ἑῷος δύνει· ἐπισημαίνει. Καλίππῳ ὁ Ταῦρος λήγει ἀνατέλλων. Εὐκτήμονι Ὑάδες ἑσπέριαι ἐπιτέλλουσιν, ἐπισημαίνουσι.

Τοὺς δὲ Διδύμους ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λβ'.

Ἐν μὲν οὖν τῇ β' Καλίππῳ οἱ Δίδυμοι ἄρχονται ἐπιτέλλειν· νοτία.

Ἐν δὲ τῇ ε' Εὐδόξῳ Ὑάδες ἑῷαι ἐπιτέλλουσιν.

Ἐν δὲ τῇ ζ' Εὐδόξῳ Ἀετὸς ἀκρόνυχος ἐπιτέλλει.

Ἐν δὲ τῇ ι' Δημοκρίτῳ ὕδωρ γίνεται.

4. Audiendus omnino Chrysippus est, cum ait ex quatuor elementis universa constare. Causam vero perpetuitatis esse quoddam gravitatis æquilibrium. Nam cum gravia sint corpora duo, terra et aqua, levia totidem, ignis et aer; horum temperatione foveri ac conservari universitatis ordinem; ut enim si gravis mundus esset, deorsum sideret, ita si levitate præditus esset, sursum tolleretur. Manet igitur ideo, quod paribus examinata ponderibus sit in eo gravitas et levitas. Porro æthera cœlumque, sive idem sit, sive differat, extra esse rotunda figura: intra hunc proxime aerem esse; qui in orbem extrinsecus terræ et ipse circumfusus est. Intra quem tertia continetur aquæ sphæra terram ambiens, et inter hanc atque aerem interjecta. Mediam omnium esse terram, quæ centri, ut in sphæris, situm et magnitudinem obtinet. Ad hæc reliquas tres quatuorve sphæras circumvolvi; solam immobilem hærere terram. Ac sphæram quidem ignis extrinsecus; interius autem aeris circumagi sumunt Archimedis discipuli. At in medio aquæ terræque globos ideo consistere, quod si quis omnium gravissima corpora, puta plumbum,

Περὶ τῆς συστάσεως τῶν ὅλων.

δ'. Καλῶς ἂν ἔχοι πείθεσθαι τῷ Χρυσίππῳ φήσαντι ἐκ τῶν τεσσάρων στοιχείων τὴν σύστασιν τῶν ὅλων γεγονέναι. Αἴτιον δὲ τῆς μονῆς τούτων τὸ ἰσοβαρές. Δύο γὰρ ὑποκειμένων βαρέων, γῆς καὶ ὕδατος, δύο δὲ κούφων, πυρὸς καὶ ἀέρος, τὴν τούτων σύγκρασιν αἰτίαν εἶναι τῆς τοῦ παντὸς τάξεως· ὥσπερ γὰρ, εἰ ἦν ὁ κόσμος βαρὺς, κάτω ἂν ἐφέρετο· οὕτως, εἰ καὶ κοῦφος, ἄνω. Μένει δὲ τῷ ἴσον ἔχειν τὸ βαρὺ τῷ κούφῳ. Τὸν δὲ αἰθέρα καὶ οὐρανὸν, εἴτε ὁ αὐτὸς, εἴτε διάφορος, ἔξωθεν εἶναι, σφαιρικὸν σχῆμα ἔχοντα. Μετὰ δὲ τοῦτον ἐντὸς αὐτοῦ τὸν ἀέρα εἶναι, καὶ αὐτὸν σφαιρικῶς περικείμενον ἔξωθεν τῇ γῇ· ἐνδοτέρω δὲ αὐτοῦ τρίτην εἶναι σφαῖραν τὴν τοῦ ὕδατος περὶ αὐτὴν τὴν γῆν μεταξὺ τοῦ ἀέρος καὶ τῆς γῆς. Ἐν δὲ τῷ μεσαιτάτῳ τὴν γῆν εἶναι, κέντρου τάξιν καὶ μέγεθος ἐπέχουσαν, ὡς αἱ σφαῖραι. Καὶ τὰς μὲν ἄλλας τρεῖς σφαίρας ἢ τέσσαρας περιδινεῖσθαι· τὴν δὲ τῆς γῆς μόνην ἑστάναι. Ἔξωθεν δὲ τὴν τοῦ πυρὸς σφαῖραν, καὶ ἐνδοτέρω μετὰ ταύτην τὴν τοῦ ἀέρος δεδώκασιν οἱ Ἀρχιμήδειοι περιδινεῖσθαι. Ἐν μέσῳ δ' εἶναι τὴν τοῦ ὕδατος καὶ τὴν τῆς γῆς διὰ τὴν τοιαύτην αἰτίαν. Εἴ τις γάρ, φασὶ, λάβοι τῶν σωμάτων τὰ βαρύτατα, οἷον μόλιβδον, καὶ πάλιν αὖθις

Digitized by Google

τὰ κουφότατα, οἷον φελλὸν, καὶ ἴσα ἀλλήλοις στήσειε, καὶ ἰσόσταθμα πούήσειε, καὶ συνδήσειε· συμβήσεται μηδέτερον ὑπὸ τοῦ ἑτέρου ἕλκεσθαι· οἷον, εἴ τις βάλοι ταῦτα εἰς θάλασσαν, συμβήσεται μήτε κάτω εἰς τὸν βυθὸν καθέλκεσθαι τὸν φελλὸν ὑπὸ τοῦ μολίβδου, μήτε τὸν μόλιβδον ὑπὸ τῶν φελλῶν ἀνέλκεσθαι εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος· ἀλλ' ἐπίσης ὑπ' ἀλλήλων ἀνθελκόμενα μεταξὺ τῆς ἐπιφανείας τοῦ ὕδατος καὶ τοῦ βυθοῦ εἶναι τὸν μόλιβδον καὶ τὸν φελλόν. Τεσσάρων οὖν ὄντων τῶν στοιχείων, συμβέβηκε τὸ πῦρ καὶ τὸν ἀέρα, κουφότατα ὄντα, ἐπὶ τὴν ἄνω φορὰν ἔχειν τὴν ὁρμὴν, καὶ περιδινεῖσθαι. Ὅτι δὲ πῦρ καὶ ἀὴρ κουφότατα καὶ ἀνωφερῆ, δῆλον μὲν καὶ ἐκ τῆς ὄψεως· ἀλλὰ μὴν καὶ ἐκ τῶν παρὰ τοῖς ἰατροῖς σικυῶν, ἐν αἷς ὁρῶμεν ἀπολαμβανόμενον τὸ πῦρ ἅμα τῷ ἀέρι τοῦ κατὰ βάθος αἵματος τὴν ἀναγωγὴν ποιουμένοις [88*]. Ἀλλὰ καὶ ἀπὸ τοῦ ἐν τοῖς λύχνοις πυρὸς, ὅπερ ἄνω φερόμενον τὸ ἐν τῇ κοιλότητι τοῦ λύχνου ἔλαιον ἀνιμᾶται. Ἀλλὰ μὴν καὶ δαλὸν εἴ τις ἐξάψας στρέψειε, κάτω φέρεσθαι τὸ πῦρ οὐκ ἂν δυνηθείη· ἀνωφερῆ γὰρ ἴσχει τὴν ὁρμήν. Πάλιν δὲ εἴ τις ἀσκὸν πλήσειε πνεύματος καὶ ἀποσφίγξει, ῥίψει δὲ εἰς ὕδωρ· οὐδὲν ἧττον ἐπιπολάζει ὁ ἀσκός. Ὅτι δὲ ἡ γῆ καὶ τὸ ὕδωρ βαρέα καὶ κατωφερῆ, οὐ δεῖ λόγου, τῆς πείρας διδασκούσης. Τὴν δὲ τάξιν, ἣν δεδώκαμεν τῷ σφαιρώματι, οἱ Ὀρφικοὶ λέγουσι παραπλησίαν εἶναι τοῖς ᾠοῖς. Ὃν γὰρ ἔχει λόγον τὸ λέπυρον ἐν τῷ ᾠῷ, τοῦτον ἔχειν ἐν τῷ παντὶ τὸν οὐρανόν· καὶ ὡς ἐξήρτηται τοῦ οὐρανοῦ κυκλοτερῶς ὁ αἰθὴρ, οὕτω τοῦ λεπύρου ὁ ὑμήν. Κατὰ δέ τινας, ἐπειδὴ ὁ οὐρανὸς καὶ αἰθὴρ εἷς ἐστι, μετὰ δὲ τοῦτον ὁ ἀὴρ· ἔσται ἐν τοῖς ᾠοῖς ὁ ὑμὴν τοῦ ἀέρος τάξιν ἐπέχων· ἡ δὲ λευκὴ σὰρξ ἡ ἐν τῷ ᾠῷ, εἰ τὴν τοῦ ἀέρος τάξιν ἐπέχει, ἔσται ἡ λέκιθος τοῦ ᾠοῦ τὴν τοῦ ὕδατος τάξιν ἐπέχουσα· τὸ δὲ ἐνδότατον καὶ μεσαίτατον τῆς λεκίθου τὴν τάξιν ἔχον τῆς γῆς. Εἰ δὲ ὑμένα τὸν ἐν τῷ ᾠῷ ἀντὶ τοῦ αἰθέρος λάβωμεν, τὸ τῶν ὀρνίθων γάλα ἀντ' ἀέρος ἔσται, καὶ ἡ ἔξωθεν περιφορὰ τῆς λεκίθου ἀντὶ ὕδατος· τὸ δὲ ἐνδότατον καὶ μεσαίτατον ἀντὶ τῆς γῆς. Καθόλου δὲ ἐὰν πέντε σφαίρας εἴπωμεν κατὰ τὸν Ἀριστοτέλην, τὸ ἐνδότατον τῆς λεκίθου ἀντὶ τῆς γῆς παραληφθήσεται· ἐὰν δὲ τέσσαρας κατὰ τοὺς ἄλλους, ὅλη ἡ λέκιθος ἀντὶ τῆς γῆς ἔσται, οὐ κατὰ τὸ μέγεθος, ἀλλὰ κατὰ τὴν τάξιν.

Ὅτι δὲ καὶ ἕστηκεν ἡ γῆ, παραδείγματι χρῶνται τούτῳ. Εἴ τις, φασὶν, εἰς φύσκαν κέγχρον βάλοι, ἢ κόκκον φακοῦ, καὶ φυσήσειε, καὶ ἐμπλήσειεν αὐτὴν ἀέρος· συμβήσεται μετεωρισθέντα τὸν κόκκον ἐν μέσῳ τῆς κύστεως στῆναι. Καὶ τὴν γῆν δὲ πανταχόθεν ὑπὸ τοῦ ἀέρος ὠθουμένην, ἰσορρόπως ἐν τῷ μέσῳ εἶναι καὶ ἑστάναι. Ἢ πάλιν ὥσπερ εἴ τις λαβὼν σῶμα δήσειε πανταχόθεν σχοινίοις, καὶ δοίη τισὶν ἰσορρόπως ἕλκειν ἐπ' ἀκριβείας· συμβήσεται γὰρ πανταχόθεν ἐπίσης περιελκόμενον στῆναι καὶ ἀτρεμῆσαι. Ξενοφάνης δὲ οὐκ οἴεται μετέωρον εἶναι τὴν γῆν, ἀλλὰ κάτω εἰς ἄπειρον καθήκειν· φησὶ γάρ·

A nec non alia levissima, velut suber, ad pondus æquale capiat, et invicem alliget; illud accidet, neutrum ut ab altero trahi possit: ut si quis in mare ista projiciat, neque suber in profundum deprimatur a plumbo, neque plumbum ad summam aquam a subere possit attolli: sed ex æquo utrinque tracta suber et plumbum summam inter aquam fundumque suspensa teneantur. Quamobrem cum sint elementa quatuor, accidit ut ignis et aer, quæ sunt levissima, sursum suapte sponte naturæque impetu ferantur, et in orbem agitentur. Nam quod ignis et aer levissima corpora sint, et sursum tendentia, cum oculorum sensu discernimus, tum medicorum cucurbitæ demonstrant; quibus inclusa videmus ambo ex 76 alto sanguinem extrahere. B Idem et lucernarum ignis ostendit. Qui sursum enitens oleum ad se trahit, quod lucernæ alveolo continetur. Quin etiam torrem accensum si quis invertat, nunquam deorsum omnino tendet ignis: quippe quem in altum nativa quædam vis impellit. Rursus si quis vento distentum utrem et obligatum in aquam projiciat, nihilominus innatabit. Quod autem terra et aqua gravia sint, ac deorsum ferantur, ratione nulla probari necesse est, cum id satis experientia testetur. Cæterum ordo ille, quem in mundi sphæra constituimus, ovorum similis est, ut Orphei sectatores docent. Quam enim rationem habet in ovo putamen, eamdem in toto universo cœlum obtinet; atque ut in orbem e cœlo suspensus est æther, sic e putamine pellicula. Vel, quod C aliis placet, quoniam æther idem est ac cœlum; a quo proximus est aer, erit in ovo membrana instar aeris: caro autem albida, quæ in eodem est, si quidem aeri respondet, aquæ locum vitellus habere potest; tum quod interius est in medio vitello, terram exprimet. Sin est ut membranam ovi ad æthera transferre malimus, pro aere gallinarum lac habebimus; et vitelli extremus ambitus aquam exhibebit. Quod interius est, et in medio, terræ instar erit. Ad summam, si cum Aristotele quinque sphæras esse dixerimus, quod intimum est in vitello, terræ loco sumetur. Sin quatuor putemus esse, quod alii censent; pro terra vitellum integrum, non magnitudinis, sed situs ratione capiemus. D

Jam quod immobilis terra consistat, hoc exemplo colligunt. Etenim si quis, aiunt, in folliculum milii, seu lenticulæ granum injiciat, et inflando deinceps aere compleat, elatum in sublime granum in vesicæ medio manebit. Ad eumdem modum terra undecunque ab aere pulsa, et in medio librata suspenditur. Aut quemadmodum si quis corpus aliquod undique funibus alligatum æqualiter ab omni parte jubeat attrahi, cum undique paribus momentis impellatur, stabit et quiescet. At Xenophanes negat in vacuo suspensam teneri terram; sed in immensum infra pertinere; sic enim cecinit:

[88*] *f.* ποιούμενα.

Digitized by Google

Terræ quidem hic terminus supra ante pedes cernitur, Et fluit oberrans : infimum autem immensum pertingit.

Γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται, Καὶ ῥεῖ προσπλάζον· τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται.

Aristophanes autem in *Nubibus* suspensam illam agit his verbis :

Ἀριστοφάνης δ' ἐν Νεφέλαις μετέωρον αὐτὴν εἶπε· λέγει γάρ·

O domine rex, immense aer, qui obtines terram suspensam :

Ὦ δέσποτ' ἄναξ ἀμέτρητ' Ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον·

sed stantem nihilominus et immotam. Hinc Aratus,

ἑστῶσαν μέντοι καὶ ἀκίνητον. Ὅθεν καὶ Ἄρατός φησιν·

. . . habet, inquit, *libratam undique*
In medio terram,

... ἔχει δ' ἀτάλαντον ἀπάντη
Μεσσηγὺς γαῖαν·

quæ neutram vergat in partem. Verum Empedocles certa elementis loca non attribuit; sed illa cedere invicem asserit; adeo ut tam sublimis terra, quam depressum cœlum rapiatur.

μηδαμοῦ ταλαντευομένην. Ὁ δὲ Ἐμπεδοκλῆς οὐ δίδωσι τοῖς στοιχείοις ὡρισμένους τόπους, ἀλλ' ἀντιπαραχωρεῖν ἀλλήλοις φησίν· ὥστε καὶ τὴν γῆν μετέωρον φέρεσθαι, καὶ τὸ πῦρ ταπεινότερον.

Quæ sit natura cœli.

Τίς οὐσία οὐρανοῦ.

5. Cœlum alii igneum et solidum esse dicunt : intra quod proxima sit ignis sphæra, lampadi similis : nisi quod in lampade sursum tendit ignis : æther vero deorsum. Tum divinum quiddam purum et illibatum est æther; ignis vero corrumpi potest. Empedocles crystalli simile facit, velut ex glacie compactum. Anaximander volucre ignis particeps. Aristoteles corpus ex frigido constans et calido. Nec dubitant quin sit animal cœlum. Quippe cum et per sese moveatur, et eodem modo semper in orbem cieatur, atque ab iisdem punctis ad eadem vicissitudine perpetua revocetur; hoc ipsum mente præditi esse confirmat Plato. Quin etiam solis cursum ac lunæ circuitus intuemur, et errantium cæterorum circumvolutiones et progressus. Est autem animantis hoc proprium, a seipso moveri. Nam et in terra, et in aere, et in aqua degunt animalia. Unde consentaneum est etiam cœlo atque æthere contineri. Ac nescio an non Homerus ipse de illo, sic tanquam animante ista dixerit :

ε'. Τὸν δὲ οὐρανὸν οἱ μὲν πυρώδη εἶναι καὶ στερέμνιον· ἐντὸς δὲ αὐτοῦ τοῦ αἰθέρος τὴν σφαῖραν ἐχομένην ὥσπερ δαλόν· διαφέρειν δὲ ταύτην, ᾗ ὁ μὲν δαλὸς ἀνωφερὲς ἔχει τὸ πῦρ, ὁ δὲ αἰθὴρ κατωφερές· καὶ τῷ τὸ μὲν θεῖον εἶναι, καὶ καθαρὸν καὶ ἀμετάληπτον τὸ τοῦ αἰθέρος, τὸ δὲ φθαρτόν. Ἐμπεδοκλῆς δὲ κρυσταλλώδη τοῦτον εἶναί φησιν, ἐκ τοῦ παγετώδους συλλεγέντα· Ἀναξίμανδρος δὲ πτηνὸν πυρὸς μετέχοντα· Ἀριστοτέλης δὲ σῶμα ἐκ ψυχροῦ καὶ θερμοῦ. Ζῷον δέ φασιν εἶναι τὸν κόσμον· τῷ γὰρ αὐτοκίνητον εἶναι αὐτὸν, καὶ κατὰ τὰ αὐτὰ τὴν περιφορὰν ἀεὶ ποιεῖσθαι, καὶ ἀπὸ τῶν αὐτῶν σημείων ἐπὶ τὰ αὐτὰ περιδινεῖσθαι, νοῦν ἔχοντός ἐστι, φησὶν ὁ Πλάτων. Ἀλλὰ καὶ ὡς ζῷων ζωογονεῖ· τοὺς δὲ ἀστέρας γεννήματα αὐτοῦ εἶναί φαμεν. Καὶ ἡλίου δὲ δρόμον ὁρῶμεν, καὶ σελήνης περιφοράς, καὶ τῶν ἄλλων πλανήτων περιόδους καὶ κινήσεις. Ἴδιον δὲ ζώου τὸ ὑφ' αὐτοῦ κινεῖσθαι. Καὶ γὰρ ἐν γῇ καὶ ἀέρι, καὶ ὕδατι ζῶά ἐστι. Διὸ ἀκόλουθον καὶ ἐν οὐρανῷ, καὶ αἰθέρι εἶναι. Μήποτε μέντοι καὶ Ὅμηρος ὡς πρὸς ζῷόν φησιν·

Et sol, qui in omnia prospicit, et audit omnia.

Ἥλιός θ', ὃς πάντ' ἐφορᾷ, καὶ πάντ' ἐπακούει.

Musici porro harmonicam cœli esse circuitionem asserunt.

Οἱ δὲ μουσικοὶ ἁρμονικὴν τοῦ οὐρανοῦ αὐτοῦ τὴν περιφορὰν λέγουσιν εἶναι.

Cæterum alii ipsum ex seipse quidam existimant, alii exhalatione **77** pasci, quæ circa ipsum est, nonnulli aquæ sphæram pabuli esse loco sentiunt. Aristoteles alimento negat opus habere; nam quod eo indiget, corruptibile est : cœlum autem sempiternum ab eodem ponitur. Verum Plato mundum intelligibilem æternum et incorruptum esse statuit, sensibilem vero posse corrumpi, quoniam si sensibilis est, factus sit oportet corruptionisque capax. Præterea scribit in *Politico*, seu fabulose, seu revera, duplici motu illum esse præditum; quorum alter natura illi sua, alter a Deo impressus accidit. Ac cum movetur a Deo, ordinate cietur, inquit, et constanter; cum a seipso vero, contrario motu rapitur et corrumpitur, donec rursus accedat Deus, et aurigæ instar moderans pristinum in curriculum restituat ac revolvat. Κόσμος idem ob dispositionem omnium in eo rerum dicitur.

Τροφῇ δὲ χρῆται, ὡς μέν τινες, παρ' ἑαυτοῦ· ἄλλοι δὲ ἀναθυμιάσει τῇ περὶ αὐτόν· τινὲς δὲ τῇ τοῦ ὕδατος σφαίρᾳ. Ἀριστοτέλης δὲ μὴ δεῖσθαι τροφῆς αὐτὸν λέγει· τὸ γὰρ δεόμενον φθαρτόν· ὁ δὲ ἀΐδιός ἐστι κατ' αὐτόν. Ὁ δὲ Πλάτων τὸν μὲν νοητὸν κόσμον ἀΐδιον καὶ ἄφθαρτον λέγει, τὸν δὲ αἰσθητὸν φθαρτόν. Εἰ γὰρ αἰσθητός ἐστι, καὶ γενητὸς δηλονότι καὶ φθαρτός. Ἔτι, φησὶ[86] τῷ *Πολιτικῷ*, εἴτε μυθικῶς εἴτε φυσικῶς, κίνησιν ἔχειν διττήν· τὴν μὲν ὑφ' ἑαυτοῦ, τὴν δὲ ὑπὸ τοῦ Θεοῦ. Καὶ ὅτε μὲν ὑπὸ τοῦ Θεοῦ κινεῖται, εὐτακτεῖ, καὶ κατὰ τὰ αὐτὰ φέρεται· ὅτε δὲ ὑφ' ἑαυτοῦ, τὴν ἐναντίαν φορὰν κινεῖται, καὶ διαφθείρεται, ἔστ' ἂν ἐπιστῇ πάλιν ὁ Θεὸς, καὶ ἡνιοχήσας ἀποκαταστήσῃ εἰς τὴν ἀρχαίαν κίνησιν, ἀνακύκλησιν ποιησάμενος. Ὠνόμασται δὲ κόσμος παρὰ τὴν τῶν συμπάντων διακόσμησιν.

[86] *f. add.* ἐν.

Digitized by Google

Διόδωρος δὲ ἑξαχῶς τὸν κόσμον φησὶ νοεῖσθαι, ἐφ' A ἑκάστου ἔννοιαν διδοὺς οὕτως. Κόσμος ἐστὶ σύστημα ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν μεταξὺ φύσεων. Πάλιν, κόσμος ἐστὶν οἰκητήριον θεῶν. Νῦν οὖν τὸ πλήρωμα λέγει ἐκτὸς τῶν ἐν αὐτῷ. Τρίτον, ὁ κόσμος ἐστὶ σύστημα ἐκ θεῶν καὶ ἀνθρώπων..... τοῦτο μόνον τῷ βίῳ· ὡς εἴ τις λέγει· Πόλις ἐστὶν ἐξ ἀρχόντων καὶ ἀρχομένων. Τέταρτον κόσμος ἐστὶν αἰθήρ· οὗτος δὲ πῦρ εἰλικρινὲς ὢν κατώτερός [87] ἐστι τοῦ φυσικοῦ κόσμου. Πέμπτον, κόσμος ἐστὶν ἡ τῶν ἀπλανῶν σφαῖρα. Τούτου καὶ Πλάτων ἐν *Τιμαίῳ* μέμνηται. Ἕκτον, κόσμος ἐστὶν ὁ διακοσμήσας τὰ πάντα. Ἔοικε δὲ νῦν ἡ Πρόνοια λέγεσθαι. Τὸ δὲ πᾶν κόσμον Πυθαγόρας ἐκάλεσεν ἐκ τῆς διακοσμήσεως· οὐδεὶς δὲ πρὸ αὐτοῦ. Τὸ δὲ πᾶν τοῦ ὅλου παρὰ τοῖς Στωϊκοῖς διαφέρει. Ὅλον μὲν γὰρ λέγουσι τὸν κόσμον, πᾶν B δὲ μετὰ τοῦ κενοῦ. Τηρητέον [88], ὅτι οὐδαμοῦ δι' ὅλου κόσμος οὕτως ὠνόμασται. Οὐρανὸς δὲ ἠτυμολόγηται, ἤτοι ἐπεὶ ὅρος παλαιός ἐστιν· ἢ ἐπεὶ σφαιροειδὴς ὤν, ἐνδοθεν αὐτοῦ ἡμᾶς ἀρεῖ, ὅ ἐστι φυλάσσει· ἢ ἐπεὶ ἀνώτατός ἐστι. Τὸ δὲ ὄρου τὸ ἄνω δηλοῦν Φρυγῶν ἦθος, ὡς Νεοπτόλεμος ἐν ταῖς *Φρυγίαις φωναῖς*· ἢ ἀπὸ τοῦ ὁρᾶσθαι· ἢ ἀπὸ τοῦ ὁρούειν· κινεῖται γάρ· ἢ ἀπὸ τοῦ οὖρος εἶναι, καὶ ἔσχατος ὅρος. Λέγεται δὲ πολλαχῶς οὐρανὸς ἡ τῶν ἀπλανῶν σφαῖρα. Ζήνων γοῦν ὁ Κυτιεὺς οὕτως αὐτὸν ὡρίσατο· οὐρανός ἐστιν αἰθέρος τὸ ἔσχατον, ἐξ οὗ, καὶ ἐν ᾧ ἐστι πάντα ἐμφανῶς· περιέχει γὰρ πάντα πλὴν αὐτοῦ. Οὐδὲν γὰρ ἑαυτὸ περιέχει· ἀλλ' ἑτέρου ἐστὶ περιεκτικόν. Τοῦ δὲ οὕτως ὡρισμένου οὐρανοῦ μέμνηται καὶ Πλά- C των, καὶ Ἀριστοτέλης ἐν δευτέρῳ *Περὶ οὐρανοῦ*. Λέγεται δὲ οὐρανὸς καὶ ἡ ἑκάστου τῶν πλανήτων σφαῖρα· καθ' ὃν λόγον ἐν οὐρανῷ φαμεν εἶναι. Καὶ ἔτι οὐρανὸς πᾶς ὁ μετὰ τὸν ἀέρα τόπος, ὃς εἰλικρινής ἐστιν αἰθήρ. Καὶ ἔτι οὐρανός, ἐστι πᾶν τὸ ὑπεράνω βλεπόμενον τῇ ὄψει, καθὸ ὁρατόν ἐστι, καὶ ὅπως ἂν ἕκαστος ὀξύτητος ἔχοι βλέπειν. Καὶ ἔτι οὐρανὸς λέγεται ὁ κόσμος, οὗ καὶ Πλάτων μέμνηται ἐπὶ τοῦ ἡλίου, « Ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεύς, » εἰπών. Ἐπίκουρος δὲ πολλοὺς κόσμους ὑποτίθεται, καὶ ὁ διδάσκαλος αὐτοῦ Μητρόδωρος.

Diodorus sex modis intelligi posse mundum asserit, et unicuique suum sensum sic attribuit. Mundus est collectum quiddam e cœlo atque terra et naturis utroque comprehensis. Rursus, mundus est deorum domicilium. Ubi supplementum illius affert extra id quod in illo continetur. Tertio, mundus est systema deorum et hominum.... velut si quis dicat : Civitas ex magistratibus et civibus componitur. Quarto, mundus est æther; hic vero cum sit purus; ac sincerus ignis, naturali mundo inferior est. Quinto, mundus est fixarum sphæra. Hujus descriptionis meminit in *Timæo* Plato. Sexto, mundus est qui ordinavit omnia. Quibus verbis indicari Providentia videtur. Pythagoras κόσμον appellavit universum, propter dispositum : quod nemo B ante ipsum dixerat. Differt autem secundum Stoicos universum a toto. Nam totum vocant illi mundum, universum vero cum vacuo... quod nunquam sic mundus appellatus est. Jam οὐρανὸς ab eo dicitur, quod sit velut ὅρος, id est terminus antiquus ; vel quia, cum sit sphæricus, intra se nos ἀρεῖ, hoc est custodit, sive quia ἀνώτατος, id est supremus est. Nam ὄρου apud Phrygas esse ἄνω, *supra*, docet Neoptolemus in *Phrygum vocabulis*. Potest et ab ὁρᾶσθαι, quod est videri, vel ab ὁρούειν deduci, quoniam cietur. Vel quia οὖρος est, extremusque terminus. Sæpe item pro fixarum sphæra usurpari solet. Sane Zeno Cytiensis sic illum descripsit : Cœlum est ætheris extremum, ex quo et in quo sunt C omnia manifeste : quippe omnia præter se complectitur. Nam nihil seipsum continet : sed alterum ambit. Cœli hoc modo descripti meminerunt Plato, et Aristoteles libro secundo *De cœlo*. Quin et planetarum sphæræ singulæ cœli appellatione censentur : ut cum eos in cœlo esse dicimus. Item cœlum id omne spatium vocatur, quod supra aerem est ; qui est limpidissimus æther. Item cœlum vocatur quidquid sursum cernitur, quatenus aspectabile est, et ut quisque acri est oculorum aciæ præditus ad videndum. Ad hæc cœlum mundus dicitur, quod usurpat in sole Plato sic scribens : « Magnus igitur in cœlo ille Jupiter. » Epicurus cum præceptore suo Metrodoro plures esse mundos arbitratus est.

Περὶ σχήματος κόσμου.

ς'. Σχῆμα δὲ κόσμου οἱ μὲν κωνοειδὲς εἶπον, οἱ δὲ σφαιροειδές, οἱ δὲ ᾠοειδές· ἧς δόξης ἔχονται οἱ τὰ Ὀρφικὰ μυστήρια τελοῦντες. Σαφηνείας δὲ ἕνεκα πιθανῆς παρελήφθη τοῦ ᾠοῦ ἡ εἰκών. Ἄμεινον δὲ σφαῖρας ἐκδέχεσθαι σχῆμα ἔχειν τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, κατὰ τὸν Ἐμπεδοκλέα, ὃς ἔφη οὕτως·

Σφαῖρος, κυκλοτερὴς, μοῦνη περιηγέϊ χαίρων.

Δῆλον δὲ καὶ ἐκ τοῦ εἶναι ἐξ ζώδια ὑπὸ γῆν, ἓξ δὲ ὑπὲρ γῆν. Ἐπ' οὐδενὸς δὲ ἄλλου σχήματος ἡ τοιαύτη εὐταξία καὶ περιφορὰ γίνεται ἢ ἐπὶ τοῦ σφαιρικοῦ. Τὸ δὲ σφαιροειδὲς σχῆμα διδόασι τῷ κόσμῳ. Σφαῖρα

De figura mundi.

D 6. Mundi figuram alii conicam ; alii sphæricæ similem ; ovalem alii esse sentiunt : quod postremum tuentur ii, qui Orphicis sacris initiant. Ac videtur ovi ista similitudo facilitatis causa et perspicuitatis assumpta. Præstat tamen sphæricam figuram accommodare cœlo et iis quæ in eo sunt, ut Empedocles putavit his verbis :

Sphærus rotundus, sola circulari gaudens.

Quod ex eo liquet, quoniam sex supra terram signa, totidem infra perpetua sunt. Cujusmodi nulli alteri, quam sphæricæ figuræ, dispositio ac circuitio congruit. Porro sphæræ similem mundo speciem as-

[87] *Imo* ἀνώτερος. [88] Deest δέ.

Digitized by Google

signant. Sphæra quippe cœlum est : sphæræ similis terra. Est autem utriusque discrimen. Nam sphæricæ similis figura partes quasdam eminentes habet, alias concavas; sphæra undequaque est æquabilis, et sunt ab ejus centro ad extremum ambitum ductæ æquales inter se lineæ. Cœlum est itaque sphæra, unde et in orbem movetur ; quem circum sol circuitum facit :

Sol pernicibus equis versans flammam.

Etenim ab Oceano surgentem illum prospicimus:

Sol autem exsiliit relinquens præclarum lacum ;

78 ac rursus in Oceanum cadentem:

Incidit autem in Oceanum splendida lux solis.

Quod non fieret, nisi in orbem cieretur. Pythagorici tamen, qui ex numeris ac figuris constare censent omnia, terræ cubicam figuram tribuunt, igni pyramidis similem , aeri octaedrum, aquæ icosaedrum, toti universitati dodecaedrum.

De circumvolutione.

7. Stoicis placet e terra primum extimam fieri circumvolutionem. Cum enim centrum illa sit, velut a centro circulus; sic a terra fit, ut consentaneum est, ille ambitus exterior. Alii sursum natura sua fieri ignem asserunt, et in circulum esse volubilem, indeque totius universi circuitionem exsistere.

An sit aliquid extra mundum.

8. Nonnulli extra mundum esse aliquid putant, ut Epicurus; qui in infinito vacuo infinitos mundos collocat. Stoici, qui certis intervallis temporum deflagrationem mundi evenire sentiunt, vacuum quoddam spatium constituunt, non tamen infinitum; sed tantum, ut dissolutum hoc universum capere possit. Sed qui nihil extra mundum esse volunt, ita ratiocinantur : Cum cœlum moveatur in circulum, si quid extra illud vacui est, sphæra ipsa declinationes quasdam faciet, in hanc vel illam sublapsa partem; hoc vero nequaquam accidit. Vacuum ergo nullum est. Nam eodem modo et ab iisdem partibus ortus et occasus fieri cernimus.

An stet mundus.

9. Stoicorum decretum illud est, manere mundum : quod ex eo probant : Etenim si mundus in immenso illo vacuo consistens deorsum tenderet, terram imbres attingere minime possent : atqui eam attingunt. Non igitur movetur, sed hæret immobilis mundus. Ad hæc ventorum alii de terra in aerem assurgunt : alii in terram descendunt : quod si non.... Non ergo mundus movetur. Aiunt autem in infinito vacuo manere mundum propter motum illum ad centrum. Siquidem partes illius omnes ad centrum vergunt : quæ sunt terra, aqua, aer, ignis. Quæ omnes ad centrum propensæ sunt. Ob id nusquam mundus inclinat. At Epicurei immobilem esse mundum idcirco putant, quod ab aere, qui in inter-

μὲν γὰρ ὁ οὐρανός· σφαιροειδὴς δὲ ἡ γῆ. Διαφέρει δὲ ἑκατέρα· ἡ [89] τὸ μὲν σφαιροειδὲς σχῆμα καὶ ἐξοχὰς ἔχει καὶ κοιλότητας, τὸ δὲ τῆς σφαίρας πανταχόθεν ἴσον, καὶ ἀπὸ τοῦ μέσου κέντρου ἐκβαλλομένας εὐθείας εἰς τὴν ἐπιφάνειαν ἴσας ἔχον. Ἔστιν οὖν ὁ οὐρανὸς σφαῖρα· ὅθεν καὶ τὴν κύκλῳ φορὰν ποιεῖται· περὶ ὃν καὶ ἥλιος τὴν περιφορὰν ποιεῖται·

Ἥλιε θοαῖς ἵπποισιν εἰλίσσων φλόγα.

Καὶ γὰρ ἐξ Ὠκεανοῦ ἀνατέλλοντα αὐτὸν ὁρῶμεν·

Ἥλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην [90].

καὶ πάλιν ἐς Ὠκεανὸν καταδυόμενον·

Ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο.

Οὐκ ἂν δὲ τοῦτο ἐγίνετο, εἰ μὴ τὴν κύκλῳ περιφορὰν ἐποιεῖτο. Οἱ δὲ Πυθαγόρειοι, ἐπεὶ πάντα ἐξ ἀριθμῶν καὶ γραμμῶν συνεστάναι θέλουσι, τὴν μὲν γῆν φασιν ἔχειν σχῆμα κυβικόν, τὸ δὲ πῦρ πυραμοειδές, τὸν δ' ἀέρα ὀκτάεδρον, τὸ δὲ ὕδωρ εἰκοσάεδρον, τὴν δὲ τῶν ὅλων σύστασιν δωδεκάεδρον.

Περὶ περιφορᾶς.

ζ'. Οἱ Στωϊκοὶ φασιν ἐκ τῆς γῆς τὴν ἔξωθεν γίνεσθαι πρῶτον περιφοράν. Ἐπεὶ γὰρ ἡ γῆ κέντρου τάξιν ἐπέχει, ὥσπερ ἀπὸ κέντρου κύκλος γίνεται· οὕτω καὶ ἀπὸ τῆς γῆς εἰκὸς ἔξω περιφέρειαν γεγονέναι. Οἱ δέ φασι τὸ πῦρ [91] ἀνωφερὲς εἶναι· καὶ τὴν κύκλῳ φορὰν εἰωθὸς ποιεῖσθαι, τὴν σύστασιν τῆς τῶν ὅλων περιφορᾶς ποιεῖται.

Εἰ ἔστι τι ἐκτός.

η'. Οἱ μὲν εἶναί τι ἐκτὸς φασιν, ὥσπερ καὶ Ἐπίκουρος· ὃς καὶ ἀπείρους κόσμους ὑπονοεῖται ἐν ἀπείρῳ τῷ κενῷ· οἱ δὲ Στωϊκοί, ἐκπύρωσιν λέγοντες κόσμου κατά τινας ὡρισμένους χρόνους εἶναι, κενὸν μέν, οὐ μὴν ἄπειρόν φασιν· ἀλλὰ τοσοῦτον ὅσον χωρῆσαι λυθὲν τὸ πᾶν. Οἱ δὲ μηδὲν εἶναι λέγοντες χρῶνται λόγῳ τοιούτῳ· Τοῦ οὐρανοῦ σφαιρικῶς κινουμένου, εἰ ἔστι τι ἐκτὸς κενὸν, συμβήσεται τὴν σφαῖραν παρεγκλίσεις τινὰς ὑπομένειν, ἐξαλισθαινούσαν τῇδε κἀκείσε· τοῦτο δὲ οὐ γίνεται· οὐκ ἄρα ἔστι κενόν. Ἀεὶ γὰρ κατ' αὐτὰ καὶ ἀπὸ τῶν αὐτῶν ὁρῶμεν τὰς ἀνατολὰς καὶ τὰς δύσεις.

Εἰ ἕστηκεν ὁ κόσμος.

θ'. Δόγμα ἐστὶ τῶν Στωϊκῶν καὶ μαθηματικῶν, μένειν τὸν κόσμον. Τὸ μέντοι δόγμα διὰ τοιούτων κατασκευάζεται· Εἰ ὁ κόσμος κενῷ ἐν ἀπείρῳ ὑπάρχων κάτω ἐφέρετο, οὐκ ἂν ὄμβροι κατελάμβανον τὴν γῆν· καταλαμβάνουσι δέ· οὐκ ἄρα φέρεται ὁ κόσμος, ἀλλὰ ἕστηκε. Καὶ πάλιν οἱ ἄνεμοι ἄλλοι μὲν ἀπὸ τῆς γῆς εἰς ἀέρα, ἄλλοι δὲ ἐπὶ τὰ κάτω εἰσὶ καταβαλλόμενοι. Εἰ δὲ οὔ, οὐκ ἄρα φέρεται ὁ κόσμος. Φασὶ δὲ μένειν τὸν κόσμον ἐν ἀπείρῳ κενῷ διὰ τὴν ἐπὶ τὸ μέσον φοράν· ἐπεὶ πάντα αὐτοῦ τὰ μέρη ἐπὶ τὸ μέσον νένευκε. Μέρη δέ ἐστιν αὐτοῦ γῆ, ὕδωρ, ἀήρ, πῦρ· ἃ πάντα νεύει ἐπὶ τὸ μέσον. Διὰ τοῦτο οὖν οὐδαμοῦ ῥέπει ὁ κόσμος. Οἱ δὲ Ἐπικούρειοι φασι μένειν τὸν κόσμον ἀνακοπτόμενον ὑπὸ τοῦ ἀέρος, τοῦ ἐν τοῖς με-

[89] *f.* ἢ. [90] *Odys.* Γ. [91] *f.* διὰ τό.

Digitized by Google

ταχοσμίοις. Μετακόσμια δέ ἐστι τὰ μεταξὺ τῶν κόσμων διαστήματα.

Περὶ ἀστέρος.

ι'. Ἀστήρ ἐστι κατὰ Διόδωρον σῶμα θεῖον οὐράνιον, τῆς αὐτῆς μετειληφὼς οὐσίας τῷ ἐν ᾧ ἐστι τόπῳ, σῶμα λαμπρὸν, καὶ οὐδέποτε στάσιν ἔχον, ἀλλ' ἀεὶ φερόμενον κυκλικῶς. Ὡσαύτως δὲ ὡρίσατο καὶ Ποσειδώνιος πρὸ αὐτοῦ ὁ Στωϊκός. Τὸ δὲ « οὐδέποτε στάσιν ἔχον » ἐπὶ μὲν τῶν πλανήτων οὕτως εἰρῆσθαι δοκεῖ· πλὴν κἀπὶ τῶν ἀπλανῶν δὲ πρὸς τοὺς ὡς ἔτυχεν αἰτιωμένους οὐ κακῶς ἔχειν τῆς αὐτῆς ἐννοίας ἔχεται. Οὐδέποτε γὰρ στάσιν ἔχουσι, τῷ ὑπὸ τοῦ κόσμου περιάγεσθαι, κἂν ἐπ' αὐτὸν [11] μένωσι. Τῶν γὰρ ἀστέρων οἱ μὲν ἐμπεπηγότες τῷ οὐρανῷ ἀπλανεῖς λέγονται, οἱ δὲ τὴν ἐναντίαν φερόμενοι πλάνητες. Αὐτοὶ δὲ ἑπτά ὄντες, κατωτέρω τοῦ οὐρανοῦ καὶ τοῦ αἰθέρος περιδινούμενοι τὸν ἐναντίον τῇ τοῦ κόσμου στροφῇ δρόμον τρέχουσιν· ὥσπερ εἰ, νεὼς εἰς βορέαν ἄνεμον φερομένης, ἐπιβάτης εἰς νότον παρ' αὐτῇ τῇ νηῒ τρέχει. Εἰσὶ δὲ αὐτῶν αἱ κινήσεις δίτταλ, ἥ τε κοσμικὴ καὶ ἡ ἰδία. Διὸ καὶ πρὸς σύγκρισιν τῶν ἀπλανῶν οὕτω πλάνητες ἐκλήθησαν· ἤτοι ἀπὸ τοῦ πλανᾶν ἡμῶν τὰς ὄψεις· καὶ γὰρ πλάγιοι φέρονται, καὶ ἀναποδίζουσιν ἐνίοτε· ἔσθ' ὅτε δὲ καὶ προσωτέρω χωροῦσιν· ἢ ἀπὸ τοῦ αὐτοὺς πλανᾶσθαι, καὶ μὴ τὴν αὐτὴν πορείαν ποιεῖσθαι τοῖς ἀπλανέσιν. Ὅθεν καὶ Ἄρατος τὴν πορείαν, δι' ἧς φέρεται ὁ ἥλιος, πλάνην εἶπεν αὐτοῦ καὶ ἄλησιν.

Κατὰ μὲν βορέω καὶ ἀλήσιος ἠελίοιο.

Οἱ δὲ Πυθαγόρειοι οὐ μόνον τοὺς πλάνητας ἀστέρας βούλονται ἰδίαν κίνησιν ἔχειν, ἀλλὰ καὶ τοὺς ἀπλανεῖς· οὕτω μέντοι κινεῖσθαι, καὶ περὶ τὸν ἴδιον κυκλεῖσθαι κύκλον· ὥσπερ τοῦ παντὸς μὴ μεταβαίνοντος ἑτέρωθι, ἀλλὰ περὶ τὸν αὐτὸν τόπον εἱλουμένου.

Τίς οὐσία ἀστέρων.

ια'. Θαλῆς μὲν δὴ γηΐνην ἔμπυρον εἶπε τὴν τῶν ἀστέρων οὐσίαν· Ἐμπεδοκλῆς δὲ πυρίνους αὐτοὺς εἶπε. Τινὲς δὲ γεώδεις εἰπεῖν αὐτοὺς ἐτόλμησαν· ὧν ἐστι καὶ Ἀναξαγόρας. Μετὰ γὰρ τὴν πρώτην, φησὶ, διάκρισιν τῶν στοιχείων τὸ πῦρ χωριζόμενον ἐπὶ τὴν ἰδίαν φύσιν ἀνασπᾶσαι, καὶ διάπυρα ποιῆσαι καὶ τῆς γῆς μόριά τινα. Ὅθεν καὶ τὸν ἥλιον ἔλεγεν εἶναι μύδρον, ὡς ἐξῆς ἐροῦμεν. Ἕτεροι δὲ κίσσηριν πλαγίαν οὖσαν, ὑπὸ τῆς θερμότητος τοῦ αἰθέρος ἀναπτομένην· καὶ ὑπὸ τῶν τρυμαλιῶν τοὺς ἀστέρας φαίνειν. Πλάτων δὲ ἐκ τῶν τεσσάρων στοιχείων, πλείστου δὲ πυρός. Ξενοφάνης δὲ λέγει τοὺς ἀστέρας ἐκ νεφῶν συνεστάναι ἐμπύρων, καὶ σβέννυσθαι, καὶ ἀνάπτεσθαι ὡσανεὶ ἄνθρακας. Καὶ ὅτε μὲν ἅπτονται, φαντασίαν ἡμᾶς ἔχειν ἀνατολῆς· ὅτε δὲ σβέννυνται, δύσεως. Οἱ Στωϊκοὶ δὲ ἐκ πυρὸς λέγουσιν αὐτούς· πυρὸς δὲ τοῦ θείου, καὶ ἀϊδίου, καὶ οὐ παραπλησίου τῷ παρ' ἡμῖν· τοῦτο γὰρ φθαρτικὸν, καὶ οὐ παμφαές.

[11] *P*, ἐπ' αὐτοῦ.

A mundiis est, inhibeatur. Intermundia vocant spatia inter mundos interjecta.

De stella.

10. Diodorus stellam definit corpus divinum, cœleste, ejusdemque cum eo, in quo est loco, naturæ particeps, splendidum corpus, neque consistens unquam, sed in orbem se perpetuo versans. Sic etiam Posidonius Stoicus ante Diodorum definiit. Quod autem in definitione positum est, « neque consistens unquam, » videtur ad solos errantes referri. Verum de fixis quoque stellis eodem sensu debet accipi, contra quam illi fortasse judicant, qui dictum illud temere reprehendunt. Siquidem inerrantes stellæ nunquam omnino quiescunt; cum assidua mundi agitatione rapiantur, etsi in eo permaneant. Etenim stellarum aliæ in cœlo defixæ inerrantes vocantur, aliæ e contrario moventes se planetæ nominantur. Hi sunt numero septem, qui infra cœlum, atque æthera circumacti contrarium mundi circumvolutioni iter insistunt: quemadmodum si navi ad aquilonem citata, vector austrum versus in eadem sese moveat. Habent autem planetæ motus duplices, mundanum et proprium. Ideo cum fixis comparatæ stellæ istæ planetæ, hoc est errantes appellatæ sunt; vel quod errorem oculis nostris objiciunt. Nam et obliquæ feruntur, et retro aguntur interdum. Alias progrediuntur ulterius. Vel ab eo quod errent ipsæ, nec eumdem cum fixis cursum teneant. Hinc Aratus iter solis, per quod meat, errorem et vagationem nominat:

Per boream et solis evagationem.

At Pythagorei non solum planetis motum proprium ascribunt, sed etiam inerrantibus. Quas ita cieri volunt, et circum orbem suum agitari, ut ne **79** alio mundus recedat, sed circum idem spatium assidue moveatur.

Quæ sit natura stellarum.

11. Thaletis opinio est naturam stellarum esse terrestrem et igneam; Empedocles easdem igneas esse dicit. Quidam terrenas illas ausi sunt facere, ut Anaxagoras. Hic enim ait, post primam elementorum secretionem, ignem separantem se, nonnullas terræ partes ad suam traxisse naturam, et igneas reddidisse. Unde et solem massam veluti ferri esse volebat, ut paulo post dicetur. Alii pumicem obliquam esse docuerunt, quam ætheris ardor accendat: ac per illius foramina transpici stellas. Plato ex elementis constare quatuor, sed majore tamen ignis parte. Xenophanes ex nubibus ignitis fieri stellas, easque carbonum instar exstingui accendique judicat. Cum autem accenduntur, ortus quamdam præbere speciem: cum exstinguuntur, occasus. Stoici ex igne componi putant, sed eo divino et æterno, neque hujus nostri simili. Hunc enim corrumpi, neque lucere penitus.

Digitized by Google

De stellarum figura

12. Cleanthes conicam iis figuram tribuit. Alii bracteārum similes faciunt ex igni, sic ut profunditate carentes sint, instarque picturæ. Quidam pyramidas esse volunt. Stoici sphærica figura prædita, ut et solem et ambiens cœlum.

An sunt animantes stellæ.

13. Animal est, ut Eudorus definit, anima prædita natura. Stellas vero animantes esse neque Anaxagoræ, neque Democrito videtur, neque Epicuro in Breviario ad Herodotum. At Platoni videtur in *Timæo*, et Aristoteli in secundo *De cœlo;* et Chrysippo libro *De providentia et diis*. Epicurei porro esse negant animalia, quod corporibus contineantur. Stoici e contrario disputant. Posidonius ignorantiæ arguit Epicureos, quod animas corpora minime contineant; sed animæ corpora, ut gluten tam se quam extrinsecus applicata continet. Nam quod stellæ sint animalia, ex eo Stoici demonstrant, quoniam omnia quæ sunt in cœlo, ignea sunt, et, ut naturæ suæ congruit, ac diu, et in orbem moventur. Judicio itaque prædita sunt. Quod si verum est, etiam animalia sunt, et varietatem habent in motu. Hoc autem animalibus consentanee accidit. Præterea sua sunt elementis omnibus animantia. Absurdum est autem, quod elementis antecellit omnibus id animantium expers esse dicere.

Quid ab astro stella discrepet.

14. Stella est ejusmodi, ut Saturni et Mercurii, una numero; astrum vero systema plurium, ut Andromeda, Centaurus; quod discrimen non ignoravit Aratus, cum sic loquitur:

Astra discernens: providit vero in annum
Stellas.

Diodorus et alii mathematici tam proprie quam communiter asterismos et stellas astra nominant, Platonis testimonio freti, qui septem planetas in *Timæo* vocat astra. Canis vero stellam præcipue astrum consuetudo popularis appellat. Cæterum stella omnis astrum est; non contra astrum est stella; quamquam Callimachus ita scribit:

. . . . *Prius stellæ Berenices,*

de coma loquens, quæ ex septem lucidis constat. Hujus asterismi non meminit Aratus: quem primus observavit Conon. Corpora vocantur ea quæ uno habitu juncta continentur, ut lapis et lignum. Habitum voco spiritum, qui corporis continendi vim habet. Coagmentata dicuntur, quæ non uno habitu colligata sunt, ut navis et domus, quarum illa pluribus ex tabulis, hæc multis ex lapidibus componitur. Disjuncta sunt, ut chorus. Horum duplex est differentia. Quædam enim ex definitis corporibus constant, ac certo numero comprehensis, ut est chorus, alia nullo numero circumscriptis, ut turba. Quamobrem stella corpus est unum,

[92*] *f.* λέγεται.

Περὶ σχήματος ἀστέρων.

ιβ'. Κλεάνθης αὐτοὺς κωνοειδὲς ἔχειν σχῆμά φησι. Τινὲς δὲ πετάλοις ἐοικέναι ἐκ πυρὸς, βάθος οὐκ ἔχοντας, ἀλλ' ὥσπερ γραφὰς εἶναι. Τινὲς δὲ πυραμίδας. Οἱ δὲ Στωϊκοὶ σφαιρικὸν ἔχειν σχῆμα λέγουσι, καθάπερ τὸν ἥλιον καὶ τὸν περιέχοντα οὐρανόν.

Εἰ ζῶα οἱ ἀστέρες.

ιγ'. Ζῶόν ἐστιν, ὡς Εὔδωρός φησιν, ἔμψυχος οὐσία. Τοὺς ἀστέρας δὲ ζῶα εἶναι οὔτε Ἀναξαγόρᾳ, οὔτε Δημοκρίτῳ δοκεῖ, οὔτε Ἐπικούρῳ ἐν τῇ πρὸς Ἡρόδοτον Ἐπιτομῇ. Πλάτωνι δὲ δοκεῖ ἐν *Τιμαίῳ*, καὶ Ἀριστοτέλει ἐν δευτέρῳ *Περὶ οὐρανοῦ*· καὶ Χρυσίππῳ ἐν τῷ *Περὶ προνοίας καὶ θεῶν*. Οἱ δὲ Ἐπικούρειοί φασι μὴ εἶναι ζῶδια· ἐπεὶ ὑπὸ σωμάτων συνέχεται. Οἱ δὲ Στωϊκοὶ τὸ ἀνάπαλιν. Ποσειδώνιος δὲ ἀγνοεῖν τοὺς Ἐπικουρείους ἔφη, ὡς οὔτε σώματα τὰς ψυχὰς συνέχει, ἀλλ' αἱ ψυχαὶ τὰ σώματα· ὥσπερ καὶ ἡ κόλλα καὶ ἑαυτὴν, καὶ τὰ ἐκτὸς κρατεῖ. Ὅτι δὲ οἱ ἀστέρες ζῶα, χρῶνται πρὸς ἀπόδειξιν οἱ Στωϊκοὶ τούτοις· Πάντα τὰ ἐν τῷ οὐρανῷ πυρώδη, καὶ κατὰ φύσιν, καὶ πολυχρονίως κινεῖται, καὶ κυκλικῶς. Οὐκοῦν καὶ κρίσιν ἔχει. Εἰ δὲ κρίσιν ἔχει, καὶ ζῶά ἐστι, καὶ ποικίλας ἔχουσι κινήσεις. Τοῦτο δὲ τοῖς ζώοις ἕπεται. Καὶ πάντα τὰ στοιχεῖα ζῶα ἔχει. Ἄτοπον δὲ τὸ κρεῖττον πάντων τῶν στοιχείων ζώων ἄμοιρον εἰπεῖν.

Τί μὲν ἀστὴρ· τί δὲ ἄστρον.

ιδ'. Ἀστὴρ μέν ἐστιν ὡς ἂν ὁ τοῦ Κρόνου, ἢ τοῦ Ἑρμοῦ, εἷς ἀριθμῷ· ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων σύστημα· ὡς ἡ Ἀνδρομέδα, ἢ ὁ Κένταυρος. Οἶδε δὲ τὴν διαφορὰν καὶ Ἄρατος,

Ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
Ἀστέρας,

λέγων. Διόδωρος δὲ καὶ οἱ ἄλλοι μαθηματικοὶ ἰδίως καὶ κοινῶς τὰ ζώδια ἄστρα καλοῦσι καὶ ἀστέρας, παρατιθέμενοι Πλάτωνα μάρτυρα, ἄστρα τοὺς ἐπτὰ πλάνητας ἐν τῷ *Τιμαίῳ* εἰρηκότα. Τὸν Κύνα μέντοι ἀστέρα ὄντα, ἐν τῷ βίῳ ἄστρον λέγομεν. Ἀλλ' ὁ μὲν ἀστὴρ καὶ ἄστρον· οὐκέτι δὲ τὸ ἀνάπαλιν. Ὅταν μέντοι Καλλίμαχος.

Περὶ ἀστέρι τῷ Βερενίκης.

ἐπὶ τοῦ πλοκάμου φησὶν, ὃς ἐξ ἑπτὰ καταφανῶν σύγκειται. Τοῦτον δὲ τὸν πλόκαμον οὐκ οἶδεν Ἄρατος. Παρετήρησε δὲ Κόνων ὁ μαθηματικός. Σώματα λέγεσθαι [92*] ὅσα ὑπὸ μιᾶς ἕξεως ἡνωμένα κρατεῖται, οἷον λίθος, ξύλον· ἔστι δὲ ἕξις πνεῦμα σώματος συνεκτικόν. Συνημμένα δὲ ὅσα οὐχ ὑπὸ μιᾶς ἕξεως δέδεται, ὡς πλοῖον καὶ οἰκία· τὸ μὲν γὰρ ἐκ πολλῶν σανίδων, ἡ δὲ ἐκ πολλῶν λίθων σύγκειται. Διεστῶτα δὲ, ὡς χορός. Τῶν δὲ τοιούτων δίτται αἱ διαφοραί. Τὰ μὲν γὰρ ἐξ ὡρισμένων σωμάτων καὶ ἀριθμῷ ληπτῶν, ὡς χορός· τὰ δὲ ἐξ ἀορίστων, ὡς ὄχλος. Εἴη οὖν ὁ μὲν ἀστὴρ σῶμα ἡνωμένον, τὸ δὲ ἄστρον ἐκ διεστώτων καὶ ὡρισμένων· ἀριθμὸς γὰρ ἀστέρων ἐφ' ἑκάστου

Digitized by Google

δείκνυται. Πίνδαρος δὲ τὸν ἀστέρα ἄστρον ὀνομάζει, λέγων·

Μηκέθ' ἁλίου σκόπει
Ἄλλο θαλπνότερον
Ἐν ἁμέρᾳ φαεννὸν ἄστρον·

κατὰ τὴν συνήθειαν.

Περὶ πλανήτων.

ιε'. Ἄρατος, τῇ τῶν πολλῶν δόξῃ κατακολουθήσας, τοὺς ἀπλανεῖς ἐναρηρέναι φησὶ τῷ οὐρανῷ·

Αὐτὸς γὰρ τάδε σήματ' ἐν οὐρανῷ ἐστήριξε·

παρὰ τὸ ἐστήριξεν ἀστέρας αὐτοὺς παρετυμολογῶν. Τὸν δὲ τῶν πλανήτων λόγον παρῃτήσατο ὁ Ἄρατος, ὅταν λέγῃ·

B *Οἱ δ' ἐπιμὶξ ἄλλοι πέντ' ἀστέρες οὐδὲν ὁμοῖοι,*
Ἔμπαλιν [83] *εἰδώλων δυοκαίδεκα δινεύονται.*
Οὐ δ' ἔτι θαρσαλέως κείνων ἐγὼ ἄρκιος εἴην
Ἀπλανέων τά τε κύκλα, τά τ' αἰθέρι [84] *δινεύουσι.*

Παραιτεῖται δὲ διὰ πολλὰς αἰτίας. Πρῶτον ὅτι φαινόμενα ἠθέλησε, καὶ πᾶσι σύμφωνα δεῖξαι ἄστρα· οὗτοι δὲ πολλὴν διαφωνίαν ἔχουσι, καὶ οὐδὲ πᾶσίν εἰσι φανεροί. Ἐν δὲ τῷ ἐπιγραφομένῳ αὐτοῦ *Κανόνι*, τὸν περὶ αὐτῶν ποιούμενος λόγον, ἁρμονίᾳ τινὶ καὶ συμφωνίᾳ μουσικῇ τὰς κινήσεις αὐτῶν λέγει γεγονέναι. Λεκτέον δὲ περὶ αὐτῶν.

Τάξις τῶν ζ' σφαιρῶν.

ις'. Οἱ περὶ τὰ μετέωρα δεινοί φασι ζώνας τινὰς εἶναι ἑπτά, δι' ὧν φέρονται οἱ ἑπτὰ ἀστέρες· καὶ ἐν C μὲν τῇ ὑψηλοτάτῃ φέρεσθαι τὸν τοῦ Κρόνου, ἐν δὲ τῇ μετ' αὐτὴν τὸν τοῦ Διός· καὶ ἐν τῇ τρίτῃ τὸν τοῦ Ἄρεως· ἐν τῇ τετάρτῃ τὸν τοῦ Ἑρμοῦ· ἐν τῇ πέμπτῃ τὸν τῆς Ἀφροδίτης· ἐν δὲ τῇ ἕκτῃ τὸν τοῦ ἡλίου· ἐν δὲ τῇ ἑβδόμῃ τὸν τῆς σελήνης. Τινὲς δὲ ἐν τῇ τετάρτῃ τὴν Ἀφροδίτην λέγουσιν· ἐν τῇ πέμπτῃ δὲ τὸν Ἑρμῆν· ἐν δὲ τῇ ἕκτῃ τὸν ἥλιον. Ἄλλοι δὲ τέταρτον τὸν Ἑρμῆν· ἕκτην δὲ τὴν Ἀφροδίτην· μέσον δὲ τὸν ἥλιον. Εἰσὶ δὲ οἱ πρῶτον τὸν ἥλιον λέγοντες· δευτέραν δὲ τὴν σελήνην· τρίτον δὲ τὸν Κρόνον. Ἡ δὲ πλείων δόξα πρώτην τὴν σελήνην λέγει· ἐπεὶ καὶ ἀπόσπασμα τοῦ ἡλίου λέγουσιν αὐτήν· ὡς καὶ Ἐμπεδοκλῆς·

D *Κυκλοτερὲς περὶ γαῖαν ἑλίσσεται ἀλλότριον φῶς.*

Περὶ δὲ τῆς ἐναρμονίου κινήσεως αὐτῶν εἶπεν, ὡς ἔφην, Ἄρατος ἐν τῷ *Κανόνι*, καὶ Ἐρατοσθένης ἐν τῷ *Ἑρμῇ*, καὶ Ὑψικλῆς, καὶ Θράσυλλος, καὶ Ἄδραστος Ἀφροδισιεύς. Ἤρξαντο δὲ τοῦ λόγου τούτου οἱ Πυθαγόρειοι· πάντα γὰρ ἁρμονίᾳ καὶ τάξει λέγουσι κινεῖσθαι· καθὰ καὶ ἰατροὶ τοὺς σφυγμούς· καὶ ὑγιαίνειν μέν, ὅταν εὐτακτῶσι, νοσεῖν δέ, ὅτε ἀτάκτως κινοῦνται.

Περὶ τῶν ὀνομάτων τῶν πλανήτων.

ιζ'. Τὰ ὀνόματα τῶν πλανήτων διαφόρως ἐκλήθησαν, καὶ περὶ τοῦ χρόνου ἑκάστου διαφωνία πολλὴ γέγονε πολλοῖς. Αἰγυπτίοις γὰρ καὶ Ἕλλησι τοῦ Κρόνου

[83] γρ. πάντοθεν. [84] γρ. σῶματ' ἐνισπεῖν.

A astrum ex disjunctis ac definitis componitur. Nam certus in unoquoque numerus ostenditur. Pindarus astrum pro sidere usurpat :

80 *Non jam sole considera*
Aliud calidius
Interdiu splendens sidus;

in quo consuetudini servit.

De planetis.

15. Aratus vulgi opinioni serviens inerrantes stellas cœlo infixas esse dicit :

Ipse enim hæc signa in cœlo fixit;

a vocabulo ἐστήριξεν, nominatos ἀστέρας obiter indicans. De planetis autem scribere noluit Aratus, ubi ita cecinit :

Promiscue vero aliæ quinque stellæ, nihil similes,
Contra quam simulacra duodecim versantur.
Neque vero confidens illorum ego sum idoneus,
Inerrantiumque orbes, quæque in æthere cientur [exsequi.

Atque hoc pluribus de causis recusat. Primum quod apparentes stellas, de quibus inter omnes convenit, describere erat aggressus; at istæ magno in opinionum ambitu sunt, nec omnibus apparent. In libro vero, quem *Canonem* inscripsit, de iis agens, concentu quodam et harmonia temperatos esse motus illarum asserit. Nobis vero de iis ipsis nonnulla dicenda sunt.

De ordine sphærarum septem.

16. Cœlestium rerum peritis placet zonas quasdam esse septem, per quas totidem planetæ feruntur. In suprema porro Saturni stellam rapi; in secunda Jovis; in tertia Martis; in quarta Mercurii; in quinta Veneris; in sexta solis; in septima lunæ. Quidam in quarta Venerem locant, in quinta Mercurium, in sexta solem. Alii quartum Mercurium, sextam Venerem, medium vero solem constituunt. Sunt qui primum esse solem asserant, secundam lunam, tertium Saturnum. Plures lunam primam faciunt; quandoquidem pars quædam, ut aiunt, avulsa est a sole luna; quod Empedocli visum est :

Circulare circum terram volvitur alienum lumen.

De harmonico vero motu illorum agit in *Canone*, uti dictum est, Aratus, et Eratosthenes in *Mercurio*, itemque Hypsicles, Thrasyllus et Adrastus Aphrodisiensis. Cujus dogmatis auctores fuere Pythagorei, qui universa concentu atque ordine moveri putant : uti medici pulsus, quos tum sanos esse dictitant, cum ordinem servant, male habere, cum inconstanter moventur.

De planetarum nominibus.

17. Tam de planetarum vocabulis quam de singulorum temporibus summa est opinionum varietas. Ægyptii et Græci Saturni stellam, quamvis

Digitized by Google

hebetissima sit, φαινοντα, id est lucidam, vocant. Græci quidem ita boni ominis causa nuncupant, Ægyptii vero Nemesis stellam. Secunda Jovis Phaeton a Græcis, ab Ægyptiis Osiridis stella nominatur. Tertia est Martis, quæ Græcis est Πυρόεις, Ægyptiis Herculis stella. Quarta Mercurii. Concedatur enim hoc in præsens, eam esse quartam. Nam de sideribus istis, Mercurio, Venere ac sole non levem esse controversiam ostendimus. Igitur Mercurii stella Græcis Στίλβων, Ægyptiis Apollinis stella dicitur. Quinta est Veneris, Græcis Lucifer. Primus Ibycus in unum appellationem contraxit. Quartus est sol Ægyptiis, quem Græci sextum numerant. Septima est luna. Musici vero zodiacum circulum, ut in harmonia, fingunt rationem habere phthongi chromatici generis disjuncti, Saturni stellam rationem obtinere harmonicæ disjunctam, Jovi ordinem tribuunt in musicis phthongi, quem diatonum disjunctum vocant, Marti vero, ejus, quem parameson nominant. Sic Mercurius in eadem musica phthongum sibi vindicat, qui meses vocatur. Nam Veneris stella medium diatonon tenet. Sol nisi quartus est, sed sextus; medii lichani instar erit. Luna, quæ septima est, phthongi illius ordinem tenet, qui est hypates mediæ. Intervallum, quod ad usque lunam pertinet, quidam attribuunt ei phthongo, quem in musicis hypaton diatonum appellant.

A ὁ ἀστὴρ, καίτοι ἀμαυρότατος ὢν, φαίνων λέγεται. Ἀλλὰ παρ' Ἕλλησι μὲν κατὰ τὸ εὔφημον λέγεται οὕτω, παρὰ δὲ Αἰγυπτίοις Νεμέσεως ἀστήρ. Δεύτερος ὁ Διὸς καθ' Ἕλληνας Φαέθων· κατὰ δὲ Αἰγυπτίους Ὀσίριδος ἀστήρ. Τρίτος ὁ τοῦ Ἄρεως παρὰ μὲν Ἕλλησι Πυρόεις· παρὰ δὲ Αἰγυπτίοις Ἡρακλέους ἀστήρ. Τέταρτος ὁ τοῦ Ἑρμοῦ· δεδόσθω γὰρ νῦν τέταρτον αὐτὸν εἶναι. Εἴρηται γὰρ, ὅτι διαφωνία πολλὴ περὶ τῶν ἀστέρων τούτων ἐστὶν, Ἑρμοῦ, καὶ Ἀφροδίτης, καὶ ἡλίου. Ὁ τοίνυν Ἑρμοῦ ἀστὴρ καλεῖται παρὰ μὲν Ἕλλησι Στίλβων, παρὰ δὲ Αἰγυπτίοις Ἀπόλλωνος ἀστήρ. Πέμπτος ὁ τῆς Ἀφροδίτης παρὰ μὲν Ἕλλησιν Ἑωσφόρος. Πρῶτος δὲ Ἴβυκος εἰς ἓν συνέστειλε τὰς προσηγορίας. Τέταρτος δὲ ὁ ἥλιος κατ' Αἰγυπτίους, ἕκτος δὲ καθ' Ἕλληνας. Ἕβδομος B δὲ ὁ τῆς σελήνης. Οἱ δὲ μουσικοὶ ὑποτίθενται τὸν ζωδιακὸν κύκλον ὡς ἐν ἁρμονίᾳ τάξιν ἔχειν φθόγγου τοῦ τῆς χρωματικῆς διεζευγμένου· τὸν δὲ τοῦ Κρόνου ἐπέχειν λόγον τῆς ἐναρμονίου τὸν διεζευγμένον· ὁ δὲ τοῦ Διὸς τάξιν ἔχειν [98] ἐν μουσικῇ φθόγγου τοῦ καλουμένου διατόνου διεζευγμένου. Ὁ δὲ τοῦ Ἄρεως τάξιν ἔχει φθόγγου τοῦ καλουμένου παραμέσου. Ὁ δὲ τοῦ Ἑρμοῦ τάξιν ἐπέχει φθόγγου παρὰ μουσικοῖς τῆς μέσης. Ὁ δὲ τῆς Ἀφροδίτης τάξιν ἔχει φθόγγου λεγομένου μέσου διατόνου. Ὁ δὲ ἥλιος, ἐὰν μὴ τέταρτος, ἀλλὰ ἕκτος δοθῇ, ἔσται τάξιν ἐπέχων μέσου λιχανοῦ. Ἡ δὲ σελήνη, ἑβδόμη οὖσα, τάξιν ἐπέχει φθόγγου τοῦ λεγομένου ὑπάτης μέσης. Τὴ δὲ ἀπὸ γῆς διάστημα μέχρι τῆς σελήνης, θέλουσιν εἶναί τινες ἀπὸ φθόγγου τοῦ παρὰ τοῖς μουσικοῖς ὑπάτων διατόνου.

81 *De eo anno, qui magnus dicitur, et quot annis cujuslibet planetarum revolutio constet.*

C *Τίς ὁ καλούμενος μέγας ἐνιαυτὸς, καὶ ἐν πόσοις χρόνοις ἕκαστος τῶν πλανήτων ἀποκαθίσταται.*

18. Rursus prima omnium Saturni stella ab uno signo ad idem, ut minus accurate dicam, et platice, in annis triginta revertitur; ab eodem vero puncto ad idem punctum, in annis 350635. Atque is est qui magnus annus appellatur. Jovis stella secunda situ ad idem signum platice in annis 12 regreditur; ad idem punctum in annis 170620. Martis stella circuitum absolvit a signo ad signum rediens annis duobus; ad idem vero punctum annis 120000. Luna quolibet mense a signo ad idem signum revertitur; sol vero diebus 365 et minuto: quod tempus solaris appellatur annus. Similiter et Veneris ac Mercurii stellæ, itidem ut sol, ad id signum, unde D profectæ sunt, annuo intervallo referuntur; nam pene eadem celeritate rapiuntur. Oh id de illarum situ controversia nascitur. Horum spatiorum, velut phthongorum ab infimis locis ad zodiacum usque, intervallum ejusmodi est quod a musicis vocatur diapason.

•

At Chaldæi, mortalium omnium longe curiosissimi, ausi sunt cursum solis atque horas describere. Etenim horam illam, qua in æquinoctiis constitutus

ιη'. Πάλιν ὁ πρῶτος, ὁ τοῦ Κρονου ἀστὴρ, παραγίνεται ἀπὸ ζωδίου ἐπὶ ζώδιον παχυμερῶς μὲν καὶ πλατυκῶς, ἔτεσι τριάκοντα, ἀπὸ δὲ σημείου ἀποκαθίσταται ἐν ἐτῶν μυριάσι τριακονταπέντε καὶ ἔτεσιν ἑξακοσίοις τριακονταπέντε. Οὗτος δέ ἐστιν ὁ καλούμενος μέγας ἐνιαυτός. Ὁ δὲ τοῦ Διὸς ἀστὴρ ὁ δεύτερος παραγίνεται ἀπὸ ζωδίου ἐπὶ ζώδιον πλατυκῶς καὶ παχυμερῶς ἔτεσιν ιβ'· ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν μυριάσιν ἐτῶν ιζ' καὶ ἔτεσι χκ'. Ὁ δὲ τοῦ Ἄρεος περιέρχεται ἀπὸ ζωδίου ἐπὶ ζώδιον δι' ἐτῶν δύο, καὶ ἀπὸ σημείου ἐπὶ σημεῖον ἐν μυριάσιν ἐτῶν ιβ'. Ὁ δὲ τῆς Ἀφροδίτης [99] περιέρχεται ἀπὸ ζωδίου ἐπὶ ζώδιον κατὰ μῆνα ἕκαστον· ὁ δὲ ἥλιος ἐν τξε' ἡμέραις καὶ λεπτῷ· ὃς δὴ χρόνος καλεῖται ἐνιαυτὸς ἡλιακός. Ὁμοίως δὲ καὶ ὁ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ σὺν τῷ ἡλίῳ δι' ἐνιαυτοῦ ἀπὸ ζωδίου ἐπὶ ζώδιον παραγίνονται· σχεδὸν γὰρ ἰσοταχεῖς εἰσι. Διὸ καὶ διάφωνος αὐτῶν ἡ τάξις. Τούτων δὴ τῶν διαστημάτων τῶν φθόγγων ἀπὸ τῶν κατωτάτω τόπων μέχρι τοῦ ζωδιακοῦ γίνεται διάστημα συμφωνίας τῆς παρὰ τοῖς μουσικοῖς λεγομένης διαπασῶν.

Χαλδαῖοι δὲ, περιεργότατοι γενόμενοι, ἐτόλμησαν τοῦ ἡλίου τὸν δρόμον καὶ τὰς ὥρας διορίσασθαι. Τὴν γὰρ ἐν ταῖς ἰσημερίαις ὥραν αὐτοῦ, καθ' ἣν ἴσως

[98] *f.* ἔχει. [99] *f.* σελήνης.

Digitized by Google

διέρχεται τὸν πόλον, εἰς λ' ὅρους μερίζουσιν· ὥστε τὸ λ' μέρος τῆς ὥρας, τῆς ἐν τῇ ἰσημερινῇ ἡμέρᾳ, ὅρον λέγεσθαι τοῦ δρόμου τοῦ ἡλίου. Λέγουσι δὲ πάλιν ἀνδρὸς πορείαν, μήτε τρέχοντος μήτε ἠρέμα βαδίζοντος, μήτε γέροντος μήτε παιδός, τὴν πορείαν εἶναι τοῦ ἡλίου, καὶ λ' σταδίων καθαρῶν εἶναι.

Ἐπειδὴ δὲ εἴπομεν καθυποβεβηκέναι τοὺς ἀστέρας τοὺς πλάνητας τῶν ἐπάνω, καὶ τὴν ἀνωτάτω ζώνην ἔχειν τὸν τοῦ Κρόνου, τὴν δὲ μετὰ ταύτην τὸν τοῦ Διός, τὴν δὲ τρίτην τὸν τοῦ Ἄρεος, καὶ καθεξῆς τῶν ἄλλων· ἴσως ἂν ζητήσειέ τις πῶς φαμεν, εἰ οὕτω τύχοι, Κρόνον καὶ ἥλιον ἐν Κριῷ εἶναι· ἢ σελήνην καὶ Δία ἐν Ταύρῳ· ἢ ἄλλους τινὰς ἀστέρας σύνοδον[97], ὁπότε μὴ εἰσὶν ἐν τῷ αὐτῷ ὕψει φερόμενοι. Λεκτέον δὲ, ὅτι ὑπ' ἀλλήλους ὄντες τότε συνόδους ποιοῦσιν, ὅταν κατὰ κάθετον ἀλλήλων γένωνται. Εἰδέναι δὲ χρὴ, ὡς οἱ ἀστρονόμοι διδόασι ζώνας τῶν πλανήτων ἀστέρων. Ὁ δὲ Πλάτων σφαίρας εἶναι λέγει μίαν ὑπὸ μίαν ἑκάστῳ. Ὁ δὲ Ἄρατος, περὶ τῶν πέντε λέγειν παραιτησάμενος, μετὰ τὴν τῶν φαινομένων δεῖξιν περὶ ἡλίου καὶ σελήνης λέγει.

Τῶν δὲ ἀστέρων οἱ μὲν ἀπλανεῖς ἐναρήρασι τῷ οὐρανῷ, καί εἰσιν ἀκίνητοι κατὰ τὸν ἴδιον λόγον· συμπεριφέρονται δὲ τῇ ῥύμῃ τοῦ οὐρανοῦ, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως δύνοντες καὶ ἀνατέλλοντες· διὸ καὶ ἀπλανεῖς ἐκλήθησαν. Ἄλλοι δέ εἰσιν ἑπτὰ ἀστέρες κατωτέρω τοῦ οὐρανοῦ ἐν τῷ ἀέρι[98], καὶ ἰδίως καὶ μετὰ τοῦ οὐρανοῦ κινούμενοι· οἵτινες τῷ ἰδίαν κίνησιν ἔχειν, καὶ μὴ ἀρηρέναι τῷ οὐρανῷ, ἀλλ' ἐν τῷ αἰθέρι φέρεσθαι, οὔτε κατὰ τὰ αὐτὰ οὔτε ὡσαύτως ἀνατέλλουσι· διὸ πρὸς σύγκρισιν τῶν ἀπλανῶν πλάνητες λέγονται. Οἱ δὲ Πυθαγόρειοι οὐ μόνον τοὺς πλάνητας ἰδίαν κίνησιν ἔχειν φασὶν, ἀλλὰ καὶ τοὺς ἀπλανεῖς· οὕτω μέντοι κινεῖσθαι ὡς τρύπανον περιδινούμενον περὶ τὸν αὐτὸν τόπον. Ἐκλείπειν δὲ ἕκαστος τότε τῶν ἀστέρων δοκεῖ, ὅτε, προσγειότερος αὐτοῦ κατὰ κάθετον γενόμενος, ὑπεισέλθοι τὴν αὐγὴν τοῦ ἡλίου.

A polum ex æquo transeundo dividit, in tricenos terminos dividunt, adeo ut tricesima pars horæ, quæ in æquinoctiali die fit, terminum solaris cursus nominent. Asserunt præterea iter viri, qui neque cursu feratur, neque lente gradiatur, neque senex sit aut puer, solis iter esse, ac tricena esse mera stadia.

Cum autem planetas dixerimus superioribus stellis subjectos esse, ac supremam zonam obtinere Saturnum, proximam ab eo, Jovem, tertiam esse Martis, ac deinceps cæteros, quæret aliquis fortasse, quomodo dici soleat, Saturnum, exempli gratia, vel solem in Ariete versari; aut lunam, vel Jovem in Tauro; vel alias stellas ibi in synodo esse, cum in eadem altitudine esse nequeant. Huic ita respondemus, cum sibi invicem subjecta sunt ea B sidera, synodum facere; cum videlicet directe unum alteri subjicitur. Sciendum tamen est astronomos planetis circulos assignare, Platonem vero sphæras esse putare, quarum alteri altera supposita sit. Aratus porro cum de quinque planetis scribere renuisset, postquam de apparentibus carmen absolvit, de sole agit ac luna.

Igitur stellarum, quæ inerrantes dicuntur, infixæ sunt cœlo, et peculiari ratione sunt immobiles: tametsi cœli circumvolutione rapiantur, iisdem locis ac similiter occasus ortusque facientes: ob id inerrantes dictæ sunt. Præter has aliæ sunt septem numero stellæ infra cœlum quæ in æthere tam proprio motu, quam impresso iis ab cœlo moventur. Quæ cum proprios, ut dixi, motus habeant, C neque in cœlo defixæ sint, sed in æthere ferantur; neque locis iisdem, nec eodem modo oriuntur et occidunt: propterea cum fixis comparatæ planetæ vocantur. At vero Pythagorei non solum planetis, sed etiam fixis peculiarem motum attribuunt: quem quidem ejusmodi esse volunt, qualis est terebræ, quæ circum eumdem locum volvitur. Denique tunc unaquæque stellarum deficere videtur, cum citima terris, ac soli ex directo posita sub ejus splendorem subit.

Περὶ ἡλίου.

ιθ'. Πολλοὶ τῶν ἐπιφανεστέρων περὶ[99] ἡλίου καὶ σελήνης ἐπραγματεύσαντο· ἰδίᾳ δὲ καὶ περὶ τῶν πέντε. Διὸ καὶ Ἄρατος ἰδίως μὲν περὶ ἡλίου καὶ σελήνης πρὸς τῷ τέλει τῆς ποιήσεως εἶπεν, ἰδίᾳ δὲ D περὶ τῶν πέντε ἐν τῷ ἐπιγραφομένῳ *Κανόνι*. Τὴν δὲ οὐσίαν τοῦ ἡλίου Πλάτων περιέργως ἐκ πυρὸς εἶναί φησι· τινὲς δὲ τῶν φυσικῶν ἐξ ἀναθυμιάσεως γῆς καὶ νεφῶν αὐτὸν εἶναι. Ἀναξαγόρας μύδρον αὐτὸν εἶπε· Φιλόλαος δὲ, τὸ πυρῶδες καὶ διαυγὲς λαμβάνοντα ἄνωθεν ἀπὸ τοῦ αἰθερίου πυρὸς, πρὸς ἡμᾶς πέμπειν τὴν αὐγὴν διά τινων ἀραιωμάτων· ὥστε κατ' αὐτὸν τρισσὸν εἶναι τὸν ἥλιον· τὸ μὲν ἀπὸ τοῦ αἰθερίου πυρός· τὸ δὲ ἀπ' ἐκείνου πεμπόμενον ἐπὶ τὸν ὑελοειδῆ ὑπ' αὐτοῦ λεγόμενον ἥλιον· τὸ δὲ ἀπὸ τοῦ τοιούτου ἡλίου πρὸς ἡμᾶς πεμπόμενον. Ἐπίκουρος δὲ κισσηροειδῆ αὐτὸν ἔφη ἐκ πυρὸς διὰ τρημάτων τινῶν τὴ

De sole.

De principatum tenentibus sideribus sole ac luna complures egerunt: ac privatim etiam de quinque. Hinc Aratus de sole ac luna operis in fine scripsit: de quinque vero in eo qui inscriptus est *Canon*. Quod ad solis naturam pertinet, curiosius Plato ex igne constare docet; quidam physici e terræ ac nubium exhalationibus. Anaxagoras massam ignitam; Philolaus eumdem quidquid habet igneum ac transparens ex ætherio igne, quod supra ipsum est, exprimere putat, ac per quædam rimarum interstitia splendorem ad nos transmittere; adeo ut triplex sit ex ejus opinione sol. Nam partim ex ætherio igne conflatus est: partim ab eo ad solem illum, quem vitri similem vocat, nonnihil emittitur: partim ab hoc ipso ad nos usque manat. Epicurus pumicis speciem habere censet,

[97] *f.* σύνοδον ποιεῖν. [98] *f.* αἰθέρι. [99] *f.* πέρι.

Digitized by Google

atque ex igne per quædam foramina splendorem ejaculari. Nonnulli, ut Anaximander, lucem ab eo qui sit rotæ similis, emitti sentiunt. Nam ut in rota cavus est modiolus, cui infixi radii ad summæ curvaturæ ambitum extensi sunt; ita solem aiunt ex cavo lumen effundentem radios spargere, **82** quibus circumquaque collustrat. Sunt qui cavo ex loco et angusto, tubæ instar, illius manare lucem existiment, velut igneas faces. Jam figura solis ab aliis cum disco comparatur. Heraclitus scaphæ similem putat, Stoici sphæræ. Cæterum de sole plerique commentarios ediderunt: ut Thrasyllus, et Adrastus Peripateticus, et Aphrodisiensis. Deficit autem, eo quod luna, ut quidam asserunt, directe se inter ipsum et nos mediam interponit: quod ut probabilius oportet amplecti. Est enim luna terræ vicinior sole atque depressior; quod Aratus ita testatur:

Stans inter terram solemque directa.

Neque vero defectum patitur sol: etsi ita nobis videtur. Nam cum ad perpendiculum ei subjecta luna fuerit, illius radiis obstat, ne ad nos, qui in terra sumus, usque pertingant. Itaque nobis multo inferioribus luna deficere videtur. Sed nec totius solis, verum partis ejus duntaxat defectio accidit. Non enim potest longe minor ipso luna totum abscondere. Quam ob causam non ab omnibus simul hominibus deficiens cernitur, sed alias ab aliis, velut in tractu Syenes, Alexandriæ et Elephantines eodem tempore deficiens videtur. Hæc enim omnia loca ad idem clima pertinere videntur. De eclipsibus solis secundum climata septem scripsere complures, ut Orion, Apollinaris, Ptolemæus, Hipparchus. Climata dicuntur ideo quod terra minime plana sit, sed nonnullas devexitates habeat: quoniam partes ejus eminentiores aliæ sunt, aliæ dejectiores, ac gentes aliæ aliis in locis habitant. Annus solis ἐνιαυτός vocatur, quod ἐν ἑαυτῷ, *in seipso* tempestates omnes quatuor complectitur, ut Euripides indicat:

Quoniam in se cuncta complectens habet.

Appellatur annus solis ab eodem signo ad idem redeuntis conversio in 365 diebus, et exigua insuper parte; ad idem vero punctum octodecim annis vertentibus redit: si est germanum opus Eratosthenis. Hic enim scripsit, ostenditque non esse auctorem Eudoxum. At, ut censent alii, fit illa reversio in annis sex et septuaginta: quæ est Calippi sententia. Meto vero novemdecim annis fieri putat. Quem Aratus his versibus secutus est:

——— *celebrantur jam*
Novemdecim circuli splendidi solis.
Tum quos a balteo ad extremum Orionem
Nox circumvolvitur, et ad Canem audacem Orionis.

De solis magnitudine.

20. Sol, ut aiunt, terram magnitudine superat. Quidam vero pedalem, alii octuplo, alii undevicies

φῶς ἐκπέμποντα. Τινὲς δὲ, ὧν ἐστι καὶ Ἀναξίμανδρος, φασὶ πέμπειν αὐτὸν τὸ φῶς, σχῆμα ἔχοντα τροχοῦ. Ὥσπερ γὰρ ἐν τῷ τροχῷ κοίλη ἐστὶν ἡ πλήμνη, ἔχει δὲ ἀπ' αὐτῆς ἀνατεταμένας τὰς κνημίδας πρὸς τὴν ἔξωθεν τῆς ἁψίδος περιφοράν· οὕτω καὶ αὐτὸν, ἀπὸ κοίλου τὸ φῶς ἐκπέμποντα, τὴν ἀνάστασιν τῶν ἀκτίνων ποιεῖσθαι, καὶ ἔξωθεν αὐτὰς κύκλῳ φωτίζειν. Τινὲς δὲ, ὡς ἀπὸ σάλπιγγος, ἐκ κοίλου τόπου καὶ στενοῦ ἐκπέμπειν αὐτὸν τὸ φῶς, ὥσπερ πρηστῆρας. Σχῆμα δὲ αὐτοῦ οἱ μὲν δισκοειδὲς, Ἡράκλειτος δὲ σκαφοειδὲς, Στωϊκοὶ δὲ σφαιροειδὲς εἶναί λέγουσι. Πολλοῖς δὲ περὶ τούτου πραγματεῖαι γεγόνασιν, ὥσπερ Θρασύλλῳ καὶ Ἀδράστῳ τῷ ἀπὸ τοῦ Περιπάτου, καὶ Ἀφροδισεῖ. Ἐκλείπει δὲ, ὡς μέν τινές φασιν, ἐμπροσθεν αὐτοῦ τῆς σελήνης κατὰ κάθετον αὐτοῦ γιγνομένης· ᾧ καὶ μᾶλλον, ὡς πιθανῷ, πειστέον. Προσγειοτέρα γὰρ αὐτοῦ ἐστιν ἡ σελήνη, καὶ κατωτέρα τοῦ ἡλίου· οὕτω γὰρ καὶ ὁ Ἄρατος λέγει·

Ἱσταμένη γαίης τε καὶ ἠελίοιο κατ' ἰθύ.

Οὐκ ἐκλείπει δὲ ὁ ἥλιος· ἀλλ' ἡμῖν δοκεῖ. Κατὰ κάθετον γὰρ ἡ σελήνη γενομένη τοῦ ἡλίου, ἀνείργει τὰς πρὸς ἡμᾶς τοὺς ἐπὶ γῆς αὐγὰς αὐτοῦ. Καὶ ἡμῖν οὕτω φαίνεται κατωτέρω γῆς σελήνης οὖσιν. Οὐχ ὅλου δὲ, ἀλλὰ μέρους ἔκλειψις γίνεται. Οὐ γὰρ δυνατὸν, ἐλάττονα οὖσαν τὴν σελήνην πολὺ, ὅλον ἀποκρύπτειν τὸν ἥλιον. Διὸ οὐ παρὰ πᾶσιν ἀνθρώποις ἅμα ἐκλείπειν δοκεῖν[1], ἀλλὰ παρ' ἑτέροις ἄλλοτε· οἷον ἐν Συήνῃ καὶ Ἀλεξανδρείᾳ, καὶ Ἐλεφαντίνῃ ἅμα ἐκλείπειν. Τοῦ γὰρ αὐτοῦ κλίματος δοκεῖ ταῦτα τὰ χωρία εἶναι. Ἐπραγματεύσαντο δὲ πολλοὶ περὶ ἐκλείψεων ἡλίου κατὰ τὰ ἑπτὰ κλίματα· ὥσπερ Ὡρίων, ὁ Ἀπολλινάριος, Πτολεμαῖος, Ἵππαρχος. Κλίματα δὲ εἴρηται, διὰ τὸ τὴν γῆν μὴ εἶναι ὁμαλὴν, ἀλλὰ ἔχειν οἷον ἐγκλίματά τινα, ὑψηλοτέρων ὄντων καὶ ταπεινοτέρων τῶν μερῶν αὐτῆς, καὶ τὰς οἰκήσεις τῶν ἐθνῶν ἄλλας ἀλλαχοῦ εἶναι. Ἐνιαυτὸς δὲ ἡλίου εἴρηται, ἐπεὶ ἔχει τὰς πάσας ὥρας ἐν ἑαυτῷ τέσσαρας κατὰ τὸν Εὐριπίδην·

Θ' οὕνεκ' ἐν αὐτῷ πάντα συλλαβὼν ἔχει.

Λέγεται δὲ ἐνιαυτὸς ἡ ἀπὸ τοῦ ζῳδίου ἐπὶ τὸ αὐτὸ ἀποκατάστασις αὐτοῦ ἐν ἡμέραις τξε' καὶ ἐλαχίστῳ μορίῳ· ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν ὀκτωκαιδεκαετηρίδι, εἴ γε γνήσιόν ἐστι τὸ σύγγραμμα Ἐρατοσθένους[2]. Οὗτος γὰρ ἀνέγραψεν δεικνὺς, ὡς οὐκ εἴη Εὐδόξου. Κατὰ δέ τινας ἐν ἑβδομήκοντα[3] ἔτεσιν· ἧς δόξης ἐστὶ καὶ Κάλιππος. Κατὰ δὲ Μέτωνα δι' ἐννεακαιδεκαετηρίδος. Ταύτῃ κατηκολούθησεν Ἄρατος· φησὶ γάρ·

——— *συνελίδεται ἤδη*
Ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο·
Ὅσσα τ' ἀπὸ ζώνης εἰς ἔσχατον Ὡρίωνα
Νὺξ ἐπιδινεῖται, Κύνα τε θρασὺν Ὡρίωνος.

Περὶ μεγέθους ἡλίου.

κ'. Μέγεθος ἡλίου μεῖζον γῆς φασι. Καὶ οἱ μὲν πο διαῖον· οἱ δὲ ὀκταπλάσιον· οἱ δὲ ἐννεακαιδεκαπλά-

[1] *f.* δοκεῖ. [2] Mendosa ista sunt. [3] *f.* ξξ καὶ ἑ6δ.

Digitized by Google

που. Φέρεσθαι δὲ αὐτὸν τὴν ἐναντίαν τοῖς ἀπλανέσι φορὰν κατὰ τὴν ἰδίαν κίνησιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς· ἄγεσθαι δὲ ὑπὸ τῆς ἀπλανοῦς ἀπὸ τῶν ἀνατολικῶν μερῶν ἐπὶ τὰ δυτικά, κατὰ τὸν Εὐριπίδην λέγοντα·

Δείξας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδὸν,
Δήμους τ' ἔσωσα, καὶ τύραννος ἱζάνην.

Ἀτρεὺς γὰρ εὗρε τῶν πλανήτων τὴν ἐναντίαν φοράν, ὥσπερ καὶ ἡλίου ἀπὸ ἀνατολῶν κυλιομένου, καὶ φερομένου εἰς δυσμάς. Ὥσπερ γὰρ, εἰ τύχοι μύρμηξ ἕρπων ἔξωθεν περιφερείας τινὸς ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς τὴν ἐναντίαν τῷ τροχῷ ποιούμενος πορείαν, συμβήσεται αὐτὸν ὑπὸ μὲν τῆς τοῦ τροχοῦ περιενήνεως ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς ἄγεσθαι, ὑπὸ δὲ τῆς ἰδίας κινήσεως ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς. Ἡμῖν δὲ δυσκατάληπτον εἶναι συμβαίνει τὴν ἰδίαν αὐτοῦ κίνησιν, ἅτε δὴ μικρὰν οὖσαν· διὸ καὶ παρατρέχει ἡμῶν τὴν ὄψιν ἡ τοῦ μύρμηκος κίνησις, ὀξυτέρας οὔσης τῆς τροχοῦ· τὸν αὐτὸν τρόπον νόει καὶ ἐπὶ ἡλίου. Ἔστω γὰρ τροχὸς ὁ οὐρανὸς, ὁ δὲ ἥλιος ἀντὶ μύρμηκος. Τὴν δὲ δεῖξιν ταύτην ἐπ' αὐτῆς τῆς σφαίρας ἔστιν ἰδεῖν. Ἐὰν γὰρ ὑποθώμεθα πρῶτον ἀνατέλλειν Κριὸν, καὶ τὸν ἥλιον ἐν τούτῳ εἶναι, ἐπὶ ἡμέρας λ' τὴν μετάβασιν αὐτοῦ ἀπὸ τοῦ Κριοῦ εὑρίσκομεν εἰς τὸν Ταῦρον γινομένην· ὁ δ' ἐστὶ μετὰ τὸν Κριόν. Ἀπὸ τῶν δυτικῶν ἄρα μερῶν ἐπὶ τὰ ἀνατολικὰ, ἀλλ' οὐχὶ ἀνάπαλιν ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικὰ εὑρίσκομεν φερόμενον αὐτόν. Δῆλον οὖν, ὡς κινεῖται, καὶ φέρεται κατὰ τὴν ἰδίαν κίνησιν ἀπὸ τῶν δυτικῶν ἐπὶ τὰ ἀνατολικά.

majorem faciunt. Eumdem contrario stellis inerrantibus ac proprio motu ab occasu in ortum ferri volunt; interim dum ab inerrantium sphæra ab ortivis partibus in occiduas rapitur, ut his versibus testatur Euripides :

Ostenso enim astrorum contrario motu,
Populos servavi, et tyrannus consedi.

Nam Atreus contrarium motum planetarum reperit, ut et solis ab ortu tendentis ad occasum. Etenim quemadmodum si formica in exteriore rotæ ambitu contraria atque illa progressione ab occasu moveatur in orientem, accidet id quidem, uti rotæ circuitione ab oriente rapiatur occasum versus : suopte vero motu ab occasu in ortum. At nos proprium illius motum, quod lentissimus sit, ægre discernimus. Ob id oculos nostros effugit formicæ progressio, quod sit conversio illa rotæ citatior. Eodem modo et de sole cogitandum est, ut is formicæ instar sit, cœlum rotæ. Quod adeo in sphæra ipsa demonstrari potest. Nam si concipiamus animo primum Arietem exoriri, in eoque versari solem, post 30 dies ab Ariete transitum ab illo factum invenimus ad Taurum, qui ab Ariete proximus est. Igitur ab occiduis partibus ad orientales, non contra. ab orientalibus ad occiduas illum cieri deprehendimus. Quocirca dubium non est, moveri ipsum, ferrique proprio motu ab occiduis partibus in orientales.

83 *Περὶ σελήνης.* — *De luna.*

κα'. Τινὲς οὐδὲ ὅλως βούλονται εἶναι σελήνην. Ἄλλοι δὲ αὐτὴν ἐξ ἀναθυμιάσεως γῆς εἶναι λέγουσιν· ἕτεροι δὲ ἐκ πυρός· ἄλλοι καὶ ἀέρος· ἄλλοι ἐκ τῶν τεσσάρων στοιχείων· ἕτεροι δὲ γῆν πεπυρωμένην στερέμνιον, ἔχουσαν πῦρ· εἶναι δὲ ἐπ' αὐτῆς οἴκησιν ἄλλην, ποταμούς τε καὶ ὅσα ἐπὶ γῆς· καὶ τὸν λέοντα τὸν Νεμεαῖον ἐκεῖθεν πεσεῖν μυθολογοῦσιν. Ἐμπεδοκλῆς δὲ ἀπόσπασμα αὐτὴν φησιν ἡλίου. Σχῆμα δὲ αὐτῆς οἱ μὲν σφαιροειδὲς, οἱ δὲ δισκοειδές. Κατὰ μῆνα δὲ ἐκλείπει· ὡς μὲν Ἡράκλειτός φησιν, ὁμοίως τῷ ἡλίῳ τοῦ φωτοειδοῦς σχήματος ἀναστραφέντος· ἄλλοι δὲ τοῦ στομίου τοῦ τροχοειδοῦς, δι' οὗ ἐκπέμπεται τὸ φῶς, ἀποφραχθέντος· ὃς δὲ ἄλλοι, ὅταν περὶ τὸ κωνοειδὲς τῆς γῆς γένηται δύνουσα· ὡς δὲ οἱ πολλοὶ, κατὰ διάμετρον γενομένην ἡλίῳ. Γίνεται δὲ κατὰ μῆνα ἕκαστον. Γέννα δὲ σελήνης, καὶ ἀνατολὴ διαφέρει. Μετὰ γὰρ τρεῖς ἢ τέσσαρας τοῦ γεννηθῆναι ἡμέρας φαίνεται, καὶ οὐχ ἅμα τῷ γεννηθῆναι. Ἀνατέλλει δὲ οὐχ ὅλον τὸ φῶς ἔχουσα περιφερὲς, ἀλλὰ μηνοειδής· μέχρι δὲ τοῦ ἡμίσεως αὐξηθεῖσα γίνεται διχότομος. Ἐὰν δὲ τὸ δίμοιρον περιφωτισθῇ, καλεῖται ἀμφίκυρτος· πληρωθεῖσα δὲ γίνεται πλησίφαος, καὶ πανσέληνος, καὶ διχόμηνις· πεντεκαιδεκαταία γάρ ἐστι πληρωθεῖσα· ὃ ἐστιν ἥμισυ μηνὸς, διχαζομένων τῶν λ' ἡμερῶν. Καὶ πάλιν αὖ ἀπὸ τῆς πανσελήνου ἄρχεται μειοῦσθαι, καὶ γίνεται πρῶτον ἀμφίκυρτος, εἶτα διχόμηνις, εἶτα μηνοειδής. Ἄξιον δὲ ζητῆσαι τί δήποτε ἐπὶ τοῦ φωτὸς τῆς σελή-

21. Sunt qui lunam esse funditus negent. Alii terrenis exhalationibus constare putant; quidam ex igne; alii ex aere; nonnulli ex elementis quatuor exsistere; aliqui terram ignitam, solidam, et igne circumfusam esse sentiunt. Ad hæc aliam in ea regionem ad habitandum inesse, cum fluviis et cæteris, quæ in terra videntur. Indeque Nemees illum leonem delapsum esse fabulati sunt. Empedocles avulsam hanc a sole partem esse docuit. Figuram habet, ut quidam rati sunt, sphæræ, ut alii, disci similem. Deficit mense quolibet : quod Heraclitus, similiter atque in sole, fieri putat inversa splendente forma. Alii cavo illo circinatoque ore, per quod lumen emittitur, obstructo; quidam tunc accidere censent, cum circa terræ conum versatur occidens. Communis est opinio, id tum fieri, cum ex diametro soli est obversa. Hoc vero singulis mensibus evenit. Differt autem ab ortu lunæ nativitas. Quippe post tres quatuorve, quam est nata, dies apparet, non simul atque nata est. Cum oritur, non completum habet lucis orbem, sed falcatum. Exinde ad dimidium aucta, semiplena fit. Ubi besse collustrata est, ἀμφίκυρτος, id est gibbosa nominatur; absoluto jam orbe plena luna dicitur, et plenilunium; quod decimo quinto die accidit, hoc est dimidio mense, tricenis diebus bifariam partitis. Post id tempus minui incipit : ac primum dimidiato orbe major, tum dimidia fit,

Digitized by Google

inde falcata. Hic non absurde quæritur quâ de causa tot in luna species accidant. Respondent aliqui, cum circa terræ conum exsistit, id ei contingere. Velut si quis montem conscendens in ejus vertice consistat, totus e longinquo prospici poterit. Idem si ad partem alteram descenderit, iis, qui pone ipsum erunt, non jam totus apparebit; sed præter pedes primo reliquum corpus, tum paulatim magis magisque demittens sese videri totus desinet. Non secus in luna fieri censent; plena ut alias cernatur, alias parte sui lucida, cum est in cono terræ: non quod minuatur ipsa, sed quod nobis ita videatur. Verum qui speculi similem eam esse dicunt, defectiones ipsam experiri sentiunt; quibus efficitur ut interdum plena cernatur, alias lucis indiga. Quemadmodum qui sumpto speculo imaginis refractæ speciem in eo contueri velit, illud sibi ex adverso collocat. Ita quippe totum in eo vultum suum aspiciet; sin speculum ex obliquo respexerit, prout erit obliquatio, declinatioque speculi, bessem, aut semissem, aut exiguam aliquam vultus sui partem refractam videbit, pro eo quod speculum declinet. Eadem et lunæ ratio est. Huic opinioni subscripsisse putes Aratum, cum ita loquitur:

Semper aliunde alias declinans facies,

alludens ad speculi similitudinem. Sphæricæ figuræ esse mundum jam diximus, quem in orbem extrinsecus amplectitur cœlum; terra autem in medio sita, centri atque puncti rationem obtinet. Inter hanc cœlumque interjecta sunt æther, aer et aqua, sphærarum more invicem conserta. Mundum porro κόσμον ab ordine ac dispositione veteres appellarunt; sic Homerus:

Ordinare equos, et viros clypeatos;

item:

Cæterum ubi ordinati sunt cum ducibus singuli,

instructionem hoc verbo significans. Nam æther ἀπὸ τοῦ αἴθειν, quod est *ardere*, dicitur; est enim igneus, sive a verbo θεῖν, *currere* et incitate ferri, quoniam assidue circumagitur. Aer ab eo quod est ἄειν, hoc est flare, nomen accipit. Cœlum unde vocatum sit, paulo ante meminimus.

Hic a nonnullis quæritur, cur cum ignitæ sint stellæ, nequaquam nos suis ardoribus exurant. Respondemus, supra terram illas esse quidem, sed obscurari solis radiis, et hebetari. Quocirca sæpenumero de die, cum sol deficit, stellas intuemur. Rursus quæritur, si infixæ sunt cœlo stellæ, cur noctu et interdiu labi eas e cœlo videamus. Cui sic occurrimus: non ipsas cadere stellas, sed splendorem quemdam ex illis profluere; atque ut ventilati, aut agitati carbones coruscant magis ac scintillas evibrant, ita stellæ obscuræ sunt inter-

A νης ταῦτα τὰ σχήματα γίνεται. Πρὸς δὴ τοῦτο οἱ μὲν λέγουσι περὶ τὸν κῶνον αὐτὴν γινομένην τῆς γῆς τοῦτο πάσχειν. Ὥσπερ γὰρ εἴ τις εἰς ὄρος ἀναβαίη, καὶ ἐπὶ ἄκρου αὐτοῦ σταίη, ὅλος φαίνεται τοῖς ἄπωθεν οὖσι· κατιὼν δὲ ἐπὶ τὸ ἕτερον μέρος, τοῖς κατόπιν αὐτοῦ οὐκ ἔτι ὅλος φαίνεται· ἀλλὰ περὶ [a] τοὺς πόδας ἐφάνη ἐκεῖ· ἢ ἔτι μᾶλλον κατιὼν κατὰ βραχὺ, ἕως οὗ ὅλος ἀφανὴς γένηται· οὕτω φασὶ καὶ τὴν σελήνην ποτὲ μὲν πλήρη φαίνεσθαι, ποτὲ δὲ ἐκ μέρους, περὶ τὸν κῶνον γινομένην τῆς γῆς, οὐχὶ μειουμένην αὐτὴν, ἀλλ' ἡμῖν οὕτω φαινομένην. Οἱ δὲ λέγοντες αὐτὴν κατόπτρῳ παραπλησίαν εἶναι, ἐκλείψεις λέγουσι γίνεσθαι αὐτῆς, αἳ τοῦ ποτὲ μὲν πλήρη φαίνεσθαι αὐτὴν αἴτιαι γίνονται, ποτὲ δὲ ἐνδεᾶ φωτὸς εἶναι· ὥσπερ γὰρ εἰ κάτοπτρον λαβών τις ἐθέλοι τὴν ἀπ' B αὐτοῦ ἀνανάκλασιν τοῦ εἰδώλου θεάσασθαι, ἐξ ἐναντίας τοῦ προσώπου αὐτοῦ τὴν θέσιν τοῦ κατόπτρου ποιήσεται· τοῦτο γὰρ ποιήσας, ὅλον τὸ πρόσωπον αὐτοῦ θεάσεται ἐν τῷ κατόπτρῳ· εἰ δὲ πλαγιάσειε τὸ κάτοπτρον, πρὸς τὸν πλαγιασμὸν καὶ τὴν ἔγκλισιν τοῦ κατόπτρου ἢ τὸ δίμοιρον, ἢ τὸ ἥμισυ, ἢ βραχύ τι μέρος τούτου θεάσεται ἀνταναπλώμενον τοῦ προσώπου αὐτοῦ, τοῦ κατόπτρου ἐκκλινομένου· οὕτως καὶ ἐπὶ τῆς σελήνης. Ταύτῃ τῇ δόξῃ ἔοικέν Ἄρατος ἀκολουθεῖν· φησὶ γάρ·

Αἰεὶ δ' ἄλλοθεν ἄλλα παρεκκλίνουσα πρόσωπα,

τὸ τοῦ κατόπτρου παράδειγμα αἰνιττόμενος. Προείρηται δὲ ὁ κόσμος σφαίρας ἔχειν σχῆμα· ἔξωθεν μὲν κυκλοτερῶς περικείμενον ἔχων τὸν οὐρανὸν, μεσαιτάτην δὲ τὴν γῆν, κέντρου καὶ σημείου τάξιν ἐπέχουσαν· μεταξὺ δὲ αὐτῆς καὶ τοῦ οὐρανοῦ αἰθέρα τε αὐτὸν εἶναι, καὶ ἀέρα, καὶ ὕδωρ σφαιρικῶς ὑπ' ἀλλήλων ἐχόμενα. Κόσμον δὲ τὴν τῶν ὅλων σύστασιν παρὰ τὴν διακόσμησιν καὶ εὐταξίαν ἐκάλεσαν οἱ παλαιοί· ὡς καὶ Ὅμηρος·

Κοσμῆσαι ἵππους τε καὶ ἄνδρας ἀσπιδιώτας·

καὶ πάλιν·

Αὐτάρ ἐπεὶ κόσμηθεν ἀμ' ἡγεμόνεσσιν ἕκαστοι,

τὴν εὐταξίαν λέγων. Αἰθὴρ δὲ λέγεται ἀπὸ τοῦ αἴθειν· πυρώδης γάρ ἐστιν· ἢ ἀπὸ τοῦ ἀεὶ θεῖν καὶ ὁρμᾷν· ἐπειδὴ ἀεὶ περιφέρεται. Ἀὴρ δὲ ἀπὸ τοῦ ἄειν· ἄειν γὰρ τὸ πνεῖν. Οὐρανὸς δὲ ὅθεν ἐκλήθη, D προείρηται.

Ζητοῦσι δέ τινες, εἰ πυρώδεις εἰσὶν οἱ ἀστέρες, πῶς οὐ καίειν ἡμᾶς φαίνονται. Λέγομεν οὖν, ὡς εἰσὶ μὲν ὑπὲρ γῆς· καταυγάζονται δὲ ὑπὸ τοῦ ἡλίου, καὶ ἀμαυροῦνται. Ἐν γοῦν ἐκλείψεσι τοῦ ἡλίου πολλάκις ἀστέρες ὤφθησαν ἐν ἡμέρᾳ. Καὶ πάλιν ζητεῖται, εἰ ἐμπεπήγασι τῷ οὐρανῷ οἱ ἀστέρες, πῶς ὁρῶμεν ἐνίοτε νυκτὸς καὶ ἡμέρας καταφερομένους ἀστέρας. Φαμὲν δὲ, ὅτι οὐκ αὐτοὶ καταπίπτουσιν, ἀλλὰ φῶς τι ἐξ αὐτῶν ἀπορρεῖ· καὶ ὥσπερ οἱ ἄνθρακες ῥιπιζόμενοι, ἢ κινούμενοι λαμπρότεροι γίνονται, καὶ σπινθῆρας ἀποπέμπουσι· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀστέρες

[a] *f.* παρά.

Digitized by Google

ποτὲ μὲν ἀμυδροὶ, ποτὲ δὲ φαιδροὶ γίνονται· ἴσθ' ὅτε δὲ καὶ φῶς ἐξ αὐτῶν ἐκπέμπουσι.

Σχήματος τοίνυν σφαιρικοῦ περὶ τὸν κόσμον ὄντος, καὶ τῆς γῆς ἐν μέσῳ κέντρου τάξιν ἐπεχούσης, ὁ ἀπὸ τῆς περιφερείας τῆς σφαίρας τοῦ κέντρου αὐτῆς διήκων ἐπὶ τὴν περιφέρειαν ἄξων καλεῖται, περὶ ὃν στρέφεται ἡ σφαῖρα ἤτοι ἀφ' ἑαυτῆς, ἢ ὑφ' ἑτέρου κινουμένη. Ἀμφοτέραις γὰρ ταῖς δόξαις ὁ Πλάτων ἐν τῷ *Πολιτικῷ* κέχρηται.

Περὶ κύκλων, καὶ ὅτι ια'.

κβ'. Κύκλοι δέ εἰσιν ια'· ἔξωθεν μὲν τῆς σφαίρας δύο μέγιστοι, ὅ τε ὁρίζων καὶ ὁ μεσημβρινός· λοξοὶ δὲ δύο μέγιστοι, καὶ τοῖς προτέροις ἴσοι, ὁ ζωδιακὸς καὶ ὁ γαλαξίας· κόλουροι δὲ δύο καὶ αὐτοὶ μέγιστοι· παράλληλοι δὲ πέντε, ὧν ὁ μέσος κατὰ μέγεθος ἴσος τοῖς προειρημένοις. Ὥστε ὁρίζων καὶ ὁ μεσημβρινὸς ἴσοι εἰσὶ, διότι διὰ τοῦ κέντρου τέμνουσι τὴν σφαῖραν. Ῥητέον δὲ περὶ ἑκάστου.

Λέγεται δὲ ὁρίζων, διότι ὁρίζει τὸ ὑπὸ γῆν καὶ ὑπὲρ γῆν ἡμισφαίριον. Περὶ γὰρ τὴν σφαῖραν ἔξωθεν ὢν, τάξιν ἔχει τοῦ Ὠκεανοῦ, ὃς ἔξωθεν περικλύζει τὴν γῆν· ἀφ' οὗ ἀνατέλλειν, καὶ εἰς ὃν δύνειν δοκεῖ τὰ ἄστρα. Ὅθεν καὶ Νεοπτόλεμος ὁ Παριανὸς ἐν τῇ *Τριχθονίᾳ* φησί·

... τῷ πᾶσα περίῤῥυτος ἐνδέδεται χθών.

Ὅθεν καὶ Ἄρατος Ὠκεανὸν αὐτὸν καλεῖ διά τε τούτων καὶ ἄλλων·

Αὐτὰρ ὅγ' Ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
Ὅσσον ἀπ' Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
Καρκίνον εἰς ἀντιόντα.

Εἰκὸς δὲ αὐτὸν ἐξ Ὁμήρου τὴν ἀφορμὴν ἔχειν, λέγοντος,

Ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
Ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν·

καὶ,

Ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην.

Φιλόσοφοι δὲ καὶ γεωμέτραι ὁρίζοντα αὐτὸν καλοῦσιν, οἵδε δὲ καὶ Ἄρατος αὐτὸν ὁρίζοντα τὰ δύο ἡμισφαίρια· φησὶ γάρ·

... ἦχι περ ἄκραι
Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.

Τὸν δὲ ὁρίζοντα καὶ μεσημβρινὸν ἐντὸς εἶναι τῆς σφαίρας τῶν ὅλων νοητέον. Οὐδὲν γὰρ τῶν ὄντων αὐτῆς ἐστιν ἐκτός. Ὑπὲρ δὲ τοῦ παρακολουθῆσαι ἡμᾶς, ἐκτὸς εἶναι λέγονται εἰς τὸ ἐντὸς τῆς σφαίρας πέρας.

Ὁ δὲ μεσημβρινὸς παρελήφθη, ἵνα τὰ ἀπὸ τῆς ἀνατολῆς μέχρι τῆς δύσεως δεικνύῃ, καὶ ἵνα μάθωμεν, ὅτι κατὰ τοῦτον γινόμενος ὁ ἥλιος καὶ τὰ λοιπὰ ἄστρα ὑπὲρ γῆς μεσουρανεῖ· καὶ ὁ χρόνος οὗτός ἐστι μεσημβρία, μεσημερία τις οὖσα. Τοὺς δὲ λοξοὺς οἱ μὲν αἰσθητοὺς, οἱ δὲ πλείους τὸν γαλαξίαν μόνον εἶναι βούλονται· τοὺς δὲ λοιποὺς πάντας νοητούς.

Πόσον τὸ πλάτος τοῦ ζωδιακοῦ.

κγ'. Ὁ δὲ ζωδιακὸς λοξὸς ὢν περιφέρειαν ἔχει μεγίστην, διὰ τοῦ κέντρου τῆς σφαίρας τὴν περιγραφὴν

A dum, alias splendent; nonnunquam lumen ex seso jaculantur.

84 Jam vero, quoniam mundus sphærica figura præditus est, et in ejus medio centri locum occupat terra; axis in ea vocatur linea, quæ a sphæræ ambitu trajecta per centrum ad ambitum pertinet; quem circum sphæra volvitur, sive per sese, sive alterius impulsu. Nam utraque sententia exstat apud Platonem in *Politico*.

De circulis sphæræ, qui sunt numero XI.

22. Undecim sunt circuli, quorum maximi duo sunt extra sphæram, horizon et meridianus; obliqui sunt duo maximi, superioribus æquales, zodiacus et lacteus. Coluri duo sunt maximi et ipsi, paralleli quinque; quorum medius æqualis est B omnibus iis quos recensuimus. Horizon ergo et meridianus æquales sunt, quoniam per centrum dividunt sphæram. Atque ut de singulis agatur.

Horizon inde dictus est quod hemisphærium supra terram ab eo quod subter est, separat. Nam cum extrinsecus sphæræ circumpositus sit, velut Oceanus est circumquaque terram alluens, e quo stellæ nobis oriri, et in eum occidere videntur. Hinc Neoptolemus Parianus in *Trichthonia*:

.... cui tota circumflua illigatur terra.

Unde Aratus etiam Oceanum appellat hunc circulum cum in aliis, tum in istis versibus:

Porro iste Oceani tantum supereminet undam,
Quantum interest a Capricorno ascendente maxime
C *Cancrum ad assurgentem.*

Quod ex Homero expressisse videtur, cujus hæc verba sunt:

Incidit Oceano fax lucida solis,
Trahens noctem nigram super almam terram.

Item,

Sol exortus est relinquens præclarum lacum.

At philosophi et geometræ horizontem illum vocant, quem Aratus hemisphæria duo partiri memorat, cum ait:

.... ubi extremi
Miscentur occasus, et ortus invicem.

Præterea cogitandum est horizontem ac meridianum intra sphæram esse. Nam nulla res extra D ipsam est. Sed ut animo capere possimus, extra esse finguntur, et interiorem sphæram circumscribere.

Meridianus ad hoc assumitur, ut orientalem mundi partem ab occidua secernat, tum ut intelligamus solem ac reliqua sidera, cum ad illum pervenerunt, medium supra terram obtinere cœlum. Quod tempus μεσημβρίαν appellamus, id est meridiem, quasi μεσημερίαν. Obliquos circulos quidam aspectabiles omnes esse volunt; alii soli hoc lacteo tribuunt; cæteros aiunt intelligentia sola constare.

De zodiaci latitudine.

23. Zodiacus circulus obliquus maximum habet ambitum, isque a sphæræ centro describitur. Hujus

Digitized by Google

latitudo intervallo definitur quod a Capricorno ad Cancrum pertinet. Hoc spatium exprimere voluit Aratus his versibus:

Cæterum hic Oceani tantum supereminet undam,
Quantum est a Capricorno ascendente maxime
Ad assurgentem Cancrum.

Per hunc circulum commeare videntur planetæ septem sub tribus lineis. Qui quidem exprimitur in sphæra, ut itineris planetarum latitudinem agnoscamus. Nam planetæ quinque non una in linea circumferuntur. Quid igitur causæ est cur non duo circuli circuitus illius, sed tres in zodiaco descripti sunt? Nimirum quod quinque illi, quos diximus, planetæ latum id omne spatium, quod circulis duobus includitur, obeundo peragrant: sol autem non tantum ad dextram aut lævam deflectit, quantum illi quinque, sed inter duos istos limitaneos circulos medius movetur. Ob id heliacus ab hujus doctrinæ peritis appellatur; aut eclipticus, quod in eo solis eclipses accidant. Latum hunc circulum zodiacum ab duodecim signis nominant: quæ sunt, Aries, Taurus, Gemini, Cancer, Leo, Virgo, Libra, Scorpius, Sagittarius, Capricornus, Aquarius, Pisces. Quæ et idola vocantur, ut ab Arato:

Contra atque idola duodecim volvuntur.

85 Sed quæri non immerito potest, cur cum Cassiepea, et Andromeda, et alia simulacra composita sint e stellis, sola duodecim ζώδια nuncupentur, astra vero cætera. An quod plura in illo circulo quam alibi, sunt animalia, ideo zodia dicuntur? Sunt enim in sideribus reliquis, quæ non sunt ζώδια, hoc est animalium simulacra. An quia genethliaci hominum geneses, ac vitæ mortisque fatales exitus ex iis et discurrentibus per ea planetis inquirunt? an quia per eumdem circulum, eaque signa planetæ circuitus suos obeunt, nec a zodiaco digrediuntur? Sunt autem planetæ omnes animalia quædam, quod suapte sponte moveantur. Planetæ autem ab errore et vagatione dicuntur. Interdum etiam circulum istum ἄλησιν, id est *evagationem solis* appellant, ut Aratus:

Partim vero boreæ et evagationis solis
In medio sparguntur.

Hujus circuli summa est magnitudo. Cujus dimidia pars sub terra latet. Ideoque sex perpetuo supra terram interdiu eminent signa, totidemque nocte sub terram condita sunt. Quod Aratus his verbis aperit:

Sex perpetuo occidunt duodecimæ partes circuli.

Sic enim dodecatemoria signorum nominat. Nolo hic me quispiam interpellet, objiciatque: Si diebus singulis supra infraque terram par signorum numerus exsistat, cur non æquales sunt invicem dies? Nam hac de re tum agemus, cum de ortu cujuslibet signi verba faciemus.

[a] *f.* ζώδια.

ἔχων. Πλάτος δὲ ἔχει τῆς θέσεως τὸ ἀπὸ Αἰγοκέρωτος μέχρι Καρκίνου διάστημα. Τοῦτο τὸ πλάτος δηλῶσαι βουλόμενος Ἄρατός φησιν·

Αὐτὰρ ὅγ' Ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
Ὅσσον ἀπ' Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα,
Καρκίνον εἰς ἀνιόντα.

Δοκοῦσι δὲ δι' αὐτοῦ φέρεσθαι οἱ ἑπτὰ πλάνητες ἐπὶ τριῶν γραμμῶν. Δείκνυται δὲ ἐπὶ τῆς σφαίρας, ἵνα νοῶμεν τὸ πλάτος τῆς πορείας τῶν πλανήτων, καὶ ἡλίου, καὶ σελήνης· ἐπειδὴ οἱ πέντε μὴ ἐπὶ μιᾶς γραμμῆς ποιοῦνται τὴν περιφοράν. Τί οὖν δήποτε οὐ δύο κύκλοι, ἀλλὰ τρεῖς ἐσημειώσαντο ἐπὶ τῆς περιφορᾶς τὸν ζωδιακὸν κύκλον; Διότι οἱ προειρημένοι πέντε ἀστέρες τὸ μεταξὺ τῶν δύο κύκλων πλάτος περιφέρονται· ὁ δὲ ἥλιος οὐ τοσοῦτον παραβαίνει ἐπὶ τὰ δεξιὰ καὶ εὐώνυμα, ὅσον οἱ πέντε· ἀλλὰ τῶν τριῶν τούτων κύκλων, τῶν τὸ πλάτος τοῦ ζωδιακοῦ δεικνύντων ἡμῖν, κατὰ τὸν μέσον ὁ ἥλιος φέρεται. Διὸ καὶ ἡλιακὸς ὑπὸ τῶν ταῦτα δεινῶν προσηγόρευται, καὶ ἐκλειπτικός· ἐπειδὴ ἐν αὐτῷ αἱ ἡλιακαὶ ἐκλείψεις γίνονται. Τὸν δὲ προειρημένον πλατὺν κύκλον ζωδιακὸν καλοῦμεν ἀπὸ τῶν ἐν αὐτῷ ιβ' ζωδίων· ἃ ἐστι Κριὸς, Ταῦρος, Δίδυμοι, Καρκίνος, Λέων, Παρθένος, Ζυγὸς, Σκορπίος, Τοξότης, Αἰγόκερως, Ὑδροχόος, Ἰχθύες· καλεῖται δὲ καὶ εἴδωλα· ὡς καὶ Ἄρατος·

Ἐμπαλιν εἰδώλοις δυσκαίδεκα διρεύονται.

Ἄξιον δὲ ζητῆσαι, τί δήποτε τῆς Κασσιεπείας καὶ Ἀνδρομέδας, καὶ τῶν ἄλλων εἰδώλων ἐξ ἀστέρων συγκειμένων, τὰ ιβ' μόνον ζώδια, τὰ δὲ λοιπὰ ἄστρα καλεῖται. Μήποτε οὖν ἀπὸ τῶν πλεοναζόντων ἐν τῷ κύκλῳ ζῶα[a] λέγεται; ἔστι γὰρ ἐν τοῖς λοιποῖς ἄστροις, ἃ μή ἐστι ζώδια, τουτέστι ζώων εἴδωλα· ἢ πάλιν ὅτι οἱ γενεσιαλόγοι τὰς γενέσεις τῶν ἀνθρώπων, καὶ περὶ ζωῆς καὶ θανάτου, πρὸς ταῦτα σκοποῦσι, καὶ τοὺς περὶ αὐτὰ διερχομένους πλάνητας· ἢ ὅτι περὶ τὸν κύκλον, καὶ περὶ αὐτὰ οἱ ἑπτὰ πλάνητες περιφέρονται, οὐχ ὑπερβάλλουσι τὸν ζωδιακὸν κύκλον. Ζῶα δέ εἰσι καὶ οὗτοι οἱ ἑπτὰ πλάνητες, τῷ αὐτοκίνητοι εἶναι· πλάνητες δὲ καλοῦνται παρὰ τὴν ἄλην τὴν καὶ πλάνην. Ἔστι δ' ὅτε τοῦτον τὸν κύκλον καὶ « ἄλησιν » ὀνομάζουσιν « ἡλίου· » ὡς καὶ Ἄρατος·

Καὶ τὰ μὲν οὖν βορέω, καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται....

Ἔχει δὲ οὗτος ὁ κύκλος μέγεθος μέγιστον. Ἀεὶ δὲ τὸ ἥμισυ ὑπὸ γῆν ἔχει. Διὸ καὶ ἐξ ὑπὲρ γῆν ἀεὶ ἐν ἡμέρᾳ ἐστὶ ζώδια, καὶ ἐξ ὑπὸ γῆν ἐν νυκτί. Ἐπισημαίνεται δὲ τοῦτο καὶ Ἄρατος λέγων·

Ἓξ ἀεὶ δύνουσι δυωδεκάδες κύκλοιο.

Δυωδεκάδας γὰρ εἶπε τὰ δωδεκατημόρια τῶν ζωδίων. Μηδεὶς δὲ νῦν ὑποκρουέτω λέγων· Εἰ καθ' ἑκάστην ἡμέραν ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἴσα γίνεται ζώδια, πῶς οὐκ ἴσαι εἰσὶν αἱ ἡμέραι ἀλλήλαις ἀεί; Ἐροῦμεν γὰρ περὶ τούτου, ὅταν περὶ ἀνατολῆς ἑκάστου ζωδίου λέγωμεν.

Digitized by Google

Τούτου τοῦ κύκλου τοῦ ζωδιακοῦ τὸ μὲν βορειότερον μέρος ἐφάπτεται τοῦ θερινοῦ τροπικοῦ κατὰ τὸν Καρκίνον, τὸ δὲ νοτιώτερον τοῦ χειμερινοῦ τροπικοῦ κατὰ τὸν Αἰγοκέρωτα· τοῦ δὲ μεσαιτάτου τοῦ ἰσημερινοῦ κατὰ δύο μέρη, καὶ δύο ζώδια, κατά τε Κριὸν καὶ τὰς Χηλάς· καὶ δὴ τέμνει τὸν ἰσημερινὸν, καὶ τέμνεται ὑπ' αὐτοῦ. Ὅτε τοίνυν ἐπὶ τὰ βορειότερα ἀπὸ τῶν νοτιωτέρων ὑφοῦται ὁ ἥλιος, μέχρι Καρκίνου γίνεται. Διὸ καὶ θερμὸς ἡμῖν ὑποπίπτει, ἅτε πλησίον ἡμῶν ὤν. Ἐπέκεινα δὲ Καρκίνου οὐχ ὑφοῦται· ἀλλὰ προσιὼν ἐνταῦθα τρέπεται ἐπὶ τὰ νότια· καὶ καλεῖται θερινὴ τροπὴ τὸ ἐν τῷ Καρκίνῳ ὕψος τοῦ ἡλίου. Βούλονται δὲ τροπὴν αὐτὸν ποιεῖσθαι οἱ μὲν περὶ τὰς ἀρχὰς, οἱ δὲ περὶ ὀγδόην μοῖραν, οἱ δὲ περὶ ιβ', οἱ δὲ περὶ ιε' τοῦ Καρκίνου. Κατιὼν δὲ ἐπὶ τὰ νότια ὁ ἥλιος, ἐπὰν κατὰ τοῦ ἰσημερινοῦ γένηται, τότε ἰσημερίαν ποιεῖ. Ποιεῖ δὲ τοῦτο δὶς τοῦ ἐνιαυτοῦ· ἐπειδὴ καὶ δὶς ἐφάπτεται τοῦ ἰσημερινοῦ. Καὶ ἡ μὲν καλεῖται ἐαρινὴ, ἡ δὲ μετοπωρινὴ ἰσημερία· ἐαρινὴ μὲν ἐν Κριῷ, ὅτε ἐφάπτεται τοῦ ἰσημερινοῦ κύκλου· μετοπωρινὴ δὲ, ὅτε γίνεται ἐν Χηλαῖς, πάλιν ἐφαπτόμενος τοῦ ἰσημερινοῦ. Ἀπὸ δὲ Χηλῶν κάτεισι νοτιώτερος ἕως Αἰγοκέρωτος· τότε δὲ ἐφάπτεται ὁ ζωδιακὸς τοῦ χειμερινοῦ τροπικοῦ, καὶ ὁ ἥλιος πάλιν ἀπὸ τῶν ταπεινῶν ἐπὶ τὰ ὑψηλότερα τρέπεται· καὶ καλεῖται τροπὴ ἡλίου ἡ ἀπὸ ταπεινοτέρου ἐπὶ τὸ ὑψηλότερον πορεία. Ποτὲ δὲ Αἰγύπτιοι ἀπὸ Καρκίνου ἐπὶ Αἰγοκέρωτα τὸν ἥλιον κατιόντα ὁρῶντες, καὶ ἐκ μακροτέρων σμικρύνοντα τὰς ἡμέρας, ἐπένθουν, εὐλαβούμενοι μὴ καταβραχὺ καταλίπῃ αὐτοὺς ὁ ἥλιος· καὶ ἔστιν ὁ καιρὸς οὗτος ὁ παρ' αὐτοῖς τῶν καλουμένων Ἰσίων. Ἐπεὶ δὲ πάλιν ἀναβαίνειν ἤρξατο, καὶ μακροτέρας ποιεῖν τὰς ἡμέρας, τηνικαῦτα λευχειμονήσαντες ἐστεφανηφόρησαν. Οὗτος ὁ κύκλος, εἰ διαιρεθείη εἰς ὀκτὼ μέρη, τέσσαρα μὲν ἔξει ὑπὲρ γῆν, τὰ δὲ ἕτερα τέσσαρα ὑπὸ γῆν. Ὥστε ἴσον ἔχει ἀπὸ γῆν, καὶ ἴσον ὑπὲρ γῆν. Τέμνει δὲ τὸν ἰσημερινὸν, καὶ τέμνεται ὑπ' αὐτοῦ.

A Zodiaci circuli pars illa, quæ maxime vergit ad aquilonem, tropicum æstivum contingit in Cancro; quæ vero maxime est australis, hibernum tropicum tangit in Capricorno; medium amborum circulum æquinoctialem in duabus partibus, ac signis duobus, Ariete ac Libra. Quem eumdem circulum bifariam secat, et vicissim ab eo secatur. Igitur quando sol ab australibus partibus recedens boreales scandit, ad Cancrum usque pervenit. Propterea tunc nobis ardentior accidit, utpote propinquior. Ultra Cancrum non attollitur; sed eo cum accessit, ad austrum reflectitur; appellaturque conversio altitudo illa solis in Cancro. Hanc porro conversionem, sive solstitium alii initio Cancri fieri volunt; alii in octava parte; alii circa duodecimam; alii circa decimam quintam. Inde sol in austrum delapsus, cum æquinoctialem attigit, æquinoctium facit; idque bis quotannis, toties enim æquinoctialem attingit. Horum alterum æquinoctium vernum; alterum autumnale dicitur. Vernum fit in Ariete, ubi circulum æquinoctialem tangit. Autumnale in Libra; ubi rursus eumdem circulum attingit. A Libra deinceps in austrum magis ac magis recedit, adusque Capricornum, ubi zodiacus tropicum hibernum contingit: ac sol rursus a dejectioribus mundi partibus ad altiores convertitur. Quæ quidem ab inferioribus ad ardua migratio, solis conversio dici solet. Ægyptii quondam solem videntes a Cancro ad Capricornum descendere, ac longiores contrahentem dies, lugere consueverant, veriti ne paulatim sol eos relinqueret. Quod tempus incidebat in Isiorum festum. Simul atque vero conscendere cœperat, ac dierum spatia producere; tunc albati, coronatique prodibant. Postremo circulus iste si in octo partes tribuatur, harum supra terram quatuor emergent; reliquæ infra terram quatuor erunt occultæ. Ita ex æquo supra, infraque terram sese continet. Æquinoctialem autem secat, et ab eo vicissim secatur.

B

C

Περὶ τοῦ γαλαξίου.

κδ'. Ὁ δὲ γαλαξίας εἴρηται μὲν, ὡς ἔστιν ὁρατὸς, καὶ μόνος ἐπὶ τῆς σφαίρας αἰσθητὸς, τῶν ἄλλων ὄντων νοητῶν. Περὶ δὲ τούτου φησὶν Ἐρατοσθένης ἐν τῷ *Καταμερισμῷ* μυθικώτερον τὸν γαλαξίαν κύκλον γεγονέναι ἐκ τοῦ τῆς Ἥρας γάλακτος. Τοῦ γὰρ Ἡρακλέους ἔτι βρέφους ὄντος, καὶ τὸν μαστὸν τῆς Ἥρας ἐπισπασαμένου σφοδρότερον, ἐκείνην ἀντισπάσαι· καὶ οὕτω περιχυθέντος τοῦ γάλακτος, κύκλον γενέσθαι, παγέντος. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ Ἑρμοῦ λέγει γεγενῆσθαι Ἐρατοσθένης, ὡς ἄρα ὁ Ἑρμῆς τοῦ μαστοῦ τῆς Ἥρας ἐσπάσατο. Ἄλλοι δὲ ἐκ τῆς συμβολῆς τῶν δύο ἡμισφαιρίων λέγουσι αὐτὸν γεγονέναι. Ἕτεροι δέ φασιν, ὧν ἐστι καὶ Οἰνωπίδης ὁ Χῖος, ὅτι πρότερον κατὰ τούτου ἐφέρετο ὁ ἥλιος, διὰ δὲ τὰ Θυέστεια δεῖπνα ἀπεστράφη, καὶ τὴν ἐναντίαν τούτῳ πεποίηται περιφοράν, ἣν νῦν περιγράφει ὁ ζωδιακός. Ἔστι δὲ μυθῶδες τοῦτο καὶ ψεῦδος. Τί γὰρ ἐροῦσιν οἱ ταῦτα λέγοντες περὶ τῆς σελήνης καὶ τῶν πέντε ἀστέρων; Οὐ γὰρ δὴ καὶ οὗτοι διὰ τὰ Θυέστεια δεῖπνα ἀπεστράφησαν. Ἄλλοι δὲ ἐκ μικρῶν πάνυ, καὶ

De lacteo circulo

24. Lacteum circulum solum ex omnibus, qui in sphæra sunt, aspectabilem esse, ac sensu percipi jam diximus; cum cæteri sola intelligentia constent. De hoc fabulatur Eratosthenes in eo libro, qui *Καταμερισμός*, id est *Partitio*, inscriptus est; ex Junonis lacte ortum habuisse. Nam cum infans adhuc Hercules Junonis papillam vehementius exsugeret; eamque contra illa retraxisset, effusum esse lac, et 86 eo concrescente circulum esse factum; quod ipsum et Mercurio contigisse memoriæ prodit Eratosthenes, ut Junonis mammam traheret. Alii ex hemisphæriorum duorum commissura fieri censent. Alii, ut Œnopides Chius, asseverant, solem antea iter illac fecisse, donec propter Thyesteas epulas aversus, contrariam viam cœpit insistere, quam zodiacus modo describit. Sed hæc fabulosa sunt. Nam quid dicent qui ita sentiunt de luna, et quinque reliquis? Non enim ob Thyesteas dapes etiam isti sese reflexerunt. Sunt qui perexiguis ac crebris e stellis, quæ ob cœli a terra di-

D

Digitized by Google

stantiam coalescere videntur, confectum illum existimant : velut si quis minutis crebrisque salis micis aliquid inspergat. Sed nescio an non sit probabilius dictu, ex nubibus eum conflari sive condensationem aeris esse pellucentem, quæ circuli speciem habet. Hujus sane meminit Aratus his verbis :

Illud insigne, rotundum, lac ipsum nominant.

Lac enim ideo vocant, quod γαλαξίου, id est « lactei, » nomen versus ratio non admitteret. Cæterum a candore lactis ita nuncupatur. Est enim candidus et transparens. Qui sphæram, et zodiacum circulum, et æquinoctialem bifariam dividit, ab iisque mutuo dividitur, cum sit æqualis.

De quinque parallelis circulis.

25. Quinque sunt paralleli circuli : arcticus, qui ad aquilonem propius accedit, Ursas intra se et Draconem continens ; et ei oppositus australis, quem antarcticum vocant. Tropicus æstivus post arcticum ; hibernus tropicus post antarcticum. Quintus horum omnium medius est æquinoctialis, pari intervallo distans ab æstivo hibernoque tropico. Est autem arcticus minimorum unus, qui circa polum descripti sunt, medium ipsum, velut centrum, complectens, qui arcticus propter Ursas, quas comprehendit ; et borealis, quod ad eam mundi partem vergit, appellatur : idem apparens dicitur, quod semper eminet, nec occidit unquam. Huic oppositus australis æqualem cum eo situm habet, atque australem continet polum ; antarcticus autem ex eo nominatur, quod contra atque arcticus positus sit. Nam arcticus ad boream, iste ad austrum, situs est ; ille altissimus est in sphæra : hic maxime depressus. Ob id arcticus semper apparens est : alter apparet nunquam. Potest et antarctici nomen inde derivari, quod arctico ex æquo respondeat. Nam præpositio ἀντί, « æquale » significat ; ut ἀντίθεος, id est « æqualis Deo, » famulus. Idem et australis vocatur, estque semper occultus.

Tropicus æstivus inter arcticum et æquinoctialem situs est, ac solstitium æstivum in se continet. Nam cum sol in Cancro versatur, ubi illum attigit, æstivum solstitium facit. Ideo solstitialis æstivus dicitur. Est autem ut arctico major, sic æquinoctiali minor. Ac si quis ipsum in octo partes secundum Aratum dividat, erunt quinque supra terram, tres infra. Verba Arati :

Quinque in cœlo versantur supra terram.
Tres in imo : æstatis autem in eo sunt conversiones ;

quibus verbis ex octo partibus quinque illum habere supra terram, tres sub terra, significat. In hoc sphæræ situ, qui Hellesponti, Macedoniæ et Græciæ climati respondet, quando sol æstivum tropicum tenet, maximus dies horarum est 15 ; minima nox, 9 ; cum ubique noctis ac diei spatia simul sumpta

A πεπυκνωμένων, καὶ ἡμῖν δοκούντων ἡνῶσθαι, διὰ τὸ διάστημα τὸ ἀπὸ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν, ἀστέρων αὐτὸν εἶναί φασιν· ὡς εἴ τις ἁλσὶ λεπτοῖς τε καὶ πολλοῖς καταπάσειέ τι. Μήποτε μέντοι ἄμεινον αὐτὸν λέγειν ἐκ νεφῶν, ἢ πίλημά τι ἀέρος διαυγὲς εἶναι, κύκλου σχῆμα ἔχον. Μέμνηται δὲ αὐτοῦ καὶ Ἄρατος δι' ὧν φησιν·

Κεῖτο περίγληνον, τροχαλὸν, γάλα μιν καλέουσι.

Γάλα γὰρ αὐτὸν ὠνόμασε, διὰ τὸ μὴ δύνασθαι αὐτὸ ἐντεθῆναι εἰς ἔπος τοῦ γαλαξίου τὸ ὄνομα. Λέγεται δὲ ἀπὸ τῆς χροιᾶς τοῦ γάλακτος οὕτω· λευκὸς γὰρ καὶ διαυγὴς φαίνεται. Τέμνει δὲ δίχα τὴν σφαῖραν, καὶ τὸν ζωδιακὸν κύκλον, καὶ ἰσημερινόν· καὶ τέμνεται ὑπ' αὐτῶν, ἴσος αὐτοῖς ὤν.

B *Περὶ τῶν πέντε παραλλήλων.*

κε'. Οἱ δὲ παράλληλοί εἰσι πέντε, ἀρκτικὸς, ὃς ἐστι βορειότερος, ἐντὸς ἔχων τὰς Ἄρκτους καὶ τὸν Δράκοντα· καὶ ὁ τούτῳ ἀντικείμενος νότιος, ὁ ἀνταρκτικὸς καλούμενος· ὁ [καὶ] θερινὸς τροπικὸς μετὰ τὸν ἀρκτικόν· καὶ ὁ χειμερινὸς τροπικὸς μετὰ τὸν ἀνταρκτικόν· μέσος δὲ τούτων πέμπτος ὁ ἰσημερινὸς, τοσοῦτον ἀπέχων τοῦ θερινοῦ τροπικοῦ, ὅσον τοῦ χειμερινοῦ. Ἔστι δὲ ὁ ἀρκτικὸς τῶν ἐλαχίστων, καὶ περὶ τὸν βόρειον πόλον, ἐντὸς ἔχων μεσαίτατον τὸν πόλον ὡσπερεὶ κέντρον αὐτοῦ. Καλεῖται δὲ ἀρκτικὸς ἀπὸ τοῦ ἐντὸς ἔχειν τὰς Ἄρκτους· καὶ βόρειος, διὰ τὸ πρὸς βορέαν εἶναι ἀεί. Φανερὸς δέ ἐστι [a] διὰ τὸ ἀεὶ φαίνεσθαι, καὶ μὴ δύνειν. Ὁ δὲ τούτῳ ἀντικείμενος νότιος κατὰ τὴν θέσιν ἴσος μὲν ἔστιν αὐτῷ, περιέχει δὲ τὸν νότιον C πόλον. Λέγεται δὲ ἀνταρκτικὸς ἀπὸ τοῦ ἐναντίος κεῖσθαι τῷ ἀρκτικῷ· ὁ μὲν γὰρ ἀρκτικὸς κατὰ βορέαν, οὗτος δὲ κατὰ νότον ἐστί. Καὶ ὁ μὲν ἀρκτικὸς κατὰ τὴν σφαῖραν ὑψηλότατός ἐστιν, ὁ δὲ ταπεινότατος. Διὸ ὁ μὲν ἀρκτικὸς ἀειφανής ἐστιν· οὗτος δὲ οὐ φαίνεται ἡμῖν. Ἢ ὅτι ἴσος ἐστὶ τῷ ἀρκτικῷ, τῆς ἀνὰ προθέσεως τὸ ἴσον σημαινούσης, ὡς ἐν τῷ « ἀντίθεον θεράποντα. » Καλεῖται δὲ ἀνταρκτικὸς καὶ νότιος. Ἔστι δὲ ἀεὶ ἀφανής.

Ὁ δὲ θερινὸς τροπικὸς κεῖται μεταξὺ τοῦ ἀρκτικοῦ καὶ τοῦ ἰσημερινοῦ. Ἔχει δὲ ἐν ἑαυτῷ τὰς θερινὰς τροπὰς τοῦ ἡλίου. Ὅτε γὰρ ὁ ἥλιος ἐν τῷ Καρκίνῳ γένηται, ἐφαψάμενος αὐτοῦ, τὴν θερινὴν ποιεῖ τροπήν. Διὸ καὶ θερινὸς τροπικὸς κέκληται. Ἔστι δὲ τοῦ μὲν ἀρκτικοῦ μείζων· τοῦ δὲ ἰσημερινοῦ βραχύτερος. D Εἰ δέ τις αὐτὸν διέλοι εἰς ὀκτὼ μέρη κατὰ τὸν Ἄρατον, ἔσται μὲν αὐτοῦ πέντε μὲν ὑπὲρ γῆν, τρία δὲ ὑπὸ γῆν. Φησὶ δὲ περὶ αὐτοῦ οὕτως Ἄρατος·

Πέντε μὲν ἕρδια στρέφεται καθ' ὑπέρτερα γαίης.
Τὰ τρία δ' ἐν περάτῃ· θέρεος δέ οἱ ἐντροπαὶ εἰσιν·

ἀπὸ τῶν ὀκτὼ μερῶν δηλῶν τὰ πέντε ὑπὲρ γῆν ἔχειν, τὰ δὲ τρία ὑπὸ γῆν. Κατὰ ταύτην τὴν θέσιν τῆς σφαίρας, ἥτις κατὰ τὸ κλίμα τοῦ Ἑλλησπόντου καὶ τῆς Μακεδονίας ἐστὶ, καὶ τῆς Ἑλλάδος, τοῦ ἡλίου γενομένου ἐπὶ τοῦ θερινοῦ τροπικοῦ, ἡ μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ιε'· ἡ δὲ ἐλαχίστη ὡρῶν θ', πανταχοῦ τοῦ

[a] *f.* ἔστι.

Digitized by Google

ἡμερονυκτίου κδ' ὡρῶν ὄντος. Εἰ ὑποστησόμεθα οὖν ἐν ταῖς θεριναῖς τροπαῖς, ὥσπερ εἴπομεν, ιε' ὡρῶν τὴν μεγίστην ἡμέραν εἶναι, ἀκόλουθόν ἐστι βραχυτάτην τότε νομίζειν εἶναι τὴν νύκτα. Τοῦτο δὲ δῆλον ἔκ τε ἄλλων, καὶ ἐξ ὧν Ἄρατός φησιν. Εἰ γὰρ τὸ ἡμερονύκτιόν ἐστιν εἰκοσιτεσσάρων ὡρῶν, εἰς ἡ' δὲ μέρη τὸν θερινὸν τροπικὸν τέμνεσθαι δεῖ, ἕκαστον δὲ τμῆμα ὡρῶν γ' · τρὶς δὲ τὰ ἡ' κδ' · εἰ τοίνυν ἀπὸ τῶν ὀκτὼ τούτων μερῶν πέντε ἐστὶν ὑπὲρ γῆν · ἕκαστον δὲ τρισὶν ὥραις περιδινεῖται· τρὶς [7] τὰ πέντε γίνεται ιε' · πεντεκαίδεκα ὡρῶν γίνεται περιφορά. Εἰ δὲ ὑπὸ γῆν τρία μέρη ἐστὶ τότε· ἕκαστον δὲ τῶν τριῶν τρισὶν ὥραις περιδινεῖται· τρὶς δὲ τὰ τρία ἐννέα ἐστί· δῆλον, ὅτι ἔσται ἡ νὺξ ὡρῶν θ' · ἥτις ἐλαχίστη ἐστὶν ἐν τούτῳ τῷ κλίματι.

Ὁ δὲ χειμερινὸς τροπικὸς κεῖται μεταξὺ τοῦ ἀνταρκτικοῦ καὶ τοῦ ἰσημερινοῦ, ἐναντίος τῷ θερινῷ τροπικῷ, ἴσος αὐτοῦ ὑπάρχων. Ἐφάπτεται δὲ αὐτοῦ ὁ ζωδιακὸς κύκλος κατὰ τὸν Αἰγοκέρωτα· καθ' ὃν γενόμενος ὁ ἥλιος ποιεῖται χειμερινὰς τροπάς. Ἐκεῖ γὰρ γενόμενος, παυσάμενος τῆς καθόδου, πάλιν ἀνωτέρω ἄνεισι· διὸ καὶ τροπὴ αὐτοῦ λέγεται ἡ ἀπὸ Αἰγοκέρωτος ἐπὶ Καρκίνον ἄνοδος. Χειμερινὸς δὲ ἐκλήθη, ὅτι ἐν αὐτῷ γενόμενος ὁ ἥλιος ἐν Αἰγοκέρωτι χειμῶνα ποιεῖ ἀκρότατον. Ἴσος δὲ ὢν οὗτος ὁ χειμερινὸς τροπικὸς τῷ θερινῷ τροπικῷ, ἐτμήθη εἰς μέρη η', καθάπερ ἐκεῖνος. Τοὐναντίον οὖν ἐκείνῳ ἔξει ἀπὸ τῶν η' μερῶν πέντε μὲν ὑπὸ γῆν, τρία δὲ ὑπὲρ γῆν· ὡς γίνεσθαι τὴν ἡμέραν τότε ἐλαχίστην, ὅτε ἐν Αἰγοκέρωτι γενόμενος ὁ ἥλιος ἐφάπτεται τοῦ χειμερινοῦ τροπικοῦ · ἥτοι ὡρῶν θ' · τὴν δὲ νύκτα ὡρῶν ε' καὶ δέκα, κατὰ τὸν αὐτὸν λόγον τῷ θερινῷ τροπικῷ.

Ὁ δὲ ἰσημερινός, μεταξὺ τῶν πέντε παραλλήλων κείμενος, μείζων ἐστὶ τῶν ἄλλων τεσσάρων · ἐπειδὴ διὰ τοῦ κέντρου τὴν περιφέρειαν ἔχει. Ποιεῖ δὲ ἐν αὐτῷ ὁ ἥλιος τὰς προειρημένας δύο ἰσημερίας · ἐαρινὴν μὲν ἐν Κριῷ γενόμενος, μετοπωρινὴν δὲ ἐν Χηλαῖς. Ἰσημερινὸς δὲ λέγεται, ἐπειδὴ ἐν αὐτῷ τὰς ἰσημερίας ποιεῖ ὁ ἥλιος. Τμηθεὶς δὲ εἰς η', τέσσαρα μὲν ὑπὲρ γῆν, τέσσαρα δὲ ὑπὸ γῆν ἕξει μέρη · καὶ ἔστιν ἴσος τῷ ζωδιακῷ καὶ τῷ γαλαξίᾳ.

Ἴσως δ' ἄν τις ζητήσειε, πῶς ἔφαμεν ἐν μὲν θεριναῖς τροπαῖς γενόμενον τὸν ἥλιον ιε' ὡρῶν τὴν ἡμέραν ποιεῖν · ἐν δὲ χειμεριναῖς θ', ὁπότε ἐν τοῖς μηχανικοῖς ὡρολογίοις, καὶ ὑδρολογίοις ἀεὶ ἡ ἡμέρα ιβ' ὡρῶν φαίνεται. Λέγομεν οὖν, ὅτι, ὥσπερ πᾶς ἄνθρωπος πέντε δακτύλων ἔχει τὴν χεῖρα, παῖς τε καὶ ἀνήρ, οὐ μὴν ἴσους, ἀναλόγως καὶ ἐπὶ τῶν ἡμερῶν καὶ τῶν νυκτῶν πρὸς τὸ μέγεθος καὶ τὴν ταχυτῆτα ἔχειν φαμὲν τὰς ὥρας · καὶ μεγάλων μὲν μεγάλας, σμικρῶν δὲ σμικράς. Πρὸς οὖν τὰς χειμερινὰς ἡμέρας αἱ θεριναὶ μεγάλαι οὖσαι, ιε' ὥρας ἰσημερινῆς ἡμέρας διάστημα ἔχουσαι, εἰς ιβ' ἀναλόγως διῃρέθη [8]. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ νυκτῶν μεγάλων, καὶ μικρῶν, καὶ ἡμερῶν [9] μικρῶν σκόπει.

horas quatuor et viginti colligant. Igitur si in æstivo solstitio sumatur, uti dictum est, longissimus dies horarum 15; consequens est brevissimam esse tunc noctem. Atque hoc cum aliunde manifestum est, tum ex iis, quæ Aratus explicat. Nam si diei et noctis intervallum horarum est viginti quatuor : ac tropicum circulum in partes octo dividere oportet; quarum quælibet trium est horarum : cum ter octo sint viginti quatuor; quoniam ex octo partibus quinque supra terram eminent, et unaquæque tribus horis volvitur : sunt autem quinquies ter quindecim : necesse est quindecim horarum diurnum solis esse motum. Quod si tunc quinque sunt partes infra terram; quarum quælibet trium horarum spatio cietur : cum sint ter tria novem; perspicuum est noctem horis constare novem; quæ est in illo tractu brevissima.

Hibernus tropicus inter antarcticum circulum et æquinoctialem positus est, contra atque tropicus æstivus, cui 87 est æqualis. Hunc zodiacus in Capricorno contingit : in quo sol hibernum solstitium efficit. Illuc enim ubi pervenit, non ultra descendit; sed ascendere rursus incipit; propterea conversio illius dicitur a Capricorno ad Cancrum ascensio. Jam hibernus ideo nominatur, quod cum ibi sol in Capricorno versatur, summam hiemem facit. Cum autem tropicus hibernus æstivo sit æqualis, similiter atque hic in partes octo dividitur. Sed contrario, quam ille, modo de partibus octo quinque infra terram, tres supra terram habet; ut tunc brevissima dies sit, cum sol Capricornum transiens hibernum tropicum attingit; horarum videlicet novem : nox autem horarum quindecim : perinde ac tropico æstivo accidit.

Æquinoctialis circulus medius inter parallelos quinque, quatuor reliquis major est, quod a centro ducatur ejus ambitus. In eo sol duo facit æquinoctia, quæ supra memoravi : vernum cum est in Ariete : autumnale autem, in Libra. Æquinoctialis ei nomen est, quoniam in ipso æquinoctia fiunt a sole. Hic si in partes octo tribuatur, quatuor supra terram erunt; infra totidem; estque zodiaco æqualis et lacteo circulo.

Roget aliquis cur dixerimus, solem in æstivo solstitio constitutum horarum quindecim facere diem; in hiberno, novem : cum tamen in mechanicis horologiis et hydrologiis dies perpetuo horis duodecim constare videatur. Huic ita respondemus, quemadmodum homo quilibet tam puer quam vir, quinos in manu digitos habet; non tamen æquales : eamdem plane in diebus ac noctibus magnitudinis ac celeritatis rationem horas habere : adeo ut magnarum magnæ sint; parvarum itidem parvæ. Igitur æstivi dies hibernis majores intervallo constant horarum 15 æquinoctialium, quæ in duodecim proportione dividuntur. Idem ergo majoribus ac minoribus de noctibus, et majoribus ac minoribus diebus est judicium.

[7] *f.* τρὶς δέ. [8] *f.* διῃρέθησαν. [9] *Deest* μεγάλων, καί.

Digitized by Google

Paralleli quinque circuli vocantur translata a lineis appellatione, quas geometræ parallelas vocant. Ejusmodi nominantur ab iis lineæ, quæ in eodem plano positæ nulla parte in se invicem inclinant. Sed nos facilitatis gratia ab eo quod consequens est eos explicemus. Parallelos itaque circulos esse dicimus eos, qui a circumferentia ad circumferentiam eamdem undequaque latitudinem habent; etsi non æqualis inter omnes interjecta latitudo sit.

A Παράλληλοι δὲ ἐκλήθησαν οἱ ε' κύκλοι ἀπὸ τῶν παρὰ τοῖς γεωμέτραις παραλλήλων γραμμῶν. Παράλληλοι δὲ γραμμαὶ λέγονται παρ' αὐτοῖς αἱ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι, καὶ μὴ συμπίπτουσαι ἐπὶ μηδέτερα μέρη. Σαφηνείας δὲ ἕνεκα ἐκ τοῦ παρακολουθοῦντος εἴπωμεν. Φαμὲν οὖν, ὅτι παράλληλοί εἰσιν οἱ κύκλοι μεταξὺ ἀλλήλων ἀπὸ περιφερείας ἐπὶ περιφέρειαν τὸ ἴσον μὲν πλάτος ἔχοντες πανταχόθεν, οὐ μέντοι ἴσον καὶ τὸ πλάτος τὸ μεταξὺ αὐτῶν.

De zonarum a se invicem distantia.

26. Atque ut horum intervalla cognoscamus, dividatur sphæra per centrum, sic ut paralleli bifariam secentur, velut eos coluri dividunt; sitque circulus ille partium 60 hemisphæria, ergo singula triginta partium erunt. Igitur ab horizonte ad borealem polum sex erit partium intervallum, totidem, quot triginta sunt in hemisphærio superiore. Tanta est enim eminentis poli ab horizonte distantia. Siquidem centri instar est borealis polus ad ambitum arctici circuli. In omni autem circulo rectæ omnes a centro ductæ ad ambitum æquales sunt invicem. Intervallum ab arctico circulo ad tropicum æstivum partium erit quinque: ab æstivo tropico ad æquinoctialem partium quatuor; ab æquinoctiali ad hibernum tropicum, itidem quatuor; ab hiberno tropico ad horizontem, partium quinque; ab horizonte ad polum australem, et semper occultum, partes erunt sex; ab eodem australi polo ad inferiorem ambitum circuli antarctici, sex partes; ab antarctico circulo in hemisphærio inferiore ad horizontem, et contactum ejus atque arctici circuli, eadem qua in superiori proportione, reliquæ sunt partes octodecim. Nonnulli sphæram per polos dividentes, velut per coluros, intervalla parallelorum in latum non in partes 60, sed in 360 distribuunt; quandoquidem annus 365 diebus constat. Aiunt ergo dimidium ejus, sive superius hemisphærium, partes obtinere 180; totidem inferius. Ex quibus ab horizonte ad boreum polum, et altiorem ambitum circuli arctici, partes sunt 38; a boreo polo ad arcticum circulum partes aliæ 38; ab arctico ad æstivum tropicum, partes 24; a tropico æstivo ad æquinoctialem, partes 24; ab æquinoctiali ad hibernum tropicum, partes 24; hinc ad antarcticum, qui horizontem contingit, aliæ partes 32. Hæ omnes simul collectæ fiunt 180. Sic infra terram eodem modo partes totidem 180 numerantur. Possumus et parallelos istos rectos nominare. Qui ob id assumuntur, ut boreales australesque partes per 88 eas facilius agnoscamus: tum etiam conversiones hibernas et æstivas, nec non æquinoctiales vernas et autumnales.

Περὶ τῆς πρὸς ἀλλήλας τῶν ζωνῶν διαστάσεως.

κς'. Ἵνα δὲ καὶ τὰ μεταξὺ τούτων διαστήματα μάθωμεν, ἔστω τεμνομένη ἡ σφαῖρα διὰ τοῦ κέντρου αὐτῆς, ὥστε δίχα τέμνεσθαι τοὺς παραλλήλους, καθάπερ ὑπὸ τῶν κολούρων τέμνονται· καὶ ἔστω ὁ B κύκλος οὗτος μοιρῶν ξ'. Ἕκαστον οὖν ἡμισφαίριον ἀνὰ λ' μοιρῶν ἕξει. Ἀπὸ τοίνυν τοῦ ὁρίζοντος ἐπὶ τὸν βόρειον πόλον ἓξ μοιρῶν ἔσται διάστημα τῶν ὑπὲρ γῆν τοῦ ἡμισφαιρίου λ' μοιρῶν· τοσοῦτον γὰρ ἀπὸ τοῦ ὁρίζοντος ἐπὶ τὸν βόρειον πόλον ἐστὶ τὸ ἔξαρμα. Ἀπὸ μὲν γὰρ τοῦ βορείου πόλου ἐπὶ τὴν ἄνω περιφέρειαν τοῦ ἀρκτικοῦ κύκλου κέντρου τάξιν ἔχει ὁ βόρειος πόλος· ἀπὸ δὲ τοῦ μέσου κέντρου παντὸς τοῦ κύκλου αἱ ἐκβαλλόμεναι εὐθεῖαι εἰς τὴν περιφέρειαν πᾶσαι ἴσαι ἀλλήλαις εἰσί. Τὸ δὲ ἀπὸ τοῦ ἀρκτικοῦ κύκλου διάστημα ἐπὶ τὸν θερινὸν τροπικὸν ἔσται μοιρῶν ε'· τὸ δὲ ἀπὸ τοῦ θερινοῦ τροπικοῦ ἐπὶ τὸν ἰσημερινὸν ἔσται μοιρῶν δ'· τὸ δὲ ἀπὸ τοῦ ἰσημερινοῦ μέχρι τοῦ χειμερινοῦ τροπικοῦ ἔσται τῶν ἴσων τεσσάρων· τὸ C δὲ ἀπὸ τοῦ χειμερινοῦ τροπικοῦ μέχρι τοῦ ὁρίζοντος μοιρῶν ε'· ἀπὸ δὲ τοῦ ὁρίζοντος ἐπὶ τὸν νότιον πόλον, καὶ ἀεὶ ἀφανῆ, μοῖραί εἰσι ς'· ἀπὸ δὲ τοῦ αὐτοῦ νοτίου πόλου ἐπὶ τὴν κάτω περιφορὰν τοῦ ἀνταρκτικοῦ αἱ λοιπαὶ ἑξῆς ιη' μοῖραι· ἀπὸ δὲ[9] τοῦ ἀνταρκτικοῦ ἐν τῷ κάτω ἡμισφαιρίῳ μέχρι τοῦ ὁρίζοντος, καθὸ ἐφάπτεται ὁ ἀρκτικὸς κύκλος αὐτοῦ, ἀναλόγως τοῖς προειρημένοις ὑπὲρ γῆς εὑρεθήσονται[10]. Τινὲς δὲ, τέμνοντες τὴν σφαῖραν διὰ τῶν πόλων, ὥσπερ διὰ τῶν κολούρων, τὰ μεταξὺ τῶν παραλλήλων διαστήματα κατὰ πλάτος οὐκ εἰς ξ' μοίρας τέμνουσιν, ἀλλ' εἰς τξ'· ἐπειδὴ καὶ ὁ ἐνιαυτὸς τξε' ἐστὶν ἡμερῶν· καί φασιν ρπ' εἶναι μοίρας τὸ ἡμισυ, ἤτοι τὸ ὑπὲρ γῆς ἡμισφαίριον· καὶ πάλιν ρπ' τὸ ὑπὸ γῆν. Ἐξ ὧν ἀπὸ μὲν τοῦ ὁρίζοντος μέχρι βορείου πόλου καὶ τῆς περιφερείας τοῦ ἀρκτικοῦ κύκλου τῆς ὑψηλοτέρας εἰσὶ D μοῖραι λη'· ἀπὸ δὲ τοῦ βορείου ἐπὶ τὸν ἀρκτικὸν μοῖραι ἄλλαι λη'· ἀπὸ δὲ τοῦ ἀρκτικοῦ μέχρι τοῦ θερινοῦ τροπικοῦ μοῖραί εἰσι κδ'· ἀπὸ δὲ τοῦ θερινοῦ τροπικοῦ μέχρι τοῦ ἰσημερινοῦ μοῖραι κδ'· ἀπὸ δὲ τοῦ ἰσημερινοῦ ἕως τοῦ χειμερινοῦ τροπικοῦ μοῖραι κδ'· ἀπὸ δὲ τοῦ χειμερινοῦ ἕως τοῦ ἀνταρκτικοῦ, τοῦ ἐφαπτομένου τοῦ ὁρίζοντος, ἄλλαι εἰσὶ μοῖραι λβ'. Αὗται δὲ, ἐπὶ τὸ αὐτὸ γινόμεναι, ὡς εἴπομεν, ρπ' γίνονται. Ὁμοίως δὲ καὶ ὑπὸ γῆν κατὰ τὸν αὐτὸν τρόπον ἴσαι ἄλλαι ρπ' μοῖραι. Δύνανται δὲ οἱ παράλληλοι οὗτοι καὶ ὀρθοὶ καλεῖσθαι· παρελήφθησαν δὲ ὑπὲρ τοῦ εὐπαρακολούθητον ἡμῖν τὴν δεῖξιν γενέσθαι τῶν βορειοτέρων καὶ νοτιωτέρων· καὶ ὥστε γνῶναι ἡμᾶς τὰς χειμερινὰς, καὶ τὰς θερινὰς, καὶ τὰς ἰσημερινὰς, καὶ ἐαρινὰς, καὶ μετοπωρινὰς τροπάς.

[9] *Lrg.* ἀνταρκτικοῦ μοῖραί εἰσιν ἓξ· ἀπὸ δέ, etc. [10] *Leg.* ὑπὲρ γῆς αἱ λοιπαὶ ιη' μοῖραι εὑρεθήσονται.

Digitized by Google

Περὶ κολούρων.

κζ'. Οἱ δὲ κόλουροί εἰσι μὲν δύο ἀπὸ βορέου ἐπὶ νότον, διὰ τῶν πόλων τέμνοντες τὴν σφαῖραν καὶ τοὺς ἐν αὐτῇ πάντας ἄλλους κύκλους. Εἰσὶ δὲ μέγιστοι καὶ αὐτοί, ὡς ἂν διὰ τοῦ κέντρου τῆς σφαίρας ἠγμένοι. Τέμνουσι δὲ, ἵνα τὰς δ' ὥρας τοῦ ἐνιαυτοῦ ῥᾳδίως καταλαμβάνωμεν. Τεμνόντων γὰρ τούτων ἀλλήλους καὶ τὴν σφαῖραν, συμβήσεται εἰς τέσσαρα τετμῆσθαι· ὥστε ἕκαστον τῶν τεσσάρων τμημάτων μίαν ὥραν τοῦ ἐνιαυτοῦ ἔχειν. Καὶ ὁ μὲν αὐτῶν κατὰ Καρκίνον καὶ Αἰγοκέρωτα ἔχει τὴν περιφέρειαν· διὰ μὲν τοῦ ἑνὸς ἡμικυκλίου δεικνύων ἐν Καρκίνῳ θέρος, διὰ δὲ τοῦ ἑτέρου ἐν Αἰγοκέρωτι χειμῶνα. Ὁ δὲ κατὰ Κριὸν καὶ Χηλὰς τὴν περιφέρειαν ἔχει· καὶ δηλοῖ τὰς ἄλλας δύο ὥρας τὰς ἰσημερινάς· τὴν μὲν ἐαρινὴν ἐν Κριῷ, τὴν δὲ μετοπωρινὴν ἐν Χηλαῖς. Κόλουροι δὲ κέκληνται, διότι δοκοῦσιν ἡμῖν κολοῦσθαι ὥσπερ τὰς οὐρὰς, διὰ τὸ ἡμῖν μὴ φαίνεσθαι αὐτῶν τὰ ἐπὶ τοῦ ἀνταρκτικοῦ μέρη, καὶ δοκεῖν κολοῦσθαι αὐτοὺς κατὰ τοῦτο τὸ μέρος. Συμβέβηκε γὰρ τὰ μὲν ἀπὸ τοῦ ἀειφανοῦς κύκλου, τουτέστι τοῦ ἀρκτικοῦ, μέρη φαίνεσθαι· ταῦτα δὲ τὰ μέρη τῶν κολούρων κύκλων τὰ τοῦ ἀνταρκτικοῦ ἀεὶ ἀφανῆ εἶναι.

A

De coluris.

27. Duo sunt coluri a septentrione ad austrum per polos sphæram ejusque circulos omnes partientes. Iidem maximi sunt, ut qui per centrum sphæræ transeunt. Secant autem idcirco, ut anni tempestates quatuor facile discernamus. Nam cum sese mutuo dividant, sphæram ipsam quoque dividi necesse est in partes quatuor, adeo ut quodlibet e segmentis quatuor suam anni tempestatem obtineat. E coluris istis alterius ambitus per Cancrum et Capricornum ducitur, ac per semicirculum unum æstatem indicat in Cancro, per alterum hiemem in Capricorno. Alterius ambitus transit per Arietem et Libram, ac duas alias æquinoctiorum tempestates exhibet: vernam in Ariete; autumnalem in Libra. Qui coluri propterea vocantur, quia nobis velut cauda mutilati videntur, eo quod partes illorum ad polum antarcticum occultantur: quibus et mutilati videntur. Nam quæ semper apparente circulo, id est arctico, continentur, illorum conspicuæ sunt partes: quæ vero antarctico includuntur, semper occultæ.

B

Περὶ τοῦ ἄξονος.

κη'. Διήκει δὲ ὁ ἄξων ἀπὸ τοῦ κέντρου τοῦ ἀρκτικοῦ κύκλου διὰ τοῦ κέντρου τῆς σφαίρας ἕως τοῦ κέντρου τοῦ ἀνταρκτικοῦ. Παρείληπται δὲ, ἵνα γνῶμεν ὅτι περὶ αὐτὸν καὶ τὰ ἄκρα αὐτοῦ δινεῖται ὁ οὐρανός· ὥσπερ περὶ ἁρμάτειον ἄξονα δινοῦνται οἱ τροχοί. Τὴν δὲ ὕλην αὐτοῦ οὐκ ἐδίδαξεν ἡμᾶς Ἄρατος· ἀλλ' ὡς ἐν ποιήσει μυθικώτερον, ὥσπερ ὀβελίσκον αὐτὸν εἶπεν. Εἰ μὲν οὖν λέγοι τις αὐτοῦ τὴν ὕλην ἐκ πυρὸς, ἐλθὼν ἐπὶ τὴν τοῦ ὕδατος σφαῖραν σβεσθήσεται· ἢ ὑπὸ τῆς τοῦ πυρὸς σφαίρας καταφλεχθήσεται· εἰ δὲ ἐκ τῆς τῶν λοιπῶν, ἀέρος ἢ ὕδατος, ἀμιγὴς ἔσται τοῖς ἄλλοις, καὶ ὑπὸ τῶν ἐναντίων ἀφανισθήσεται. Γεωμέτραι δὲ αὐτὸν ὑποτίθενται γραμμήν τινα λεπτὴν, διήκουσαν ἀπὸ τοῦ κέντρου τοῦ ἀρκτικοῦ κύκλου μέχρι τοῦ ἀνταρκτικοῦ, καθάπερ εἴρηται. Οἱ δὲ φυσικοὶ φιλόσοφοι τὸ μεταξὺ διῆκον πνεῦμα λέγουσιν ἄξονα. Μέμνηται δὲ αὐτοῦ Ἐρατοσθένης ἐν τῷ *Ἑρμῇ* λέγων·

C

De axe.

28. Ab arctici circuli centro per sphæræ centrum, ad centrum aliud antarctici transit axis. Qui ob id assumptus est, ut intelligamus circum hunc et ejus extrema circumvolvi cœlum; perinde atque circum currus axem rotæ volvuntur. De hujus materia nihil nos Aratus docuit. Sed poetica licentia fabulosius loquens veruti instar esse dixit. Itaque sive quis illum ex igne, ceu materia, constare velit, cum per aquæ sphæram transeat, ibi restinguetur; aut ab ignis sphæra consumetur, sive ex aliorum elementorum materia, puta aeris aut aquæ, misceri cum aliis non poterit; et a contrariis delebitur. Proinde geometræ lineam esse dicunt exilem ab arctici centro ad centrum antarctici pertinentem, uti diximus. At physici spiritum, qui per interjectum spatium transit, axem putant esse. Cujus in *Mercurio* meminit Eratosthenes:

Αὐτὴν μέν μιν ἔτετμε μεσήρεα παντὶ Ὀλύμπου
Κέντρου ἀπὸ σφαίρας· διὰ δ' ἄξονος ἠρήρειστο.

Ipsam quidem secuit mediam prorsus Olympi,
Centro ab sphæræ; per axem vero fulciebatur.

D

Καὶ ὁ Ἄρατος λέγων·

Aratus quoque:

Αὐτὰρ ὄγ' οὐδ' ὀλίγον μετανίσσεται· ἀλλὰ μάλ' αὖτως
Ἄξων αἰὲν ἄρηρεν· ἔχει δ' ἀτάλαντον ἁπάντῃ
Μεσσηγὺς γαῖαν· περὶ δ' οὐρανὸς αὐτὸν ἀγινεῖ.

Porro hic ne minimum quidem declinat, sed plane immobiliter
Axis semper firmatus est; habetque libratam omnino
In medio terram; circum autem hunc cœlum se versat.

Ὀνόμασται δ' ἄξων διὰ τὸ περὶ αὐτὸν ἄγεσθαι, καὶ περιδινεῖσθαι τὸν οὐρανόν. Τὰ δὲ πέρατα αὐτοῦ πρὸς τοῖς κέντροις τοῦ τε ἀρκτικοῦ καὶ τοῦ ἀνταρκτικοῦ στι. Καλοῦσι δ' αὐτὰ πόλους ἀπὸ τοῦ περιπολεῖσθαι, καὶ στρέφεσθαι περὶ αὐτὰ τὸν οὐρανόν. Τούτων δὲ ὁ μὲν καλεῖται βόρειος, ἀεὶ φανερὸς ὤν· ὁ δὲ νότιος, ἀεὶ ἀφανής. Μέμνηται αὐτῶν καὶ Ἄρατος·

Axis vocabulum ideo meruit, quod circum ipsum agatur, volvaturque cœlum. Hujus extrema sunt in centris arctici et antarctici circulorum quos polos nominant, eo quod circum illa cœlum assidua vertigine torqueatur. Ex iis alter boreus dicitur, semper apparens: alter australis, semper occultus. Horum meminit Aratus:

Digitized by Google

Et hunc, inquit, *trajiciunt poli duo utrinque positi: Quorum alter videri non potest, alter oppositus a* [*septentrionibus Supra Oceanum. Duæ porro utrinque ipsum obtinent Ursæ, simul meantes.*

Observandum est autem masculino genere polos istos efferri. At Pythagorici boreales mundi partes dextras, australes sinistras nominant. Homerus autem dextra vocat quæ sunt ad orientem, sinistra quæ ad occidentem, his versibus:

Sive dextrorsum eant ad auroram, et solem,
Sive sinistrorsum istæ ad occasum caliginosum.

Sed in lignea sphæra extremitates axis illæ ultra sphæræ ambitum projectæ sunt. Quas tamen cogitandum est extima cœli superficie terminari, nec excedere.

De zonis quæ sunt quinque.

29. De zonis mentionem in *Phænomenis* Aratus non facit; alii, ut Eratosthenes, meminerunt. Igitur zonæ dicuntur interstitia parallelorum. Quæ quidem in cœlo pariter ac terra collocatæ sunt: quarum posteriores cœlestibus directe subjiciuntur. Quinque porro numerantur: **89** e quibus duæ sunt propter summum frigus inhabitabiles: atque harum australis altera est, altera borealis. De tribus inter ambas istas positis, duæ sunt temperatæ: una torrida. Temperatarum una borealis est; australis altera. Borealis inter arcticum circulum, et æstivum tropicum porrigitur; altera vero ab antarctico circulo, ad hibernum tropicum. Quæ ideo temperatæ sunt, quod nec intolerandum frigus, nec nimius illas calor infestet: quodque mediæ sint inter solis iter, algentesque zonas. Inter has omnes interjecta, ab æstivo tropico ad hibernum extenditur. Nam tantumdem patet in latum, quantum sol circuitu suo complectitur. Quæ propterea torrida dicitur, quod ardore igneo flagret; quatenus sol per eam assidue decurrit. Hanc alii negant habitari, affirmant alii. Meminit earum in *Mercurio* sic Eratosthenes:

Quinque porro zonæ in orbem circumdatæ flectuntur,
Quarum duæ glauco nigriores cyano.
Una est squalida, et igne velut rubens.
Eaque in medio sita, adusta penitus igne,
Ardoribus contacta . . . sub ipsam
Incumbentes radii fervidi semper exurunt.
Aliæ duæ utrinque ad polos accedentes,
Semper alsiosæ, ...
Neque tamen aqua; sed ipsa de cœlo glacies

Jacet . . . . Est autem perfrigida.
Sed hæc deserta sunt, et hominibus inaccessa loca:
Duæ sunt autem aliæ oppositæ invicem
In medio æstus, et pluviæ glaciei.
Ambæ temperatæ, et almam augentes
Frugem Eleusinæ Cereris. Utramque vero homines
Contrariis nixi vestigiis incolunt.

Hæc ille. Quæratur nunc utram nos ex temperatis duabus habitemus. Atqui videmus sole in Capricorno versante longius a nobis esse dissitum: et apud nos hiemem fieri; cum vero perve-

A *Καὶ μὴν πειραίνουσι δύο πόλοι ἀμφὶς ἐόντες·*
Ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος· ὁ δ' ἄντιος ἐκ βορέαο
Ὑψόθεν Ὠκεανοῖο. Δύω δέ μιν ἀμφὶς ἔχουσιν
Ἄρκτοι, ἅμα τροχόωσαι

Τηρητέον δὲ ὅτι ἀρρενικῶς λέγονται οὗτοι οἱ πόλοι. Οἱ δὲ Πυθαγόρειοι δεξιὰ μὲν τὰ βόρεια, ἀριστερὰ δὲ τὰ νότια καλοῦσιν. Ὁ δὲ Ὅμηρος δεξιὰ μὲν καλεῖ τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικά, διὰ τούτων·

Εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠώ τ' ἠέλιόν τε,
Εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα [41].

Ἐπὶ τῆς σφαίρας δὲ τῆς ξυλίνης ταῦτα τὰ ἄκρα τοῦ ἄξονος φαίνεται ὑπὲρ τὴν ἐπιφάνειαν τῆς σφαίρας ἐξέχοντα. Χρὴ δὲ νοεῖν συναποπαύεσθαι αὐτὰ τῇ
B ἐπιφανείᾳ τοῦ οὐρανοῦ, καὶ μὴ ἐξέχειν.

Περὶ ζωνῶν, καὶ ὅτι πέντε.

κθ'. Περὶ δὲ τῶν ζωνῶν Ἄρατος ἐν τοῖς *Φαινομένοις* οὐκ ἐμνήσθη· ἄλλοι δὲ, ὧν καὶ Ἐρατοσθένης, ἐμνημόνευσαν. Ζῶναι τοίνυν λέγονται τὰ μεταξὺ τῶν παραλλήλων κύκλων διαστήματα· εἰσὶ δὲ καὶ ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, αἳ κατὰ κάθετόν εἰσι τῶν ἐν τῷ οὐρανῷ. Πέντε δέ εἰσι πᾶσαι· ὧν δύο εἰσὶν ἀοίκητοι διὰ τὸ πάνυ κατεψύχθαι· καὶ ἡ μὲν λέγεται νότιος, ἡ δὲ βόρειος. Τῶν δὲ μεταξὺ τούτων τριῶν δύο μέν εἰσιν εὔκρατοι, μία δὲ διακεκαυμένη. Τῶν δὲ εὐκράτων ἡ μὲν ἔστι βορειοτέρα, ἡ δὲ νοτιωτέρα. Καὶ ἔστιν ἡ βορειοτέρα ἀπὸ τοῦ ἀρκτικοῦ κύκλου μέχρι τοῦ θερινοῦ τροπικοῦ· ἡ δὲ ἑτέρα ἀπὸ ἀνταρκτικοῦ μέχρι χειμερινοῦ τροπικοῦ. Εἰσὶ δὲ εὔκρατοι, τῷ μήτε
C ὑπὸ ἀκράτου ψύχους, μήτε ὑπὸ καύματος ἐνοχλεῖσθαι· καὶ τῷ εἶναι αὐτὰς μεταξὺ τῆς τοῦ ἡλίου πορείας καὶ τῶν κατεψυγμένων ζωνῶν. Ἡ δὲ τούτων μέση πασῶν ἔστιν ἀπὸ τοῦ θερινοῦ τροπικοῦ μέχρι τοῦ χειμερινοῦ τροπικοῦ· τοσοῦτον γὰρ πλάτος ἔχει, ὅσον καὶ ὁ ἥλιος περιέρχεται. Καλεῖται δὲ διακεκαυμένη, διὰ τὸ πυρώδης εἶναι, τοῦ ἡλίου δι' αὐτῆς τὴν πορείαν ἀεὶ ποιουμένου. Ταύτην δὲ, οἱ μὲν ἀοίκητον, οἱ δὲ οἰκεῖσθαι λέγουσι. Μέμνηται δὲ τῶν ζωνῶν τούτων καὶ Ἐρατοσθένης ἐν τῷ *Ἑρμῇ* λέγων·

Πέντε δὲ αἱ ζῶναι περιειλάδες ἐσπείρηνται·
Αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο
Ἡ δὲ μία ψαφαρή τε καὶ ἐκ πυρὸς οἷον ἐρυθρή.
Ἣ μὲν ἔην μεσάτη· ἐκέκαυτο δὲ πᾶσα πυρὶ [42]...
Τυπτομένη φλογμοῖσιν. Ἐπιρασμοῖραν ὑπ' αὐτὴν
Κεκλιμέροι ἀκτῖνες ἀειθερέες πυρόωσιν.
D *Αἱ δὲ δύο ἑκάτερθε πόλοις περιπεπτηυῖαι*
Αἰεὶ ψυχαλέαι, εἴθ' ὕδατι νοστέουσιν.
Οὐ μὴν ὕδωρ, ἀλλ' αὐτὸς ἀπ' οὐρανόθεν κρύ-
[*σταλλος*
Κεῖται ἀναπέσχε. Περίψυκτος δὲ τέτυκται.
Ἀλλὰ τὰ μὲν χερσαῖα, καὶ ἀμβατὰ ἀνθρώποισι·
Δοιαὶ δ' ἄλλαι ἔασιν ἐναντίαι ἀλλήλαισι
Μεσσηγὺς θέρεός τε καὶ ὑετίου κρυστάλλου.
Ἄμφω εὔκρητοί τε, καὶ ὄμπνιον αὐδήσκουσαι [43]
Καρπὸν Ἐλευσῖνης Δημήτερος. Ἐν δέ μιν ἄνδρες
Ἀντίποδες ναίουσι.

Ταῦτα μὲν Ἐρατοσθένης. Ζητήσωμεν δὲ τῶν δύο εὐκράτων ὁποτέραν ἡμεῖς οἰκοῦμεν. Ὁρῶμεν γὰρ ὅταν μὲν ὁ ἥλιος ἐν Αἰγοκέρωτι γένηται, πόρρω ἡμῶν ἀφέστηκε, καὶ χειμών ἐστι παρ' ἡμῖν. Ὅταν

[41] *Il.* M. [42] *f.* πυρὶ πρὸ. [43] *f.* ἀλδήσκουσαι.

Digitized by Google

δὲ ἐν Καρκίνῳ γένηται, ὃ ἐστι κατὰ διάμετρον τῷ Αἰγοκέρωτι, τότε πλησίον ἡμῶν ἐστι, καὶ καῦμα πολὺ παρ' ἡμῖν. Ὁ δὲ Καρκίνος τῶν ιβ' ζωδίων βορειότερός ἐστι. Δῆλον οὖν, ὅτι τὴν βόρειον οἰκοῦμεν ζώνην. Ἐν γὰρ Καρκίνῳ γενόμενος ὁ ἥλιος ἀριστερὸς ἡμῶν ἀνατέλλει, τὴν σκιὰν ἡμῶν εἰς τὰ δεξιὰ μέρη κλίνων· ὃ ἐστι σημεῖον ἐναργὲς τοῦ ἡμᾶς δεξιοὺς εἶναι τοῦ ἡλίου. Εἰ γάρ τις λύχνον ἅψας ἐν μέσῳ οἰκήματος θείη, ἐν δεξιᾷ δὲ αὐτοῦ σταίη· τὸ σκίασμα τοῦ ἑστῶτος οὐ πρὸς τὸν λύχνον, ἀλλ' ἐν δεξιᾷ τοῦ ἀνθρώπου τρέψεται. Εἰ τοίνυν καὶ ἡμῶν αἱ σκιαὶ ἐν δεξιᾷ ἡμῶν γίνονται, δῆλον, ὅτι ἀριστερὸς ἡμῶν ἐστιν ὁ ἥλιος. Ἀνάπαλιν δὲ τοῖς ἐν τῇ νοτίῳ ζώνῃ οἰκοῦσιν ἐν δεξιᾷ μὲν ἔστιν ὁ ἥλιος· ἐν ἀριστερᾷ δὲ αὐτῶν ἡ σκιὰ πρὸς νότον ἐκπέμπεται. Οὕτως οὖν ἀποδείκνυται ἡμᾶς τὴν βόρειον ζώνην τὴν εὔκρατον οἰκεῖν. Τινὲς δὲ καὶ ταῦτα περὶ τῶν ζωνῶν εἰρήκασι. Ζῶναί εἰσι τῆς γῆς ὑπὸ τοὺς παραλλήλους ὁμοίως πέντε· βόρειος, ὅλη μετέωρος, ἀοίκητος, κατεψυγμένη, Κρόνου, ἐξηκοστῶν μὲν ς', σταδίων δὲ δισμυρίων ,εσ'· τὸ γὰρ ἐξηκοστὸν σταδίων ἐστὶ ,δσ', θερινή, πλείονα ἔχουσα τὰ ὑπὲρ τὸν ὁρίζοντα· εὔκρατος, ἐν ᾗ ἐστιν ἡ καθ' ἡμᾶς οἰκουμένη· Διός, ἐξηκοστῶν ε', σταδίων δὲ δισμυρίων καὶ ,α· ἰσημερινή, ἴσον ἔχουσα τὸν ὑπὲρ γῆς ὁρίζοντα τῷ ὑπ' αὐτόν· ἀοίκητος, διακεκαυμένη· Ἄρεος, ἐξηκοστῶν μὲν η', ἐξ ἑκατέρου μέρους τοῦ ἰσημερινοῦ τεσσάρων· οὗτος γὰρ αὐτὴν ὅλην τὴν σφαῖραν τέμνει μέσην· σταδίων δὲ τρισμυρίων καὶ ,χ'· χειμερινή, ἀνάπαλιν τῇ θερινῇ, πλεῖον ἔχουσα τὸ ὑπὸ τὸν ὁρίζοντα, οἰκουμένη, εὔκρατος· Ἀφροδίτης, ἐξηκοστῶν ε', σταδίων δὲ δισμυρίων καὶ ,α· νότιος, ὅλη ἀφανής, ἀοίκητος, κατεψυγμένη· Ἑρμοῦ, ἐξηκοστῶν μὲν ς', σταδίων δὲ δισμυρίων ,εσ'. Ὡς εἶναι τὸ ὑπὲρ τὸν ὁρίζοντα περίμετρον τῆς γῆς ἐξηκοστῶν μὲν τριάκοντα, σταδίων δὲ μυριάδων ιβ' καὶ ,ς'. Καλοῦνται δὲ οἱ μὲν ἐπὶ τοῦ αὐτοῦ ἡμισφαιρίου βόρειοί τε καὶ νότιοι κατοικοῦντες αὐτόχθονες[16]· οἱ δ' ἐφ' ἑκάτερα τῶν ἡμισφαιρίων ὑπὲρ γῆς τε καὶ ὑπὸ γῆν, ἀντίποδες.

A nit ad Cancrum, qui a Capricorno tota diametro distat, appropinquare nobis, ac summum apud nos æstum exsistere. At Cancer duodecim signorum maxime borealis est. Perspicuum est ergo borealem a nobis zonam incoli. Nam sol cum est in Cancro sinister nobis oritur, umbram suam flectens ad dexteram. Quod argumento est nos ad dextram obversos esse soli. Etenim si quis lucernam accendens media in domo collocet, et ad dextram ejus stet, stantis ipsius umbra non ad lucernam, sed ad dextram hominis tendet. Quocirca cum umbræ corporum nostrorum dextræ sint nobis, manifestum est sinistrum quoque nobis esse solem. E contrario vero iis, qui in australi zona degunt, sol dexter est; ad sinistram vero illorum B umbra jacitur meridiem versus. Hac ratione demonstratur nos in temperata zona degere. Quidam etiam de zonis ista scripserunt. Zonæ sunt in terra sub parallelis similiter quinque : Borea, tota sublimis, inhabitabilis, frigida; Saturnia, sexagesima scrupula sex patens, quæ sunt stadia 25200. Nam scrupulum unum stadiis constat 1200. Æstiva, cujus parallelorum supra horizontem minora segmenta sunt. Temperata, in qua situs est orbis noster, ad Jovem pertinens quæ in sexagesima quinque porrigitur; stadia 21000. Æquinoctialis, cujus horizon æqualem facit infra supraque portionem : inhabitabilis, torrida : dicata Marti; quæ scrupula octo tenet, hoc est utrinque ab æquinoctiali quatuor. Hic enim sphæram totam in medio partitur. C Est autem stadiorum 33600. Hiemalis, contra quam æstiva majorem sub horizonte portionem relinquens; habitata temperata, attributa Veneri; in sexagesima quinque diffusa : quæ sunt stadia 21000. Australis non apparens omnino inhabitabilis, frigore rigens; Mercurii peculiaris, sexagesima sex obtinens : quæ stadia faciunt 25200. Ita dimidius supra horizontem ambitus terræ scrupula colligit triginta, stadia 126000. Porro qui in eodem hemisphærio hinc ad septentriones, inde ad meridiem habitant, antichthones vocantur; qui autem in diversis hemisphæriis supra infraque terram, antipodes

Περὶ τῶν ἐν ταῖς εὐκράτοις ζώναις οἰκούντων.

λ'. Τῶν δὲ ἐν ταῖς δυσὶν εὐκράτοις ζώναις οἰκούντων, ἵνα σαφέστερον διέλωμεν, οἱ μέν εἰσι περίοικοι, D οἱ δὲ ἀντοίκοι, οἱ δὲ ἀντίχθονες, οἱ δὲ ἀντίποδες· περίοικοι μὲν, ὅσοι τὴν αὐτὴν οἴκησιν οἰκοῦσιν· οἷον οἱ τὴν βόρειον οἰκοῦντες περίοικοί εἰσιν ἀλλήλοις· καὶ πάλιν οἱ τὴν νότιον περίοικοί εἰσιν ἀλλήλοις· ἀντοίκοι δὲ οἱ τὴν νότιον οἰκοῦντες τοῖς τὴν βόρειον οἰκοῦσι ζώνην. Καὶ ἀντοικουμένη ἐστὶν ἡ βόρειος τῇ νοτίῳ, καὶ ἡ νότιος τῇ βορείῳ· ἀντίχθονες δὲ οἱ κατὰ διάμετρον ἐν ταῖς ὁμοίαις ζώναις οἰκοῦντες· οἷον ἐν τῇ βορείῳ ἐν τῷ ὑπὲρ γῆς ἡμισφαιρίῳ· ὁμοίως δὲ καὶ ἐν τῷ νοτίῳ. Ἀντίποδες δὲ οἱ κατὰ διάμετρου ἐν ταῖς ἐναντίαις ζώναις οἰκοῦντες· οἷον τῶν πρὸς τῷ Καρκίνῳ οἰκούντων ἀντίποδές εἰσιν οἱ πρὸς τῷ Αἰγοκέ-

De his qui temperatas zonas incolunt.

30. Qui in temperatis duabus habitant, horum, ut distinctius explicemus, alii periœci vocantur; alii antœci; alii antichthones; alii antipodes. Periœci sunt qui eamdem habitationem incolunt. Exempli causa, qui borealem zonam occupant, periœci sunt invicem. Antœci sunt zonæ australis incolæ borealibus : estque australi opposita borealis habitatio, et australis boreali. **90** Antichthones sunt qui ex diametro similibus in zonis habitant, velut qui in boreali superioris hemisphærii degunt, et qui in australi. Antipodes sunt qui in zonis oppositis ex diametro siti sunt. Ita qui sub Capricorno versantur eorum sunt antipodes, qui Cancro subjacent. Igitur periœci noctes ac dies, et annuæ

[16] *Leg.* ἀντίχθονες.

Digitized by Google

tempestates habent easdem. Antœci eamdem invicem noctem habent, et diem : sed diversa solstitia. Nam sol in Cancro positus ut æstatem nobis, qui ad septentriones accedimus; sic illis, qui ad austrum vergunt, affert hiemem. Vicissim autem ad Capricornum delatus nobis hiemem septentrioni propinquioribus; ad austrum vero positis æstatem efficit. Rursus, cum sint æquinoctia duo, quando sol Arietem attigit, borealibus nobis vernum æquinoctium facit, antœcis autumnale. In Libra contra nobis autumnale, antœcis vernum æquinoctium parit. Post æquinoctium, quod fit nobis in Ariete vernum, sol ascendens, in Cancro nobis æstatem efficit, augetque dierum spatia; nocturna contrahit. Ab autumnali æquinoctio Libræ ad Capricornum delabens, apud nos dies imminuit, noctes producit; hiemem afferens; apud illos ut auget dierum intervalla, sic de nocturnis detrahit, æstatemque reddit. Atque ut uno verbo dicam, quidquid Cancer nobis efficit, hoc illis Capricornus; et quod nobis Capricornus, hoc illis Cancer; quod nobis Aries, hoc illis Libra : et e contrario. Antichthonibus alternant noctes et dies. Nam superioribus eorum ortu suo diem sol infundit : inferioribus noctem. Rursus nobis sol occasu suo noctem; sub terra conditis, diem oriendo restituit. Solstitia tamen et æquinoctia utrobique sunt eadem borealibus infra supraque positis. Ejusmodi sunt antichthones. Antipodes contraria et opposita vident omnia. Nam et cum dies est nobis, nox illis est; et cum apud illos æstas est, in orbe nostro fit hiems. Ad summam cum australis zonæ contrariæ incolis hiems aut dies accidit, tunc ils qui borealem incolunt, æstas et nox supervenit. Ita tam noctes et dies, quam solstitia, æquinoctia habitationesque e contrario antœci obtinent.

ἐστὶ καὶ νύξ. Ὥστε καὶ νύκτας δὲ, καὶ ἡμέρας, καὶ ἀντοίκοι ἔχουσιν.

ρωτι. Οἱ μὲν οὖν περίοικοι τὴν αὐτὴν ἔχουσιν ἀεὶ νύκτα, καὶ ἡμέραν, καὶ τὰς ἐτησίους ὥρας· οἱ δὲ ἀντοικοι τὴν μὲν αὐτὴν ἔχουσιν ἀλλήλοις ἡμέραν καὶ νύκτα, οὐ τὰς αὐτὰς δὲ τροπάς. Ἐν Καρκίνῳ γὰρ γενόμενος ὁ ἥλιος ἡμῖν μὲν θέρος, βορειοτέροις οὖσι, ποιεῖ, τοῖς δὲ νοτιωτέροις, χειμῶνα. Ὅταν δὲ ἐν Αἰγοκέρωτι γένηται, ἡμῖν μὲν χειμῶνα βορειοτέροις οὖσι, τοῖς δὲ τὴν νότιον οἰκοῦσι ζώνην θέρος ποιεῖ. Καὶ πάλιν τῶν ἰσημεριῶν δύο οὐσῶν, ἐν μὲν Κριῷ ἥλιος γενόμενος ἡμῖν μὲν ἐαρινὴν, τοῖς τὴν βόρειον, τοῖς δὲ ἀντοίκοις μετοπωρινὴν ἰσημερίαν ποιεῖ. Ἐὰν δὲ ἐν Χηλαῖς γένηται, ἡμῖν μὲν μετοπωρινὴν, τοῖς δὲ ἀντοίκοις ἐαρινὴν ἰσημερίαν ποιεῖ. Ἀπὸ δὲ τῆς τοῦ Κριοῦ ἰσημερίας τῆς παρ' ἡμῖν ἐαρινῆς ὁ ἥλιος ἀναβαίνων ἐν Καρκίνῳ θέρος μὲν ἡμῖν ποιεῖ, καὶ αὔξει τὰς ἡμέρας, τὰς δὲ νύκτας ἐλάττους ποιεῖ[18]· ἀπὸ δὲ τῆς ἐν Χηλαῖς ἰσημερίας ἐπὶ τὸν Αἰγοκέρωτα καταβαίνων, παρ' ἡμῖν μὲν μειοῖ τὰς ἡμέρας, καὶ τὰς νύκτας αὔξει, χειμῶνα ἀπεργαζόμενος· παρ' ἐκείνοις δὲ αὔξει τὴν ἡμέραν, καὶ τὴν νύκτα μοιεῖ[19], θέρος ποιῶν. Καθόλου δὲ εἰπεῖν, ὃ ἡμῖν ποιεῖ Καρκίνος, τοῦτ' ἐκείνοις Αἰγόκερως· ὃ δ' ἡμῖν Αἰγόκερως, τοῦτ' ἐκείνοις Καρκίνος· ὃ δ' ἡμῖν Κριὸς, τοῦτ' ἐκείνοις Χηλαί· καὶ τὸ ἀνάπαλιν. Οἱ δὲ ἀντίχθονες τὰς νύκτας καὶ τὰς ἡμέρας παρηλλαγμένας ἔχουσι. Τοῖς γὰρ ὑπὲρ γῆς ἀντίχθοσιν ἀνατέλλων ὁ ἥλιος ἡμέραν ποιεῖ, τοῖς δὲ ὑπὸ γῆν νύκτα. Καὶ πάλιν παρ' ἡμῖν δύνων ὁ ἥλιος νύκτα ποιεῖ· παρὰ δὲ τοῖς κάτω ἀνατέλλει ἡμέραν ποιῶν. Τροπὰς μέντοι καὶ ἰσημερίας τὰς αὐτὰς ἔχουσιν οἱ ἄνω βόρειοι τοῖς κάτω βορείοις· τουτέστιν οἱ ἀντίχθονες. Οἱ δὲ ἀντίποδες πάντα ἐναντία καὶ μαχόμενα ἔχουσιν· ὅτε μὲν γὰρ πρὸς ἡμᾶς νύξ ἐστι, παρ' ἐκείνοις ἡμέρα· καὶ ὅτε παρ' ἐκείνοις θέρος, ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ χειμών. Καὶ καθόλου ὅτε ἐν τοῖς νοτίῳ ζώνῃ ἀντοικοῦσι χειμὼν ἐστι καὶ ἡμέρα, τότε τοῖς ἐν τῇ βορείῳ οἰκοῦσι θέρος τροπὰς, καὶ ἰσημερίας, καὶ οἰκήσεις ἐναντίας οἱ

De umbrarum differentia, quæ in habitationibus variis incidunt, et quibusnam degant in locis.

31. In habitationum discrimine quidam dicuntur ascii, alii brachyscii, alii macroscii, quidam heteroscii, alii antiscii, alii amphiscii. Ascii sunt, quorum verticem sol incubat hora diei sexta. Ut enim si quis accensum torrem rectum statuat, ejus nulla reddetur umbra; sic nullam habent ii, quorum vertici medium cœlum tenens sol imminet. Tales sunt qui sub æquinoctiali degunt, qui sole Arietem vel Libram obtinente solem supra caput aspiciunt. Ferunt apud Syenen et Elephantinen umbram esse nullam hora diei sexta, cum in Cancro sol residet. Brachyscii, id est « brevis umbræ, » sunt a quibus parum sol distat; macroscii, « longioris umbræ, » sunt qui a sole longius distant; heteroscii, id est « uno latere umbram jacientes, » ii sunt, qui in nostro orbe versantur. Nam ad alterum latus

Περὶ διαφορᾶς τῶν ἐν ταῖς οἰκήσεσι σκιῶν, καὶ κατὰ πολους τόπους οἰκοῦσιν.

λα'. Τῶν δὲ ἐν ταῖς οἰκήσεσιν οἱ μέν εἰσιν ἄσκιοι, οἱ δὲ βραχύσκιοι, οἱ δὲ μακρόσκιοι, οἱ δὲ ἑτερόσκιοι· οἱ δὲ αὐτόσκιοι[17], οἱ δὲ ἀμφίσκιοι. Ἄσκιοι μὲν οἱ κατὰ κορυφὴν ὥρᾳ ἕκτῃ τὸν ἥλιον ἔχοντες. Ὥσπερ γὰρ, εἴ τις δαλὸν ἀνάψας ὀρθὸν στήσειε, τούτου οὐκ ἂν γένοιτο σκιά· οὕτως οὐδὲ τῶν ὑπὲρ κορυφῆς ἐχόντων τὸν ἥλιον μεσουρανοῦντα γένοιτο ἄν. Εἰσὶ δὲ οὗτοι οἱ τὸν ἰσημερινὸν οἰκοῦντες· οὗτοι, ἡλίου γενομένου ἐν Κριῷ ἢ ἐν Χηλαῖς, τότε κατὰ κορυφῆς ἔχουσι τὸν ἥλιον. Φασὶ δὲ ἐν Συήνῃ καὶ Ἐλεφαντίνῃ ἀσκίους γίνεσθαι, ὅτε ὁ ἥλιος γίνεται ἐν Καρκίνῳ περὶ ὥραν ἕκτην. Βραχύσκιοι δὲ οἱ τὸν ἥλιον ὀλίγον ἀφεστῶτα ἔχοντες· μακρόσκιοι δὲ οἱ πόῤῥω αὐτὸν ἔχοντες· ἑτερόσκιοι δὲ οἱ ἐν ταύτῃ τῇ οἰκουμένῃ οἰκοῦντες, ἐπειδὴ ἐπὶ τὸ ἕτερον μέρος ἡ σκιὰ ἡμῶν τρέπεται· λέγω δὲ ἐν δεξιᾷ ἐπὶ τὸ βόρειον. Ὁμοίως

[18] *Deest* opposita pars divisionis. [19] *Leg.* μειοῖ. [17] *Cor.* ἀντίσκιοι.

Digitized by Google

δὲ καὶ οἱ ἀντοικοι ἑτερόσκιοί εἰσιν· ἐπειδὴ καὶ τούτων ἡ σκιὰ ἐπὶ τὸ ἀριστερὸν μέρος τὸ νοτιώτερον τρέπεται. Ἀντίσκιοι δὲ οἱ ἐν τῷ βορείῳ [18]· ἐπειδὴ ἐναντίας τὰς σκιὰς ἔχουσιν· οἱ μὲν εἰς τὰ δεξιὰ μέρη αὐτῶν, οἱ δὲ εἰς τὰ ἀριστερά, διὰ τὸ μέσον εἶναι αὐτῶν τὸν ἥλιον. Ἀμφίσκιοι δὲ γίνονται οἱ μὲν τὸν ἰσημερινὸν κύκλον οἰκοῦντες. Οἱ δὲ αὐτοὶ καὶ ἄσκιοι. Ὅτε μὲν γὰρ ὑπὲρ κορυφῆς αὐτῶν ἐστιν ὁ ἥλιος, ὡς εἴπομεν, ἄσκιοί εἰσιν· ὅτε δὲ ἀφίσταται αὐτῶν ἀπὸ Κριοῦ εἰς Ταῦρον καὶ τὰ ἑξῆς ζώδια, τὴν αὐτὴν σκιὰν ἔχουσιν ἐπὶ τὰ εὐώνυμα μέρη· ὅτε δὲ ἀπὸ ἰσημερίας τῆς ἐν Χηλαῖς ὁ ἥλιος γένηται ἐν Σκορπίῳ καὶ τοῖς ἑξῆς ζωδίοις, τότε ἡ σκιὰ αὐτῶν ἐπὶ τὰ δεξιὰ μέρη ἐκπέμπεται. Ὥστε συμβαίνειν τοὺς τῇδε οἰκοῦντας ποτὲ μὲν ἀσκίους γίνεσθαι, ὅταν, ἐν Χηλαῖς ἢ Κριῷ ὁ ἥλιος ὢν, κατὰ κορυφῆς αὐτῶν ᾖ· ποτὲ δὲ ἐν ἀριστερᾷ ἔχειν τὴν σκιὰν, ὅτε ἐν Σκορπίῳ καὶ τοῖς ἑξῆς ὁ ἥλιος γίνεται. Τινὲς δὲ καὶ περισκίους τοὺς περὶ αὐτοὺς κύκλῳ ἔχοντας τὴν σκιὰν εἶναι βούλονται.

A umbra nostra projicitur : videlicet dextrum et boreum. Sic antœci heteroscii sunt, quippe illorum umbra sinistrum ad latus et australe dirigitur. Antiscii borealibus sunt australes, quia contrarias habent umbras ; illi dextrum ad latus, hi ad sinistrum, quoniam medius sol ambobus interjectus est. Amphiscii, id est, ad utrumque latus umbram habentes, sunt æquinoctiali circulo subjecti. Iidem et ascii, id est umbræ prorsus expertes. Nam cum supra verticem illorum sol est, fiunt, ut diximus, ascii ; cum ab iis recesserit, puta ab Ariete ad Taurum et consequentia signa, eamdem nobiscum habent umbram ad sinistrum latus. Sed cum ab æquinoctio, quod in Libra fit, sol ad Scorpium et alia signa transitum facit, tunc dextrorsum illorum umbra mittitur. Ita fit, ut illius regionis incolæ interdum ascii sint, cum in Libra vel Ariete sol vertici illorum insidet : alias sinistra iis umbra fiat quando sol Scorpium et consequentia signa peragrat. Sunt qui periscios illos esse dicant, quorum in orbem circumquaque umbra jacitur.

B

Πρῶτος δὲ Παρμενίδης περὶ τῶν ζωνῶν ἐκίνησε λόγον. Περὶ δὲ τοῦ ἀριθμοῦ αὐτῶν πολλὴ διαφωνία τοῖς μετ' αὐτὸν γέγονεν· οἱ μὲν γὰρ ἓξ αὐτὰς εἶπον· ὡς Πολύβιος, καὶ Ποσειδώνιος, τὴν διακεκαυμένην εἰς δύο διαιροῦντες· οἱ δὲ πέντε παρέλαβον· ὥσπερ Ἐρατοσθένης καὶ ἄλλοι πολλοί, οἷς καὶ ἡμεῖς κατηκολουθήσαμεν. Περὶ δὲ οἰκήσεων πάλιν, καὶ τῶν ἐνοικούντων, καὶ ὀνομάτων, γέγονε πολλὴ ταραχὴ, καὶ περὶ ἀντιχθόνων, καὶ ἀντιπόδων.

Primus de zonis Parmenides dicere instituit. De quarum numero magna dissensio est. Nam alii sex numerant, ut Polybius et Posidonius, qui torridam in duas dividunt ; quinque malunt alii, e quibus est Eratosthenes, et nos iisdem subscripsimus. Sic de habitationibus, et earum incolis, eorumque nominibus haud levis conflictus est, ut et de antichthonibus et antipodibus.

C

Περὶ μεταρσίων καὶ μετεώρων.

91 *De iis quæ* μετάρσια *et* μετέωρα *dicuntur.*

λβ'. Διαφέρει μεταρσίων μετέωρα· ἢ τὰ μὲν μετέωρα ἐν οὐρανῷ καὶ αἰθέρι ἐστίν· ὡς ἥλιος, καὶ τὰ λοιπὰ, καὶ οὐρανὸς, καὶ αἰθήρ· μετάρσια δὲ τὰ μεταξὺ τοῦ ἀέρος καὶ τῆς γῆς· οἷον ἄνεμοι, νεφέλαι, ὄμβροι, ἀστραπαὶ, βρονταὶ, κομῆται, δοκίδες, πωγωνίαι, λαμπάδες, ἶριδες, ἅλωες, διάττοντες, ῥυμοὶ, ῥύακες. Λεκτέον δὲ περὶ μεταρσίων· περὶ γὰρ μετεώρων προείρηται. Πρῶτον δὲ περὶ ἀνέμων εἴπωμεν.

32. Differunt a meteoris quæ μετάρσια nominantur : nam meteora in cœlo sunt et æthere : velut sol, et id genus cætera, cœlum, æther ; metarsia, quæ aerem inter et terram accidunt : ut venti, nubes, imbres, fulgura, tonitrua, cometæ, trabes, barbatæ stellæ, faces, irides, areæ, transvolantes stellæ, temones, profluvia. De iis quæ μετάρσια vocantur, agendum nobis est. Nam de meteoris jam diximus. Ac prius de ventis.

Περὶ ἀνέμων, καὶ ὅτι διαφέρει αὖρα ἀναθυμιάσεως.

De ventis, deque auræ et exhalationis discrimine.

λγ'. Ἀναξίμανδρος τοίνυν ῥύσιν ἀέρος τὸν ἄνεμον εἶπε· τινὲς δὲ ἀναθυμίασιν ἀέρος. Ἄλλοι δὲ διαφέρειν ἄνεμον λέγουσιν αὖρας· ἄνεμον γὰρ εἶναι ῥύσιν ἀέρος· αὖραν δὲ ἀναθυμίασιν γῆς. Καὶ τοὺς μὲν ἐκ νεφῶν λέγουσιν εἶναι ἀνέμους, καὶ καλεῖσθαι « ἐκνεφίας· » τοὺς δὲ ἀπὸ γῆς φερομένους ἀπογείους· τοὺς δὲ ἀπὸ ποταμῶν ἐνυδρίας· τοὺς δὲ ἀπὸ κόλπων κολπίας· ἀπὸ δὲ ὀρῶν ὀρίας, ἢ ὀρεστίας· καὶ γὰρ παρὰ Ἀριστοτέλει ἐν τῷ *Περὶ ἀνέμων*, καὶ παρὰ Καλλιμάχῳ οὕτως ὀνομάζονται. Ὥστε καὶ ἀπὸ τόπων τινῶν φασί τινας λέγεσθαι· οἷον Καικίαν τὸν ἀπὸ Κάϊος [19] ποταμοῦ πνέοντα· καὶ Σκείρωνα τὸν ἀπὸ Σκειρωνίδων πετρῶν. Τινὲς δὲ ἀπὸ ὁρμῆς ὠνομάσθησαν, ὡς σφοδρῶς ῥέοντες· καὶ οἱ μετὰ παλμοῦ τινος,

33. Anaximander fluentem aerem dixit esse ventum ; alii exhalationem aeris. Alii ventum ab aura discrepare volunt : quippe ventum aiunt esse fluentem aerem ; auram vero terrenam exhalationem. Ventorum porro alios e nubibus prodire putant, et vocari « ecnephias ; » alios e terra excitatos ἀπογείους : qui e fluminibus oriuntur, aquatiles, qui a maritimis sinibus, κολπίας, a montibus ὀρίας vel ὀρεστίας ; quomodo ab Aristotele in libro *De ventis*, et Callimacho nominantur. Sic a locis quidam nomen accipiunt : ut Cæcias a Caico fluvio spirans ; et Sciron a Scironicis scopulis. Nonnullis ab impetu nomen inditum : ut qui vehementius ingruant ; et qui quadam cum vibratione ac sub-

D

[18] *Deest aliquid, puta* τοῖς ἐν τῷ νοτίῳ. [19] *f.* Καΐκου.

Digitized by Google

sultu feruntur, procellæ. Alii a specie dicuntur : velut qui quadam vertigine volvuntur, appellanturque turbines. Item qui ab imo sursum attolluntur, presteres. Scripsit de ventis etiam Eratosthenes. At cardinales venti sunt quatuor : e quibus ille, qui ab ortu flat, subsolanus dicitur; qui ab arctico polo, boreas; qui ab antarctico, auster; ab occasu, zephyrus. Nam ζέφος poetice occasum significat.

De cometis.

34. De cometis et trabibus scripsere complures : velut Demetrius. Locus eorum est in aere, non in cœlo. Ex iis quorum lumen deorsum respicit, ut versus eam partem coruscare videantur, « cometæ » nominantur; quorum splendor sursum vergit, « faces; » cum lux tractim producitur, « trabes; » quando roscidum lumen apparet, « iris » dicitur. Quando solem ambit circulus : cujusmodi nonnunquam duo tresve fiunt : unde et Aratus dixit « triplicatam aream, » vocatur ἅλως, id est « area. » Si ab astris ignis ad inferiora propellatur, « temones, » et « profluvia » nuncupantur. Qui subsultim huc et illuc agitantur, « salientes » et « transilientes : quid fit stellis vento concussis, et quasi scintillas emittentibus. Hinc illud ventorum præsagium facere docet Aratus. Ad hæc « præsepe » vocant nubem quamdam circa Cancrum conglobatam et splendidam, ut Aratus significat : cui consentaneum est, quod in eadem parte stellæ quædam circa Cancrum, « asini » dicuntur. Porro cometas et id genus alia, quidam e stellis densatis et illuminatis oriri sentiunt : alii ex nubibus undique collustratis; nonnulli ex affrictu succendi volunt. Neque vero semper apparent, sed certis intervallis temporum. Cæterum nubes inter se collisæ tonitrua faciunt; fissæ vero, et cum impetu ac vehementia flatum emittentes, fulmina : cum agitatione flatus accenditur; fulgura vel e nubibus ipsis oriuntur, accenso igne ac restincto : vel splendor est ex igne coruscans. Imbres ex madido vapore, et humidis nubibus exsistunt. Hæc summatim de aeris affectionibus, quæ μετάρσια nominant.

De positu sphæræ.

35. Sphæræ situs, quod ignorare non oportet, haud unius generis est, sed pro terræ inclinationibus varii sunt sphæræ situs. E quibus paucos perstringemus : et ad Arateæ sphæræ positum postea veniemus. Est igitur situs inprimis Hellesponti, ac Macedoniæ climati congruens. Cum enim apud Antigonum Macedoniæ regem esset Aratus, ad illius loci clima apparentium doctrinam exegit omnem. Porro quoties poli horizontem contingunt, accidit ut nec arcticus circulus, nec antarcticus semper appareant : sed hemisphærium utrumque oriatur et occidat. Sin borealem polum supra

A καὶ πηδήματος θύελλαι. Οἱ δὲ ἀπὸ σχήματος λέγονται· ὥσπερ οἱ μετὰ δινήσεως στρόβιλοι· καὶ οἱ κάτωθεν εἰς ὕψος φερόμενοι πρηστῆρες. Ἐπραγματεύσατο δὲ περὶ ἀνέμων καὶ Ἐρατοσθένης. Οἱ δὲ γενικώτατοι ἄνεμοι τέσσαρές εἰσι· καὶ ὁ μὲν ἀπὸ ἀνατολῶν πνέων καλεῖται ἀπηλιώτης, ὁ δὲ ἀπὸ τοῦ ἀρκτικοῦ πόλου βορέας, ὁ δὲ ἀπὸ τοῦ ἀνταρκτικοῦ νότος, ὁ δὲ ἀπὸ δύσεως ζέφυρος· ζέφος γὰρ ἡ δύσις κατὰ τοὺς ποιητάς.

Περὶ κομητῶν.

λδ'. Περὶ δὲ κομητῶν καὶ δοκίδων ἐπραγματεύσαντο πολλοί· ὥσπερ καὶ Δημήτριος. Εἰσὶ δὲ οὐκ ἐν οὐρανῷ, ἀλλ' ἐν τῷ ἀέρι. Οἱ μὲν οὖν κάτω τὸ φῶς
B ἔχοντες, καὶ τὰς μαρμαρυγὰς κάτω νευούσας, καλοῦνται « κομῆται· » οἱ δὲ ἄνω τὸ φῶς νενευκὸς ἔχοντες καλοῦνται « λαμπάδες. » Ὁπότε δὲ ἐπίμηκες ἔχουσι τὸ φῶς, καλοῦνται « δοκίδες· » ὁπότε δὲ ἱκματῶδες φῶς ὁρᾶται, καλεῖται « ἶρις· » ὅταν δὲ περὶ τὸν ἥλιον ἢ κύκλος· ἐνίοτε καὶ [10] δύο, καὶ τρεῖς γίνονται· ὅθεν καὶ Ἄρατος εἶπε « τριέλικτον ἁλωήν· » « ἅλως » καλεῖται. Ἐὰν δὲ ἀπὸ ἀστέρων ὦσις τοῦ φωτὸς γένηται ἐπὶ τὰ κάτω, καλοῦνται « ῥυμοὶ » καὶ « ῥύακες· » οἱ δὲ ἀπὸ τόπου εἰς τόπον μετερχόμενοι καλοῦνται « ἅττοντες » καὶ « διάττοντες· » γίνεται δὲ τοῦτο, τῶν ἀστέρων ὑπὸ πνεύματος τινασσομένων, καὶ οἱονεὶ σπινθῆρας ἀφιέντων· διὸ κατὰ σημεῖον ἀνέμων εἶπεν Ἄρατος τοῦτο. Καὶ φάτνην δὲ νέφος πεφωτισμένον περὶ τὸν Καρκίνον φασίν· ὡς καὶ
C Ἄρατος. Ἀκολούθως δὲ ταύτῃ καὶ « ὄνους » λέγουσι περὶ τὸν Καρκίνον ἀστέρας εἶναι. Τοὺς δὲ κομήτας καὶ τοὺς τοιούτους οἱ μὲν λέγουσιν ἐξ ἀστέρων συνερχομένων γίνεσθαι καὶ ἐμφωτιζομένων, οἱ δὲ ἐκ νεφῶν περιπεφωτισμένων· ἄλλοι δὲ ἐκ παρατρίψεως αὐτοὺς φωτίζεσθαι λέγουσιν. Οὐ φαίνονται δὲ ἀεί· ἀλλὰ γίνονται καὶ [10a] περιόδους χρόνων. Ὅτε μὲν οὖν συγκρούονται αἱ νεφέλαι πρὸς ἀλλήλας, βροντὰς ποιοῦσι·
D ῥαγεῖσαι δὲ, καὶ πνεῦμα μετὰ ῥύμης καὶ σφοδρᾶς ὁρμῆς ἀφεῖσαι, κεραυνοὺς ποιοῦσι, διὰ τῆς ῥύμης ἀναπτομένου τοῦ πνεύματος· ἀστραπαὶ δὲ γίνονται ἤτοι ἐξ αὐτῶν πάλιν τῶν νεφῶν, φωτὸς ἀναπτομένου καὶ σβεννυμένου· ἢ ἐκ πυρὸς μαρμαρυγαί εἰσιν ἐκπεμπόμεναι. Ὄμβροι δὲ ἐξ ὑγρᾶς ἀναδόσεως καὶ νεφελῶν ὑγρῶν γίνονται. Ταῦτα μὲν οὖν ὡς ἐν ὀλίγῳ περὶ μεταρσίων.

Περὶ θέσεως [τῆς σφαίρας].

λε'. Εἰδέναι χρὴ περὶ τῆς θέσεως τῆς σφαίρας, ὡς οὐκ ἔστι μία, ἀλλὰ πρὸς τὰ κλίματα τῆς γῆς καὶ αἱ θέσεις τῆς σφαίρας γίνονται. Λεκτέον δὲ περὶ ὀλίγων· καὶ τότε τῆς κατὰ τὸν Ἄρατον ἀψόμεθα. Θέσις τίς ἐστι κατὰ τὸ Ἑλλησποντιακὸν καὶ τῆς Μακεδονίας κλίμα. Παρὰ γὰρ Ἀντιγόνῳ διατρίβων Ἄρατος, τῷ τῆς Μακεδονίας βασιλεῖ, πρὸς τὸ αὐτόθι κλίμα καὶ τὴν διδασκαλίαν τῶν φαινομένων πεποίηται. Ἐὰν μὲν οὖν οἱ πόλοι πρὸς τῷ ὁρίζοντι τὴν θέσιν ἔχωσιν, ὥστε ἐφάπτεσθαι τοῦ ὁρίζοντος, συμβήσεται μήτε τὸν ἀρκτικὸν μήτε τὸν ἀνταρκτικὸν ἀειφανῆ εἶναι, ἀλλ' ἑκάτερον τούτων ἡμικύκλιον ἀνατέλλειν ἀεὶ καὶ

[10] *f.* ἐνίοτε δέ. [10a] *f.* κατά. EDIT.

Digitized by Google

δύνειν. Ἐὰν δὲ τὸν βόρειον πόλον ὑψηλότερον ποιήσωμεν τοῦ ὁρίζοντος, πρὸς τὸ γινόμενον ἕξαρμα, καὶ ὕψος αὐτοῦ, καὶ τὰ κλίματα τῆς γῆς ἕξει τὰ μεγέθη τῶν ἡμερῶν καὶ τῶν νυκτῶν διάφορα. Δῶμεν ξ' μοιρῶν κύκλον τέμνοντα τὴν σφαῖραν διὰ τῶν πόλων, ὥσπερ τοὺς κολούρους. Δῆλον οὖν, ὅτι ἕκαστον τῶν ἡμισφαιρίων ἕξει ἀνὰ λ' · τῶν δὲ [21] ὑπὲρ γῆς μοίρας λ' ἀπὸ τοῦ ὁρίζοντος μέχρι τοῦ πόλου. Ἐὰν οὖν μετεωρίσω τὸν βόρειον πόλον μοίρας ς', ἔσται τοῦ Ἑλλησπόντου τὸ κλίμα ἔχον τὴν μὲν ἡμέραν τὴν μεγίστην ὡρῶν ιε', τὴν δὲ νύκτα τὴν ἐλαχίστην ὡρῶν θ'. Ἐὰν δὲ μὴ μόνον ξ, ἀλλ' ἐννέα ἀπὸ τοῦ ὁρίζοντος μετεωρίσω τὸν βόρειον πόλον, μακροτέρα ἔσται ἡ μεγίστη ἡμέρα παρὰ τοῖς οὕτως οἰκοῦσιν ἢ τοῖς προειρημένοις ἐν τῷ Ἑλλησπόντῳ. Καὶ πάλιν ἐὰν ὑψηλότερον αὐτὸν ποιήσω, καὶ πολὺ αὐτοῦ τοῦ ὁρίζοντος ἀπέχοντα, μακρότεραι εὑρεθήσονται αἱ ὧραι [22], ἕως ἂν ὁ βόρειος μεσουρανήσῃ πόλος · καὶ τότε, οὕτως κειμένης τῆς σφαίρας, συμβήσεται ἓξ μηνῶν εἶναι τὴν ἡμέραν, καὶ ἓξ μηνῶν τὴν νύκτα · μεσουρανοῦντος γὰρ τοῦ βορείου πόλου, εὑρεθήσεται ὁ ζωδιακὸς ὑπὸ τοῦ ὁρίζοντος εἰς δύο τεμνόμενος · καὶ τὸ μὲν ἥμισυ ὑπὲρ γῆς, τὸ δὲ λοιπὸν ἥμισυ ὑπὸ γῆν ἀεὶ ἔχων. Τούτου δὲ οὕτως ὄντος, δῆλον, ὡς καὶ ἓξ ζώδια ὑπὲρ γῆς ἔσται, ταῦτα δηλονότι, ἐν οἷς ὁ ἥλιος γενόμενος, καὶ καθ' ἕκαστον λ' ἡμέρας ποιῶν, ποιήσει τὴν ἡμέραν μηνῶν ς' · τὰ δὲ ἄλλα ς' ζώδια ἀεὶ ἀφανῆ, καὶ ὑπὸ γῆν ἔσται, ἐν οἷς ὁ ἥλιος γενόμενος ποιήσει τὴν νύκτα μηνῶν ς', διὰ τὸ μὴ ἀνατέλλειν ἐν τοῖς ς' τούτοις γενόμενον αὐτόν. Ταῦτα δὲ ἡμῖν εἰλήφθω τῆς ἀνωμαλίας τῶν ἡμερῶν τε καὶ νυκτῶν χάριν. Χρὴ δὲ εἰδέναι, ὅτι λόγῳ καὶ θεωρίᾳ ταῦτα κατ' ἀκολουθίαν ἐκ τῶν φανερῶν ἐδείχθη, ἀφανῆ ὄντα. Οὐ γὰρ ἔχομεν ἀπὸ ἐμπειρίας ἓξ μηνῶν τὴν ἡμέραν, καὶ τὴν νύκτα τοσούτων δεῖξαι. Τινὲς δὲ ἱστοροῦσιν ἡ' ἡμερῶν ἕκτασιν μιᾶς ἡμέρας, ἄλλοι δὲ π' ἡμερῶν · εἰσὶ δὲ οὗτοι οἱ ὑπὲρ Θούλην τὴν νῆσον λεγόμενοι εἶναι. Ἡ μὲν οὖν κατὰ τὰ κλίματα διαφορὰ τῶν ἡμερῶν τε καὶ νυκτῶν παραδείγματος χάριν τοῦτον τὸν τρόπον ἡμῖν εἴρηται · ἡ δὲ κατὰ τὰ *Φαινόμενα* Ἀράτου τῆς σφαίρας θέσις ὀφείλει ἔχειν τὸν ἀρκτικὸν κύκλον τοῦ ὁρίζοντος ἐφαπτόμενον, τὴν τε τοῦ Δράκοντος κεφαλὴν ἐφαπτομένην τοῦ ἀρκτικοῦ κύκλου, αὐτοῦ δὲ τοῦ ἀρκτικοῦ ἐφαπτομένου τοῦ ὁρίζοντος, καὶ ὥσπερ ξέειν αὐτόν. Διὸ καὶ Ἄρατός φησι ·

A horizontem attollimus, pro altitudinis ratione, varia terræ climatibus dierum et noctium magnitudo constabit. Fingamus partium sexaginta circulum esse, qui sphæram per polos transiens dividit, **92** ut coluri faciunt. Igitur hemisphæria singula tricenis gradibus constabunt, adeoque quod supra terram eminet, gradus tricenos habebit ab horizonte ad polum. Quare si ad partes sex polum extulero, in Hellesponti climate longissimus dies horarum fiet 15; brevissima nox horarum 9. Quodsi non tantum sex gradibus, sed novem supra horizontem polum borealem erexero, longior, quam in Hellesponto, fiet dies, illius tractus incolis. Rursus vero si arduum magis, ac supra horizontem eminentem polum statuero, horæ longiores exB sistent, donec borealis polus culminet. Ac tunc semestris dies erit semestrisque nox. Nam si borealis polus in vertice sit, zodiacus ab horizonte bipertito secabitur; ejusque pars dimidia perpetuo supra terram exstabit, altera sub terram condetur. Hoc vero posito, perspicuum est sex fore signa supra terram: in quibus scilicet positus sol, et in unoquoque triginta dies commorans, semestrem efficiet diem; reliqua sex signa semper occulta erunt, et sub terra condita: quæ cum sol peragrabit, sex mensium noctem faciet, eo quod in illis situs nunquam oritur. Hæc ad dierum et noctium inæqualitatem explicandam assumpsimus. De quibus sic habendum est; ratione, ac consideratione, consequenterque iis quæ apparent, hæc a nobis esse C collecta; cum sint occulta prorsus. Non enim ulla nobis experientia semestrem diem noctemque patefecit. Sint qui alicubi dierum octo esse lucem; alii octoginta referant: quod iis accidit qui supra Thulen insulam habitant. Ad eum itaque modum dierum noctiumque pro climatum ratione discrimen a nobis explicatum est. Verum situs ille sphæræ, qui ad Arati *Phænomena* convenit, ejusmodi esse debet, ut in eo circulus arcticus contingat horizontem, eumque circulum tangat Draconis caput: sic ut arcticus ille attingat, ac quodammodo radat horizontem. Hinc Aratus:

Κεῖνη που κεφαλὴ τῇ νίσσεται [23], ᾗχι περ ἄκραι D
Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσι.

Illud caput eo pervenit, ubi extremi
Miscentur occasus, et ortus invicem.

Τὸν γὰρ ὁρίζοντα μεταξὺ τοῦ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν ἡμισφαιρίου εἶναι συμβέβηκε. Τινὲς δὲ οὐκ ἐπὶ τοῦ ὁρίζοντος ἀκούουσιν, ἀλλ' ἐπὶ τοῦ μεσημβρινοῦ τὸ ὑπὸ τοῦ Ἀράτου λεχθέν · διότι τοῦ ὑπὲρ γῆς ἡμισφαιρίου τεμνομένου ὑπὸ τοῦ μεσημβρινοῦ τὸ μὲν ἔστι πρὸς τῇ ἀνατολῇ, τὸ δὲ πρὸς τῇ δύσει. Ἐμοὶ δὲ οὐ πάνυ τι δοκεῖ τοῦτο λέγειν Ἄρατος · εἰ μὴ ἄρα τις οὕτω λέγοι τὴν κεφαλὴν τοῦ Δράκοντος πορεύεσθαι,

Nam horizon inter hemisphærium utrumque superius et inferius interjectus est. Non desunt tamen, qui Arati verba illa non ad horizontem, sed ad meridianum referant: quoniam cum superius hemisphærium a meridiano circulo dividitur, ejus altera pars ad ortum, altera ad occasum pertinet. Mihi vero non hoc velle sibi videtur Aratus, nisi quis fortasse dixerit Draconis caput eo ferri,

....*ᾗχι περ ἄκραι*
Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσι ·
καθὸ τοῦ ὁρίζοντος ἐφαπτομένη ἐστὶν ἡ κεφαλὴ τοῦ

. . . . *ubi extremi*
Miscentur occasus, et ortus invicem;
ubi contingit horizontem Draconis caput ad meri-

[21] *f.* τὸ δή. [22] *f.* ἡμέραι. [23] *gr.* νίσσεται.

Digitized by Google

dianum circulum, qua parte cum horizonte ille committitur, ac se ipsi secant invicem. Propterea de Cepheo loquens Aratus, eumdem nobis indicavit. Nam hujus pars illa tota, quæ a cingulo ad pedes pertinet, intra circulum arcticum est. Quoniam vero circulus arcticus occidit nunquam; balteus vero Cephei in ambitu est ejusdem arctici; hinc horizontem per ejus balteum significat:

. . . Cepheus autem cingulo
Terram radit: quæ sunt in capite quidem, prorsus [omnia
Tingens Oceano: illa vero non licet: sed ea ipsæ
Ursæ prohibent, pedes, et genu, et lumbos.

Hæc sunt quæ de sphæræ positu dicenda videbantur. Quam qui explicare velit, hunc ad dextram borealem habere polum oportet: australem ad sinistram. Nam Ursæ in oriente dextræ sunt; auster vero sinister. Quidam tamen cum illam explicant, malunt ante se Ursas habere; pone austrum: ut dexter sit ipsis oriens, sinister occidens. Quod ex Homericis versibus fortasse didicerunt:

Sive dextrorsum eant ad auroram et solem;
Sive sinistrorsum ad occasum tenebrosum.

Nescientes poetam accommodate ad illorum situm dextras appellasse partes orientales, occidentales sinistras. At in mundi positu dextræ sunt Ursæ, et eo modo sphæram constituere debet qui illius rationem docere velit.

De motu.

36. Qui sphæram explicat, in contraria sphæram torqueat. Nam qui contra sphæram versus seipsum **93** ciebit; Ursæ sinistræ erunt orienti: auster ad dextram: quod fieri nequit. Quod autem ita, ut diximus, movenda sphæra sit, docebit nos Aratus, qui de Ursis alias loquens:

...Semper vero in humerum feruntur,
Præpostere in humeros conversæ.

Alias de Ophiucho:

In humeros demittit ærumnosum Ophiuchum
Cancer e genibus: demittit vero Serpentem propius [cervicem.

Item:

Oritur Hydræ caput, et cæsius Lepus
Ac Procyon: anterioresque Canis pedes ardentis.

Rursus

Dimidium Coronæ, et ipsam postremam caudam
Centauri ferunt ascendentes adhuc Chelæ.

De Ceto vero:

Ac quod ad cervicem usque conversum est

Occidit; porro Cepheus capite, et manu, et humero.

Item:

Equus autem Aquario commodum oriente
Pedibus, et capite revolvitur. Ex adverso autem Equi

A cauda Centaurum attrahit occidua nox.

Hæc de motu paucis dicta sunt.

[a] *It.* M.

Δράκοντος, καὶ πρὸς τῷ μεσημβρινῷ, καθὸ συμβολὴ γίνεται τοῦ μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος, καὶ τέμνουσιν ἀλλήλους. Καὶ διὰ τοῦτο περὶ Κηφέως λέγων, τὸν αὐτὸν ἐνέφηνεν ἡμῖν ὁ Ἄρατος. Τούτου γὰρ τὰ ἀπὸ τῆς ζώνης ἕως τῶν ποδῶν ἐντός ἐστι τοῦ ἀρκτικοῦ. Ἐπεὶ δὲ ὁ ἀρκτικὸς κύκλος οὐδέποτε καταδύεται, ἡ δὲ ζώνη τοῦ Κηφέως ἐν τῇ περιφερείᾳ ἐστὶ τοῦ ἀρκτικοῦ κύκλου τὸν ὁρίζοντα διὰ τῆς ζώνης αὐτοῦ ἐμφαίνει

....ὁ δὲ ζώνῃ τότε Κηφεὺς
Γαῖαν ἐπιξύει· τὰ μὲν ἐν κεφαλῇ μάλα πάντα
Βάπτων Ὠκεανοῖο· τὰ δ' οὐ θέμις· ἀλλὰ τά γ' [αὗται
Ἄρκτοι κωλύουσι, πόδας, καὶ γοῦνα, καὶ ἰξύν.

Τὰ μὲν οὖν τῆς θέσεως ταῦτα· τὸν δὲ ἐξηγούμενον ἐν δεξιᾷ χρὴ τὸν βόρειον πόλον ἔχειν, καὶ ἐν ἀριστερᾷ τὸν νότιον. Ἐπειδὴ αἱ ἄρκτοι ἐπὶ ἀνατολῶν ἐν δεξιᾷ κεῖνται· ἐν ἀριστερᾷ δὲ ὁ νότος. Τινὲς δὲ τῶν ἐξηγουμένων βούλονται ἔμπροσθεν μὲν τὰς Ἄρκτους, ὀπίσω δὲ τὸν νότον, δεξιὰ δὲ τὰς ἀνατολάς, ἀριστερὰ δὲ τὴν δύσιν ἔχειν· ἴσως ἀπὸ τῶν Ὁμηρικῶν ἐπῶν κινηθέντες·

[a] *Εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠὼ τ' ἠέλιόν τε,*
Εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα·

οὐκ εἰδότες, ὡς ὁ ποιητὴς πρὸς τὴν τῶν τόπων ἐκείνων θέσιν δεξιὰ μὲν τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικὰ εἶπεν. Ἡ δὲ τοῦ κόσμου θέσις, καθὰ προεῖπον, δεξιὰς ἔχει τὰς Ἄρκτους· καὶ οὕτως τιθέναι χρὴ τὴν σφαῖραν τὸν ἐξηγούμενον.

Περὶ κινήσεως.

λς'. Χρὴ τὸν ἐξηγούμενον ἐπὶ τὰ ἐναντία περιδινεῖν τὴν σφαῖραν. Εἰ γάρ τις ἀπὸ τῶν ἐναντίων ἐφ' ἑαυτὸν περιδινήσει τὴν σφαῖραν, αἱ Ἄρκτοι ἀριστεραὶ ἔσονται τῶν ἀνατολῶν· ὁ δὲ νότος ἐν δεξιᾷ· ὅπερ ἀδύνατον. Ὅτι δὲ, ὡς εἶπον, χρὴ τὴν σφαῖραν κινεῖν, διδάξει ἡμᾶς αὐτὸς Ἄρατος ποτὲ μὲν περὶ τῶν Ἄρκτων λέγων.

. . . . Ἀεὶ δὲ κατωμάδιαι φορέονται,
Ἔμπαλιν εἰς ὤμους τετραμμέναι.

Ποτὲ δὲ ἐπὶ τοῦ Ὀφιούχου λέγων·

Τὸν δὲ καὶ εἰς ὤμους κατάγει μογερὸν Ὀφιοῦχον
Καρκίνος ἐκ γονάτων· κατάγει δ' Ὄφιν αὐχένος [ἐγγύς.

Καὶ πάλιν·

Ἀντέλλει δ' Ὕδρης κεφαλὴ, καροπός τε Λαγωός·
Καὶ Προκύων· πρότεροί τε Κυνὸς πόδες αἰθομέ- [νοιο.

Καὶ πάλιν·

Ἥμισυ δὲ Στεφάνοιο, καὶ αὐτὴν ἔσχατον οὐρὴν
Κενταύρου φορέουσιν ἀνερχόμεναι ἔτι Χηλαί.

Καὶ περὶ τοῦ Κήτους·

Καὶ τὸ μὲν ἐς λοφιὴν τετραμμένον ὄχρι παρ' [αὐτὴν
Δύνει· ἀτὰρ Κηφεὺς κεφαλῇ, καὶ χειρὶ, καὶ [ὤμῳ.

Καὶ πάλιν·

Ἵππος δ' Ὑδροχόοιο νέον περιτελλομένοιο
Ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται· ἀντία δ' [Ἵππου
Ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἑσπερίη νύξ.

Ταῦτα μὲν ὡς ἐν βραχεῖ περὶ κινήσεως.

Digitized by Google

Περὶ ἄστρων δύσεώς τε καὶ ἀνατολῆς.

λζ'. Τῶν ἄστρων τὰ μὲν ἔστιν ἀειφανῆ, τὰ δὲ ποτὲ μὲν φαινόμενα, ποτὲ δὲ ἀφανῆ γινόμενα. Ἀειφανῆ μὲν οὖν ἐστι τὰ ἐντὸς τοῦ ἀρκτικοῦ κύκλου· οὐδέποτε γὰρ καταδύεται ταῦτα· ἐπειδὴ μηδὲ ὁ περιέχων αὐτὰ κύκλος· ἀλλ' ἔστιν ἀεὶ ἐν τῷ ὑπὲρ γῆς ἡμισφαιρίῳ ἀειφανὴς μετὰ καὶ τῶν ἐν αὐτῷ ἄστρων· ἀφανῆ δὲ τὰ ἐντὸς τοῦ ἀνταρκτικοῦ κύκλου· ἐπειδὴ καὶ αὐτὸς ἀεὶ ἀφανής ἐστι. Τῶν δὲ λοιπῶν ἄστρων τὰ μὲν ποτὲ μὲν ἀνατέλλει, ποτὲ δὲ δύνει· τὰ δὲ ἐπὶ τῆς αὐτῆς νυκτὸς καὶ ἀνατέλλει καὶ δύνει. Οἷον ἔστω ὁ ἥλιος ἐν Κριῷ· τούτου ἀνατέλλοντος, προανατέλλει Ἵππος· ἐν Χηλαῖς δὲ ὄντος τοῦ ἡλίου, καὶ ἀνατέλλοντος, δέδυκεν ἤδη Ἵππος. Ὥστε ποτὲ μὲν φαίνεται ἀνατέλλων ὁ Ἵππος, ποτὲ δὲ δύνων· ὁμοίως δὲ καὶ τὰ ἄλλα ἄστρα ἀπὸ θερινοῦ τροπικοῦ μέχρι τοῦ χειμερινοῦ. Τὰ γὰρ ἐν τῷ ἀνταρκτικῷ τῷ πρὸς νότῳ ὄντα βράδιον ἀνατέλλοντα δύνει ταχέως, διὰ τὸ πλεῖον εἶναι μέρος τῆς σφαίρας ὑπὸ γῆν πρὸς τῷ νότῳ· ἀνάπαλιν δὲ τὰ βορειότερα, καὶ μεταξὺ ἀρκτικοῦ κύκλου καὶ ἰσημερινοῦ, ταχέως ἀνατέλλοντα, βραδέως δύνει, διὰ τὸ πλεῖον ἔχειν μέρος ὑπὲρ γῆν τὴν σφαῖραν πρὸς τῷ βορέᾳ. Συμβήσεται οὖν τινα τῶν ἐνταῦθα κειμένων ἄστρων ὑπὸ τῆς αὐτῆς νυκτὸς ἀνατέλλειν καὶ δύνειν, ἃ καλεῖται ἀμφιφανῆ. Παραδείγματος δὲ χάριν παρειλήφθω ὁ ἐν γόνασι, καὶ ἔστω ὁ ἥλιος ἐν Τοξότῃ, καὶ ἀνατέλλει [25] ἐν αὐτῷ. Πάλιν δυέτω δύνοντος ἡλίου· ἑσπέρα ἐστὶ καὶ νύξ· ὁ δὲ ἐν γόνασιν οὐδέπω δέδυκεν· ἀλλ' ἐπιμείνας ἐν τῷ ὑπὲρ γῆς ἡμισφαιρίῳ, πρὸς τῇ δύσει δύνων, ὕστερον ἐπὶ τῆς αὐτῆς νυκτὸς προλαμβάνει τὴν τοῦ ἡλίου ἀνατολὴν καὶ τοῦ Τοξότου, προανατέλλων αὐτῶν, καὶ ὕστερον αὐτῶν δύνων. Δηλοῖ γοῦν τοῦτο Ἄρατος λέγων·

Ὄντινα τοῦτον ἴστον ὑπ' οὐρανίων εἰδώλων
Ἀμφότερον δύνοντα, καὶ ἐξ ἑτέρης ἀνιόντα
Πολλάκις αὐτοτυχὶ θηεύμεθα.

Ὅτι δύσεις δίτταί, καὶ ἀνατολαί.

λη'. Δύσις δὲ ἄστρων ἐστὶ διττή, καὶ ἀνατολή· καὶ ἡ μὲν ἑώα λέγεται, ἡ δὲ ἑσπερία. Ἑώα μὲν ἀνατολή, ὅταν συνανατέλλῃ τῷ ἡλίῳ [ὡς] ἄστρα, καὶ μὴ μετ' αὐτοῦ [26]· ἑσπερία δὲ, ὅταν, δύνοντος ἡλίου, ἀνατέλλῃ τινὰ τῶν ἄστρων. Δύσις δὲ ἑώα ἐστὶν, ὅταν, ἡλίου ἀνατέλλοντος, δύνῃ τὰ ἄστρα τάδε ἢ τάδε· ἑσπερία δὲ, ὅταν συγκαταδύῃ αὐτῷ.

Ὅτι διαφέρει ἀνατολὴ ἐπιτολῆς.

λθ'. Διαφέρει δὲ ἀνατολὴ ἐπιτολῆς. Ἀνατολὴ μὲν γάρ ἐστιν ἡ ἅμα τῷ ἡλίῳ ὑπὲρ τὸν ὁρίζοντα ἀναφορά· ἐπιτολὴ δὲ, ὅταν πρὸ ἡλίου ὑπὸ τὴν ἑώαν ἀνατείλῃ ἄστρον, εἶτα ἐπ' αὐτῷ ὁ ἥλιος ἐπιτείλῃ. Δεῖ δὲ εἰδέναι, ὅτι, πάσης ὥρας περιφερομένης, καὶ περιδινουμένης τῆς σφαίρας, ἀνάγκη ἐστὶ καὶ τὰ ἄστρα παντὶ καιρῷ, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ εἶναι ἐν οὐρανῷ συμπεριδινούμενα· μὴ φαίνεσθαι δὲ ἐν ἡμέρᾳ τῇ ὑπερβολῇ τῆς λαμπρότητος τοῦ ἡλίου καλυπτόμενα. Ἀνατολὴν δὲ οὐ λεκτέον ἄστρου, ἐὰν δευτέρᾳ ὥρᾳ ἢ τρίτῃ ἀναφέρηται ὑπὲρ γῆς· ἀλλὰ τότε μόνον,

A

De siderum occasu et ortu.

37. Siderum alia semper apparent; alia videntur interdum, alias occulta sunt. Apparent perpetuo, quæ comprehenduntur arctico circulo : nunquam enim occidunt; uti neque complexus illa circulus, qui in superiore manet hemisphærio semper cum stellis suis apparens. Nunquam apparent ea quæ antarctico circulo continentur, quoniam et ipse semper occultus est. Reliquorum siderum alia interdum oriuntur : interdum occidunt; quædam eadem in nocte oriuntur et occidunt. Sit exempli causa sol in Ariete : ante hunc oritur Equus. Idem sole in Libra constituto ante hunc occidet. Hinc aliquando cernitur Equus oriens, alias occidens : sic astra reliqua ab æstivo tropico ad hibernum.
B Nam quæ in antarctico sunt ad austrum, tardius orientia citius occidunt : quod majori ex parte sphæra infra terram condita sit ad meridiem; contra quæ borealia sunt inter arcticum circulum et æquinoctialem posita, citius ortum faciunt, tardius occasum : propterea quod majori parte sui sphæra supra terram emergit ad septentrionem. Accidet ergo quædam ut ibi collocata sidera eadem nocte oriantur et occidant : quæ ἀμφιφανῆ vocant. Exempli gratia sit Ingeniculus, sitque sol in Sagittario; in eo sidus illud orietur. Rursus occidat sub occasum solis, vespera erit, et nox : necdum Ingeniculus occiderit : sed in hemisphærio superiore consistens adhuc, ac sub occasum occidens, postea per
C eamdem noctem solis et Sagittarii prævertet ortum, ante ipsos oriens, et post eos occidens. Quod Aratus his verbis exprimit :

Quem quidem ignotum inter cælestes imagines
Pariter occidentem, et aliunde orientem
Sæpe eadem nocte cernimus.

Duos occasus esse, ortusque totidem.

38. Siderum occasus ortusque duplex est : alter matutinus, vespertinus alter dicitur. Matutinus ortus fit, cum oriente sole oriuntur cum eo sidera, non post ipsum. Vespertinus, cum occidente sole sidera quædam oriuntur. Matutinus occasus est cum oriente sole occidunt hæc vel illa sidera; ve-
D spertinus cum una cum sole conditur.

Quid ἀνατολή et ἐπιτολή differant.

39. Differt autem ἀνατολή et ἐπιτολή. Nam ἀνατολή est conscensio cum sole supra finitorem; ἐπιτολή cum ante solem primo mane oritur stella; quam solis ortus sequitur. **94** Nec illud ignorandum est; hora qualibet, circumacta et volvente se sphæra, sidera ipsa necessario per omne tempus nocte ac die cum cœlo circumferri : non tamen interdiu videri, vehementiori splendore solis offusa. Cæterum ortus stellæ vocari non debet, quando secunda tertiave post hora conscendit horizontem; sed tunc solum, cum una cum sole oritur. Sic et

f. [25] ἀνατέλλῃ. [26] *f.* αὐτόν.

Digitized by Google

occasus tunc est, quando cum sole occidit. Præter hæc omnia sciendum est, neque Cepheum, neque Cassiepeiam, neque Andromedam in cœlo esse revera. Est enim ridiculum arbitrari ante ista cœlum asterismis caruisse. Nam stellæ perpetuo, etiam ante Perseum et Orionem, exstiterunt. Ob id penes varias nationes diversa quoque reperiuntur nomina stellarum. In Ægyptiaca sphæra neque Draco in censum nominaque siderum venit; neque Ursæ; neque Cepheus : sed aliæ sunt simulacrorum formæ, nominaque illis indita. Ita neque in Chaldæorum astrologia. Græci porro vocabula ista de insignibus heroibus transtulerunt; ut comprehendi, et agnosci facilius possent. Etenim si certis appellationibus carerent, magnam studiosis earum rerum perturbationem afferrent. Olim vero istorum scientia magni fiebat ab iis qui agriculturam vel rem nauticam exercerent. Nam ex ortibus et occasibus illorum navigandi, ac vindemiæ colligendæ tempus observabant.

A ὅτε ἅμα ἡλίῳ ἀνατέλλει. Ὁμοίως δὲ καὶ δύσιν, ὅτε σὺν αὐτῷ δύνει. Ἐπὶ δὲ πᾶσι χρὴ εἰδέναι, ὅτι οὔτε Κηφεὺς, οὔτε Κασσιέπεια, οὔτε Ἀνδρομέδα ἐστὶν ἐν οὐρανῷ. Γελοῖον γὰρ ὑπονοεῖν πρὸ τούτων ἀκαταστέριστον τὸν οὐρανόν· ἀεὶ γὰρ ἦσαν ἀστέρες, καὶ πρὸ Περσέως καὶ Ὠρίωνος. Διὸ καὶ ἐν διαφόροις ἔθνεσι διάφορα καὶ τὰ ὀνόματα τῶν ἄστρων ἔστιν εὑρεῖν. Ἐν γοῦν τῇ τῶν Αἰγυπτίων σφαίρᾳ οὔτε ὁ Δράκων ἐστὶ νομιζόμενος ἢ ὀνομαζόμενος, οὔτε Ἄρκτοι, οὔτε Κηφεὺς, ἀλλ' ἕτερα σχήματα εἰδώλων καὶ ὀνόματα τεθειμένα. Οὕτω δὲ καὶ ἐν τῇ τῶν Χαλδαίων. Ἕλληνες δὲ ταῦτα τὰ ὀνόματα ἔθεντο τοῖς ἄστροις ἀπὸ ἐπισήμων ἡρώων, πρὸς τὸ εὐκατάληπτα εἶναι καὶ εὔγνωστα. Ἀνώνυμα γὰρ ὄντα πολλὴν παρεῖχε ταραχὴν τοῖς περὶ ταῦτα σπουδάζουσι. Περὶ πολλοῦ δὲ
B μάλιστα τούτων τὴν γνῶσιν ἐποιοῦντο εἰδέναι οἱ περὶ γεωργίαν καὶ ναυτιλίαν τὸν βίον ἔχοντες. Ἐκ γὰρ τῶν ἀνατολῶν καὶ τῶν δύσεων αὐτῶν τὸν καιρὸν τοῦ πλοῦ, καὶ τοῦ τρυγητοῦ ἐσημειοῦντο.

Hactenus Arati *Phænomena* ad rudem institutionem ex Achillis opere *De universo*.

Τέλος τῶν Ἀράτου *Φαινομένων* πρὸς εἰσαγωγὴν ἐκ τῶν Ἀχιλλέως *Περὶ τοῦ παντός*.

Hæc ejusdem Achillis Tatii fragmenta a Victorio edita prætermittere noluimus. Quæ quia cum superioribus eadem fere continent, Latine vertere nihil necesse fuit.

—

ΤΩΝ ΑΡΑΤΟΥ ΦΑΙΝΟΜΕΝΩΝ ΠΡΟΣ ΕΙΣΑΓΩΓΗΝ ΕΚ ΤΩΝ ΑΧΙΛΛΕΩΣ.

—

Ἐξ ἑτέρων σχολίων εἰσαγωγὴ προοίμιον.

α'. Καλὸν κατὰ τὸν Κυρηναῖον ἀμείψασθαι τῷ λόγῳ τὸν Ἀράτου πόνον, ὃν ἐποίησεν

Ἥμερος, οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν,
Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην,
Ἄρκτον θ', ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέου-
[*σιν·*

ὑπὲρ τὸν Ἰθάκης τὸν κυβερνήτην. Τῷ μὲν γὰρ Ἀλικαρνασσεῖ ὦτα ἀπιστότερα ὀφθαλμῶν τυγχάνει· Ἄρατος δὲ τὴν μάθησιν ἅμα τοῖς ὠσὶν ἐπιδείκνυσι τοῖς ὄμμασιν. Οὐ περὶ ἀστρολογίας δὲ, ἀλλὰ περὶ ἀστρονομίας τὸν λόγον ποιούμεθα, μαθήματος εὐχρήστου τῷ βίῳ. Διὸ καὶ ἡ Μέτωνος γεωμετρία, καὶ ἡ Πυθαγόρου φιλοσοφία. Τοῦτο τὸ μάθημα κυβερνήτην μὲν ἐν καιρῷ πεποίηκεν, Ἀτρέα δὲ βασιλέα. Δείξας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδὸν, καὶ τὴν ἄρνα ἔλεσθε τὴν χρυσῆν, καὶ τὴν βασιλείαν ἀπείληφε πολυχρύσοιο Μυκήνης. Οὐδὲ μὴν οὐδὲ Ὁμήρος τοῦ μαθήματος ἀμύητος· ἀλλ' οἶδε μεθ' Ἡφαίστου τὰ κατ' οὐρανὸν ἄστρα τῇ τοῦ Ἀχιλλέως ἀσπίδι ἐγγράφειν. Παρ' αὐτῷ δὲ καὶ στρατιώτης νυκτομαχῶν τοῖς ἄστροις τὴν νύκτα μετρεῖ·

Ἄστρα δὲ δὴ προβέβηκε· παρώχηκε δὲ πλέον
[*νὺξ*
Τῶν δύο μοιράων. Τριτάτη δ' ἔτι μοῖρα λέλειπται.

Εἰ δέ τῳ φίλον καὶ τὰς παρ' Ὁμήρῳ ἀλληγορίας ἐξετάσαι, ῥᾴδιόν ἐστιν ἰδεῖν καὶ τοῦ πόλου, καὶ τὴν
C ἀΐδιον κίνησιν· καὶ τὰ ἡμισφαίρια, καὶ τὴν εἰς φῶς αὐτῶν ἀμοιβήν. Ἄλλοτε δ' αὖ τεθνᾶσι. Μὴ βλασφημήσας [27], ἄνθρωπε· οὐκ ἀποθνήσκει Θεός. Τὸ ἀφανὲς τούτου θάνατος ἦν. Διὰ τοῦτο καὶ ζωγράφοι τέμνουσι τῶν θεῶν τὴν κεφαλὴν εἰς ἴσον ἑκατέρῳ τοῦ πόλου [28] τὴν ἰσομοιρίαν. Ἀρκτέον οὖν λέγειν περὶ τῆς τῶν πάντων ἀρχῆς.

Περὶ ἀρχῆς.

β'. Ὁ τῶν ὅλων Δημιουργὸς τῶν πάντων στοιχείων ἀτάκτως ἐν ἀλλήλοις πλανωμένων, καὶ στρεφομένων, καὶ περὶ ἄλληλα κυλινδουμένων, καὶ φερομένων ἀκόσμως, πνεῦμα θεῖον ἐμβαλεῖ [29], ὅπερ οἱ ποιηταὶ καλοῦσι νεῖκος· ἦν γὰρ τὸ πᾶν εἰς ἑαυτὸ συντεθλιμμένον ἀσκοῦ τρόπον, καὶ ἐν τῇ θλίψει συμβεβηκός.
D Τὸ δὲ πνεῦμα τὸ θεῖον ἐμπεσὸν ὠοτόκησε τὸ πᾶν, διαστῆσαν, καὶ ἀνευρῦναν ἀπ' ἀλλήλων τὰ στοιχεῖα. Τοῦτο τὸ γενόμενον χάος οἱ ποιηταὶ καλοῦσι, διὰ τὸ κεχηνέναι ἐκ τοῦ πνεύματος [30] ἁπλόθεν γίνεται. Οὗ τὸ ἄνω χάσμα οὐρανὸς διπλοῦς· ὁ μὲν ἄνω αἰωρούμενος, ὁ δὲ κάτω κυλινδούμενος. Τὴν γῆν οὖν, ὥσαν βαρυτάτην μέσην συνέβη συναχθῆναι· ὁρμήσασαν γὰρ διὰ βαρύτητα δῦναι κάτω, τὸ πνεῦμα, πανταχόθεν περιελάσαν, αὐτὴν ἐν μέσῳ στῆναι τοῦ παντὸς φυσήματος συνέσχεν. Ἔμεινεν οὖν πᾶσα ἡ γῆ τῶν μὲν ἄνωθεν ἐκκρεμαμένη, τοῖς κάτωθεν δὲ ἐπαιωρουμένη, κατὰ τὸ ἐπὶ τοῦ φακοῦ καὶ τῆς φύσης παρά-

[27] *f.* βλασφημήσαις. [28] *Deest* νέμοντες, *aut aliquid simile.* [29] *f.* ἐμβάλλει. [30] *Hæc sunt depravata.*

Digitized by Google

δειγμα. Καὶ γὰρ φακοειδὴς ἐστιν ἡ γῆ· ἐκ μὲν ἑκατέρων τῶν μερῶν τοῦ τε ἄνω, καὶ κάτω πρὸς ὕψος οἰκουμένη, πρὸς δὲ τὰ πέρατα εἰς λεπτότητα στενοχωρουμένη. Ὡς οὖν ὑποστάθμη οὖσα διὰ τὸ βάρος, πρώτη μετὰ τὸ χάος πέπηγε. Διά τοι τοῦτο καὶ Ἡσίοδος, τοῦτ' εἰδὼς, φησίν·

Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί.

95 Ὅτι δὲ καὶ μέση ἡ γῆ, μαρτυρεῖ Ἄρατος, λέγων·

Ἄξων αἰὲν ἄρηρεν. Ἔχει δ' ἀτάλαντον ἀπάντη
Μεσσηγὺς γαῖαν.

Τὸ γὰρ ἀτάλαντον ἀντὶ τοῦ ἀκίνητον. Περὶ δὲ τὴν γῆν κυκλικῶς ἄλλη ἐστὶν ἐπάνω σφαῖρα ἡ τοῦ ὕδατος, μείζων τῆς γῆς. Τὸ γὰρ περιέχον τοῦ περιεχομένου μεῖζον εἶναι δεῖ. Μετὰ δὲ τὴν τοῦ ὕδατος, εὐθὺς ἡ τοῦ ἀέρος, καὶ αὐτὴ κύκλῳ τὸ ὕδωρ περιέχουσα. Μετὰ δὲ τὴν τοῦ ἀέρος ἡ τοῦ αἰθέρος. Διὸ καὶ Ὅμηρός που λέγει·

Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἢ τότ' ἐν Ἴδῃ
Μακροτάτῃ πεφυυῖα, δι' ἠέρος αἰθέρ' ἵκανεν.

Εἰσὶν οὖν τέσσαρες σφαῖραι· ἃ στοιχεῖα καλοῦσιν οἱ παλαιοὶ, διὰ τὸ στοίχῳ καὶ τάξει ἕκαστον αὐτῶν ὑποκεῖσθαι· ὥς που καὶ Ἀλκμὰν ὁμοστοίχους ἐκάλεσε τὰς ἐν τάξει χορευούσας παρθένους. Καὶ ἐν γραμματικῇ στοιχεῖα μὲν καλεῖ [31] τὰ γράμματα, διὰ τὸ στοίχῳ καὶ τάξει τὰς ἐπ' αὐτῶν πλέκεσθαι συλλαβάς. Μέσα οὖν ἐστι τὰ βαρέα στοιχεῖα. Θαυμαστῶς γὰρ πάντα κατέταξεν ὁ Δημιουργός. Ὁ γὰρ αἰθὴρ καὶ τὸ πνεῦμα πάντα εἰς ἑαυτὰ ἔξωθεν ἐπαι... καὶ οὔτε τῷ ἀέρι πτῆναι συγχωρεῖ, οὔτε τῷ ὕδατι χυθῆναι· ἀλλ' ἑκάστην μόνιμον τοῦ τόπου τηρεῖ τὴν στάσιν, κατὰ τὸ ἐπὶ τοῦ λύχνου ὑπόδειγμα, καὶ τῆς παρὰ τοῖς ἰατροῖς σικύας, ἣ τῷ πυρὶ πρὸς ἑαυτὴν ἄγχει τὰς φλέβας. Ὁ μὲν οὖν ἀὴρ ὑπὸ τοῦ πυρὸς συνέχεται· τὸ δὲ πῦρ μετὰ τοῦ ἀέρος τὰ πάντα. Διὰ τοῦτο, *ὕδωρ καὶ γαῖα γέροισθε*, οὐχ ὥς τινες κατάραν τοῖς στρατιώταις κατηράσατο· ἀλλὰ τὸν ὄκνον εἰδὼς ἐκ τῶν βαρυτάτων ὄντα στοιχείων, τὴν βαρύτητα αὐτοῖς ὠνείδισεν, εἰπών·

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γέροισθε.
Εἰ ἕστηκεν ἡ γῆ, ἢ κινεῖται.

γ'. Τινὲς καὶ αὐτὴν συμπεριστρέφεσθαι τῷ παντὶ φασιν. Ἀναισθήτως δὲ ἡμᾶς τοὺς ἐνοικοῦντας ἔχειν, διὰ τὸ ἐν μικρῷ ὁρίῳ τῆς γῆς κατοικεῖν. Βέλτιον δὲ αὐτὴν ἀκίνητον ἔχειν, πανταχόθεν ὑπὸ τῶν περὶ αὐτὴν στοιχείων περιωθουμένην. Δῶκεν [32] δὲ καὶ ὑπόδειγμα. Ὁ ἄξων ἀπὸ ἀρκτικοῦ πόλου μέχρι τοῦ ἀνταρκτικοῦ διήκει, διὰ τοῦ αἰθέρος, καὶ τῶν ἄλλων στοιχείων ἱκνούμενος. Ἡ γῆ οὖν βαρυτάτη οὖσα ἐνεῖκται [33], καὶ ἐμπεπερόνηται ἐμπεριειλημμένη ὑπὸ τοῦ ἄξονος· ὡς μὴ δύνασθαι κινεῖσθαι. Τὰ δὲ ἄλλα χαυνότερα ὄντα τόπον ἔχοντα στρέφεται· ὥσπερ ἂν εἴ τις ὀβελίσκῳ ξύλον ἀκινήτως ἐμπερονήσῃ, ἐμπεριθεὶς τῷ ξύλῳ τροχοὺς κυκλοτερῶς. Συμβαίνει γὰρ τοὺς μὲν τροχοὺς κινεῖσθαι, τὸ δὲ ξύλον ἀκινητεῖν ὑπὸ τοῦ κρατοῦντος στενοχωρούμενον. Φασὶ δὲ Διόδωρος, καὶ Κοδρᾶτος, καὶ ὁ διδάσκαλός μου Ἰσιδωριανὸς διαφέρειν σφαίρας τὸ σφαιροειδὲς ταύτῃ, ᾗ ἡ μὲν σφαῖρα κυκλοτερῶς πανταχόθεν εἰς λειότητα ἀπήρτισται· τὸ σφαιροειδὲς δὲ κύκλος, οὐ μὴν ἴσος, ἀλλ' ἔχων εἰσοχὰς καὶ ἐξοχάς. Ἔστιν οὖν ἡ γῆ σφαιροειδὴς ἐν κοιλότησί τε ταπεινουμένη, καὶ ἐν ἀναστήμασιν ὑψουμένη. Ἣν οὖν οἰκοῦμεν ἡμεῖς γῆν, μαστός ἐστιν ὥσπερ, καὶ κορυφὴ τῆς πάσης· καθάπερ καὶ τὰς νήσους ἐν μέσῳ τῷ πελάγει ἐπαναβάσας τῷ ὕδατι ὁρῶμεν. Οὕτω καὶ τὴν πᾶσαν οἰκουμένην γενήσουσι τρόπον ἐπέχει [34] τῷ ὄγκῳ τοῦ ἀναστήματος ἐπανακύπτουσαν. Συμβαίνει γὰρ τὸ ὕδωρ κατά τινα μέρη τῆς γῆς, ἂν τύχῃ, ποτὲ μὲν πλεονάζειν, ποτὲ δὲ λήγειν οὕτως, ὥστε ἐπινηχομένην οἴεσθαι τὴν γῆν. Καὶ τὸ πάθος οὐ περὶ τὸ πάσχον, ἀλλὰ περὶ τὸ βαστάζον, καθάπερ καὶ ἐν τῇ θαλάσσῃ γίνεται· τὸ ὕδωρ ὑπὸ τῶν ἀνέμων κινούμενον ἀνώμαλον δείκνυσι τὴν ἐπιφάνειαν· ποτὲ μὲν κυρτουμένων κυμάτων διὰ τὴν τοῦ πνεύματος σφοδρότητα, εἶθ' ὑπὸ τῆς φυσικῆς ἀνάγκης εἰς λειότητα διαχεομένων. Εἰ οὖν συμβαίη κῦμα ὑψηλὸν ὑποδραμεῖν ναῦν, ἐπαιωρίζει μὲν αὐτὴν εἰς ὕψος, διαχυθὲν δὲ συγκατασπᾷ καὶ τὴν ναῦν. Καὶ ἡ κίνησις οὐ τῆς νηὸς, ἀλλὰ τοῦ ὕδατος γίνεται. Δεῖ δὲ εἰδέναι, ὅτι τῶν στοιχείων ἕκαστον οὐ τὴν ἑαυτοῦ μόνην ἔχει φύσιν, ἀλλ' ἑκάστων τῶν λοιπῶν, καὶ οὐδὲν ἄμοιρον τῆς τῶν λοιπῶν μετουσίας. Ἐπὶ τούτοις δὴ τοῖς στοιχείοις ἔξωθέν ἐστι πάντα περιέχων ὁ οὐρανὸς σφαῖρα πέμπτη, οὔτε βαρὺς, οὔτε κοῦφος· ἀλλὰ μεμιγμένην ἐκ πάντων ἔχει τὴν κρᾶσιν· διὸ καὶ τὴν σύστασιν ἐκ τῆς κράσεως βεβαίαν ἔχει. Καὶ ὠνόμασται παρὰ τὸ ὁρᾶν, ὅ ἐστιν ὁρμᾶν· προώρμησε γὰρ οὐρανὸς τῶν ἄλλων στοιχείων. Εἰ δέ ἐστί τι κενὸν ἔξωθεν τοῦ οὐρανοῦ, οὐ περίεργος ἡμῖν ἡ ζήτησις. Πλὴν οἱ Στωϊκοὶ λέγουσιν εἶναι· ταύτῃ γὰρ διαφέρειν τὸ ὅλον τοῦ παντός. Ἀλλ' οὐκ ἄπειρον, ὡς Ἐπίκουρος, καὶ οἱ λοιποί. Ἐπεὶ δὲ συμμεμίχθαι τῷ ὕδατι τὴν γῆν φαμεν, τυχὸν [35] ἀμφοτέρων ποίημα ἦν ὁ ἄνθρωπος, Ἡσίοδος·

Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδήν.

Καὶ τοῦτό ἐστιν ὁ μῦθος ὁ Προμηθέως.

Εἰ ζῶα τρέφει ὁ αἰθήρ.

δ'. Ὁ μὲν ποιητὴς [36] που λέγει *δι' αἰθέρος ἀτρυγέτοιο*. Ἄγονον καὶ ἄκαρπον, ὥς τινες αὐτὸν αἰνιττόμενοι· ἧς γνώμης κινδυνεύει καὶ ὁ Πίνδαρος εἶναι, λέγων· *ἐρήμας δι' αἰθέρος*. Εὑρίσκομεν δὲ αὐτὸν ζωογονοῦντα, καὶ ζῶα ἔχοντα, μάλιστα τοὺς πλάνητας, διὰ τὸ αὐτοκίνητον. Καὶ Ὅμηρος,

Ἥλιος, ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις,

ζῶον εἰπὼν ἔδειξε τὸν ἥλιον· Τί οὖν λέγομεν ἀτρύγετον; οὐ τὸ ἄκαρπον. Καὶ γὰρ γῆν... ἔοικε δὲ καὶ διὰ τὴν τάξιν τοῦ παντὸς καὶ τὴν φύσιν. Ὅμηρος οὖν καταμιγνὺς τὸ μυθῶδες τῷ φυσικῷ· ὁ γὰρ Ζεὺς, ὃν φαμεν εἶναι τοῦ παντὸς δημιουργὸν, πρὸς τὸν ἀέρα τὴν Ἥραν λέγει·

Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
Ἄκμονας ἦκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἧλα;

ἔστι μὲν γὰρ ὁ κρεμάμενος ἀὴρ Ἥρα· οἱ δὲ ἄκμονες

[31] *f.* καλεῖται. [32] *Leg.* δῶμεν. [33] *f.* ἐνεῖρται. [34] *f.* γῆν νήσους ἐπέχειν. [35] *f.* τυχόν, mox ὡς Ἡσίοδος. [36] *f.* αἰνιττόμενος.

Digitized by Google

τῶν στοιχείων τὰ βαρύτατα, τοῦ ἀέρος ἠρτημένα· ὁ δὲ χρυσὸς [37] δεσμὸς τῶν χειρῶν τὸ πῦρ. Συνδέδεται γὰρ τῷ αἰθέρι τὸ πᾶν. Ζῶα δὲ τοῦ ἀέρος τὰ ἐν τῷ ἀέρι φερόμενα αὐτομολήσαντα πρὸς τὸ φυσᾶν.

Περὶ κύκλων.

ε'. Κύκλοι δέ εἰσι τὸν ἀριθμὸν ια'· ἀρκτικὸς, ἀνταρκτικὸς, τροπικοὶ δύο, ἰσημερινὸς, ὁρίζων, μεσημβρινὸς, ζωδιακὸς, γαλαξίας, κόλουροι δύο. Μνημονεύων δὲ αὐτῶν Ἄρατος, οὐθετέρως αὐτοὺς καλεῖ·

. . . . ἄρκιος εἴην
Ἀπλανέων τά τε κύκλα τά τ' ἠέρι σήματ' ἐρισπεῖν.

Ἐπαινῶν δὲ αὐτῶν τὴν ἰσότητα τῆς δημιουργίας·

Οὐκ ἂν Ἀθηναίης (φησὶ) χειρῶν δεδαημένος ἀνὴρ
Ἄλλη κοσμήσειεν. . .

Εἰσὶ δὲ οὗτοι· ἀρκτικὸς, θερινὸς τροπικὸς, ἰσημερινὸς, χειμερινὸς τροπικὸς, ἀνταρκτικός. Οὗτοι οἱ πέντε παράλληλοι καλοῦνται διὰ τὴν τάξιν τῆς θέσεως· κεῖνται γὰρ παραλλήλως ἐφεξῆς. Ὁ μὲν οὖν ἀρκτικὸς ὁ ἄνω πρὸς τῷ ἄκρῳ τοῦ ἄξονος τῷ ὑψηλῷ καλεῖται κατά τινας, ὅτι πρῶτος ἄρχεται· τὸ δ' ἀληθὲς, ὅτι ἐν αὐτῷ τὰς καλουμένας Ἄρκτους ἔχει. Ἐντεῦθεν μανθάνομεν τὸ παρὰ τῷ ποιητῇ·

Ἄρκτον θ', ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν
Ἥ τ' αὐτοῦ στρέφεται, καὶ τ' Ὠρίωνα δοκεύει.
Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.

Οὖσα γὰρ ἐν τῷ ἀρκτικῷ, ὡς ὁρῶμεν, οὐ καταδύεται. Ὡς δὲ ἡ χάρις φησὶν ἡ ποιητικὴ, ἐν Ὠκεανῷ οὐ λούεται. Ζητοῦμεν οὖν πῶς μόνην αὐτὴν εἶπε μὴ λούεσθαι, τουτέστι καταδύεσθαι, καὶ τοῦ Δράκοντος, καὶ μέρους τοῦ Κηφέως μὴ καταδυομένου. Λυθήσεται οὖν τὸ ζητούμενον ἐν τῷ περὶ ἀρκτικοῦ λόγῳ, εὐθὺς μετὰ τοῦτον καταβαίνοντι. Ἔστιν ὁ καλούμενος θερινὸς τροπικὸς, ὅτι, γενόμενος ἥλιος ἐν Καρκίνῳ, ὃς κεῖται ἐν αὐτῷ, θερινὰς τροπὰς ποιεῖται· κατὰ Μακεδόνας μὲν Παναίμου εἰκάδι τετάρτῃ, κατὰ δὲ Ἀλεξανδρέας Ἐπιφὶ τετάρτῃ εἰκάδι. Περὶ τούτου φησὶν Ἄρατος·

96 *τοῦ μέν τε δι' ὀκτὼ μετρηθέντος*
Πέντε μὲν ἕρδια στρέφεται καθυπέρτερα γαίης,
Τὰ τρία δ' ἐν περάτῃ. Θέρεος δέ οἱ ἐντροπαί εἰσι.

Μετὰ τοῦτον ὑποκαταβάντι ἐστὶν ὁ καλούμενος ἰσημερινός· ὅτι ὁ ἥλιος, ἐν τῷ ζωδιακῷ κύκλῳ φερόμενος, ὅταν κατὰ Κριὸν γένηται, ἢ κατὰ Χηλὰς, τὰς καλουμένας ὑπ' Αἰγυπτίων Ζυγὸν, ἰσημερίαν ποιεῖ· ἅπαξ μὲν Φαμενὼθ εἰκάδι τετάρτῃ· τουτέστι Γορπιαίου. Καὶ ἐν Κριῷ μὲν ἐαρινὰς ποιεῖ τροπὰς, ἐν δὲ Χηλαῖς, ἤτοι Ζυγῷ, φθινοπωρινάς. Μετὰ τοῦτον κατ' ἐναντίαν ἐστὶν ὁ καλούμενος ἀνταρκτικὸς χειμερινὸς τροπικός· ἐπειδὴ ἥλιος ἐν Αἰγόκερῳ γενόμενος, ὃς κεῖται ἐν αὐτῷ, χειμερινὰς ποιεῖ τροπάς. Μετὰ τοῦτόν ἐστιν ὁ καλούμενος ἀνταρκτικός· ἢ ἐπεὶ ἀντίκειται, ἢ ἐπεὶ ἴσος ἐστὶ τῷ ἀρκτικῷ. Ἔστι δὲ ἴσος ὁ ἀρκτικὸς τῷ ἀνταρκτικῷ, ὁ χειμερινὸς τροπικὸς τῷ θερινῷ τροπικῷ. Ὁ δὲ πάντων μείζων ὁ ἰσημερινός ἐστι μέσος ὤν, ἰσομεγέθης ὢν τῷ ζωδιακῷ καὶ τῷ γαλαξίᾳ. Ἔστι δὲ ζώδια τὰ κατὰ κάθετον ἀλλήλων κείμενα, Καρκῖνος Αἰγόκερῳ, Χηλαὶ Κριῷ. Ὁ δὲ ὁρίζων λέγεται μὲν, ἐπειδὴ διορίζει κατὰ πλάτος τὰ δύο ἡμισφαίρια, διάζωσμα ὢν τοῦ οὐρανοῦ· κεῖται δὲ ἔξω τῆς σφαίρας· ὡς πρὸς τὴν ἡμετέραν ὄψιν. Τὸ δ' ἀληθὲς, τῷ νῷ αὐτὸν ἔσω δεῖ παραλαβεῖν κείμενον. Οἱ δὲ ποιηταὶ Ὠκεανὸν αὐτὸν καλοῦσιν· ὁ γοῦν Εὐφορίων φησίν·

Ὠκεανὸς, τῷ πᾶσα περίῤῥυτος ἐνδέδεται χθών.

Ὁ δὲ μεσημβρινὸς καλεῖται μὲν οὕτως, ὅτι ἥλιος, ἐν τῷ ζωδιακῷ κύκλῳ φερόμενος, ὅταν γένηται κατὰ μεσημβρίαν, τούτου ἅπτεται· τοσοῦτον γὰρ ἀπέχει τῆς ἀναβάσεως ὅσον τῆς καταβάσεως. Ἔστι δὲ ὁ χαλκὸς ὁ [38] κύκλῳ ἐν τῇ σφαίρᾳ περικείμενος διὰ τοῦ ἄξονος ἐμπέπηγεν. Ὁ δὲ ζωδιακὸς καλεῖται μὲν, ἐπειδὴ ἐν αὐτῷ τὰ ιβ' ζώδια ἔχει· ἔχει δὲ ἐγχαράξεις τρεῖς, ἃς οἱ μαθηματικοὶ ταινίας καλοῦσι. Πλατὺς δέ ἐστιν· ἐν αὐτῷ γὰρ φέρεται ὁ ἥλιος πλατύς. Ὡς φασι δὲ οἱ ἀστρολόγοι, εἴ ποτε παραῤῥυῇ τι τῶν ταινιῶν ἡ τοῦ ἡλίου φορὰ, τέρας εἶναι τότε τὸ γεννώμενον. Ἔστι δὲ ὁ κατακεχρισμένος ἐν τῇ σφαίρᾳ κηρῷ μεμιλτωμένῳ. Ὁ δὲ γαλαξίας καλεῖται μὲν, ὡς οἱ μῦθοί φασιν· οἱ μὲν Ἡρακλέα, οἱ δὲ Ἑρμῆν, ὅτε προσετέθη τῷ μαζῷ τῆς Ἥρας ὑπὸ τοῦ Διὸς, ἵνα κλέψειεν ὁ Θεὸς τοῖς τέκνοις ἀθανασίας τροφήν· ἡ δὲ, ἐπεὶ ἐξανέστη, ἠγανάκτησε πρὸς τὴν κλοπὴν, καὶ τὴν θηλὴν τοῦ στόματος ἀπέσπασε βίᾳ, ἐκμυζῶντος ἔτι τοῦ παιδίου· ὡς τότε τῇ θηλῇ ῥέον τῷ οὐρανῷ κύκλῳ περιχυθὲν ἐκτυπῶσαι τὸ σχῆμα τῆς ἐκροῆς· τὸ δὲ ἀληθὲς, διὰ τὴν λευκότητα φερωνύμου προσηγορίας ἔτυχεν. Ἔστι δὲ ὁ κατακεχρισμένος ἐν τῇ σφαίρᾳ κηρῷ λευκῷ. Οἱ δὲ κόλουροι λέγονται μὲν, ὅτι τὸ καταδύνον αὐτῶν εἰς τὸν ἀνταρκτικὸν ἀφανὲς ὄν, ὁλόκληρον ἡμῖν γενέσθαι κολούει [38a] τὴν θέαν· εἰ δὲ ἦσαν τέσσαρες, ὥς φασί τινες, μέχρι τοῦ βλέποντος ἀπαρτιζόμενοι, οὐκ ἂν ἦσαν κόλουροι. Εἰ δέ τις λέγοι, καὶ γὰρ τῶν ἄλλων κύκλων τὰ ὑπὸ γῆν οὐ φαίνονται· ὥστε κἀκεῖνοι κόλουροι· ἴστω, ὅτι, τῶν μὲν τοῦ πόλου στρεφομένου, καὶ τὰ ὑπὸ γῆν ὀφθήσεται, τῶν δὲ κολούρων καὶ ἐν ταῖς τοῦ πόλου στροφαῖς τὰ ἐν τῷ ἀφανεῖ πάντη καταδέδυκε. Τούτων τῶν ια' διχῇ τέμνουσι τὴν σφαῖραν οἵδε· ὁρίζων, μεσημβρινὸς, ζωδιακὸς, γαλαξίας, ἰσημερινὸς, οἱ δύο κόλουροι, καὶ ὁ ἰσημερινὸς, καὶ ὁ ὁρίζων, καὶ μεσημβρινὸς κύκλῳ φέρονται, καὶ ἴσον τῇ μεταφορᾷ τὸν κύκλον ἔχουσιν· ἀλλ' ὡς πρὸς τὴν θέσιν τῆς σφαίρας εἰσὶ λοξοί. Ὁ γοῦν ζωδιακὸς καὶ λοξίας ὑπό τινων καλεῖται· ἐπειδὴ ἥλιος τὰς ὁδοὺς ἐν αὐτῷ πορεύεται λοξός. Ἐν δὲ τῷ ἡλίῳ ὁ Ἀπόλλων, ὃς καλεῖται Λοξίας ὑπὸ τῶν ποιητῶν, εἶναι πιστεύεται. Ἄρχεται δὲ ὁ ζωδιακὸς ἄνωθεν ἀπὸ τοῦ θερινοῦ τροπικοῦ· ἔνθα συνέχει τὸν Καρκίνον ὁ κύκλος. Καταβαίνει δὲ λοξούμενος, ὡς πρὸς τὰ κάτω μέχρι τοῦ θερινοῦ τροπικοῦ, ὅπου τὸν κύκλον συνέχει Αἰγόκερως. Τοῦτον τὸν τρόπον ὁ ἥλιος, ὡς ἔφαμεν, βαδίζων ὄντα λοξὸν, πῇ μὲν ὑπερπετεῖς καὶ πλατείας ὁδοὺς βαδίζει, τὰς ἄνω, ὅταν ᾖ ἐν Καρκίνῳ, ὡς πρὸς τὸ ἡμέτερον κλίμα ἐν ὑψηλῷ κειμένου [39]· πῇ δὲ στε-

[37] *f.* χρυσοῦς. [38] *f.* ὃς. [38a] *f.* κωλύει. EDIT. [39] *f.* κείμενον.

Digitized by Google

νὰς καὶ χθαμαλὰς, τὰς κάτω, ὅταν ἐν Αἰγόκερῳ· τὰς δὲ μέσας καὶ ἴσας ἀμφοῖν, ὅταν ἢ Κριῷ [50] ἢ Ζυγῷ.

Περὶ ζωνῶν.

Γ'. Ζῶναι δέ εἰσιν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς πέντε. Ὧν δύο μόναι οἰκοῦνται, μία μὲν ἡ μεταξὺ τοῦ ἀρκτικοῦ καὶ θερινοῦ τροπικοῦ· ἑτέρα δὲ ἡ μεταξὺ χειμερινοῦ τροπικοῦ μέχρις ἀνταρκτικοῦ. Αἱ δὲ λοιπαὶ ἀοίκητοι· δύο μὲν διὰ ψυχρότητα, αἱ ὑπὸ ἀρκτικὸν καὶ ἀνταρκτικόν· μία δὲ διὰ θερμότητα, ἡ ὑπὸ τὸν ἰσημερινόν, καλεῖται διακεκαυμένη. Οἰκοῦμεν δὲ ἡμεῖς τὴν παρὰ θερινοὺς τροπικούς· τεκμαιρόμενοι, ὅτι ἡμεῖς, ταύτην ἔχοντες τὴν οἰκουμένην, δεξιᾷ [51] μὲν ἔχομεν τὴν διὰ ψυχρότητα ἀοίκητον κατὰ βορρᾶν ζώνην, ἐν ἀριστερᾷ δὲ τὴν διακεκαυμένην. Εἰ γὰρ τὴν ὑπὸ χειμερινοὺς τροπικοὺς οἰκοῦμεν [52], δεξιᾷ μὲν ἦν ἂν ἡμῖν ἡ διακεκαυμένη, ἀριστερᾷ δὲ ἡ πρὸς τὸν νότον κατεψυγμένη. Τινὲς δὲ, ὧν ἐστι Παναίτιος ὁ Στωϊκὸς, καὶ Εὔδωρος ὁ Ἀκαδημαϊκὸς, οἰκεῖσθαί φασι τὴν διακεκαυμένην, τῆς κράσεως τοῦ ἀέρος γινομένης ἔκ τε τοῦ σφοδροτέρους εἶναι ἐκεῖσε τοὺς ἐτησίας, καὶ ἐκ τοῦ τὴν ἀναπνοὴν τοῖς ἐκεῖ μεγάλης θαλάσσης μιγνύναι τὴν ἀναθυμίασιν τῆς ψυχρότητος πρὸς τὴν τῆς θερμότητος κρᾶσιν. Καλοῦνται δὲ οἱ ταύτας οἰκοῦντες τὰς ζώνας περίοικοι, ἄντοικοι, ἀντίχθονες, ἀντίποδες· περίοικοι μὲν οἱ τὴν αὐτὴν οἰκοῦντες ζώνην, διὰ τὸ περὶ τὸν αὐτὸν οἰκεῖν τόπον· ἄντοικοι δὲ ἀλλήλοις οἱ τὴν ὑπ' Αἰγόκερω ζώνην τοῖς τὴν ὑπὸ τὸν Καρκίνον οἰκοῦσιν· ἀντίχθονες δὲ, οἱ ἐν τῷ θερινῷ ἢ χειμερινῷ τροπικῷ οἰκοῦσιν. Ἄνω δὲ οἱ αὐτοὶ καὶ ἀντίχθονες λέγονται· ἀντίχθονες μὲν, διὰ τὸ ἄνω εἶναι καὶ κάτω· ἀντίποδες δὲ διὰ τὸ κατὰ κάθετον ἀλλήλων στῆναι. Συντόμως δὲ εἰπεῖν, οἱ περίοικοι τὰ αὐτὰ δι' ἑκατέρων ἀλλήλοις ἔχουσι, τάς τε τοῦ ἐνιαυτοῦ ὥρας, καὶ τὰς νύκτας, καὶ τὰς ἡμέρας τὰς αὐτάς. Οἱ ἄντοικοι τὸ μὲν τῶν ἡμερῶν ἔχουσιν ὡσαύτως· τὸ δὲ τῶν καιρῶν οὐκ ἔχουσιν. Οἱ ἀντίχθονες τὸ μὲν τῶν καιρῶν ἔχουσι, τὸ δὲ τῶν ἡμερῶν οὔ. Οἱ ἀντίποδες οὔτε [53] τῶν ἡμερῶν, οὔτε τὸ τῶν ὡρῶν. Πλὴν καὶ ταύτῃ οἱ ἀντίχθονες ἀλλήλων διαφέρουσιν, ὅσῳ τῶν ἄνω ἀγόντων μακρὰς ἡμέρας, οἱ κάτω κολοβωτέρας ἔχουσι τὰς ἑαυτῶν ἡμέρας. Τὸ δὲ αἴτιον ἡ τῶν κύκλων ἀνισότης. Στρέφεται δὲ τὸ πᾶν αὐτὸ περὶ αὐτὸ ὁσημέραι, καὶ ὥραι· καθὸ καὶ ὁ Ἀσκραῖός φησι·

Σφαῖρας κυκλοτερεῖ μανίᾳ [54] περιηγέϊ χαίρων·

σφαῖραν μὲν καλέσας τὴν σφαῖραν, ὡς καὶ Ὅμηρος ἐσπέριον τὴν ἑσπέραν· καὶ κυκλοτερῆ δὲ διὰ τὸ σφαιροειδές· μανίαν δὲ περιηγέα τῆς στροφῆς τὴν μονήν. Φέρεται δὲ ὁ οὐρανὸς ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰς δυσμάς· ὁ δὲ ἥλιος καὶ οἱ λοιποὶ πλάνητες τὴν ἐναντίαν, τουτέστιν ἀπὸ τῶν δυσμῶν ἐπὶ τὰς ἀνατολάς· ὡς εἶναι διπλῆν κίνησιν αὐτῷ γε [55], τὴν μὲν ἐρχομένων, τὴν δὲ φερομένων καθὰ ἐπὶ τοῦ τροχοῦ, καὶ μύρμηκος, καὶ τῆς νηὸς, καὶ τοῦ ἐν αὐτῇ πρὸς τὴν ἐναντίαν αὐτῆς φορὰν ἔχοντος παράδειγμα. Πεποίηκε δὲ τοῦτο ὁ δημιουργὸς, ἵνα μὴ μεταρυμῆσαι [56] φερόμενον τὸ πᾶν ἑτεροκλινησίαν τὴν κίνησιν ἔχον σφοδράν· ἀνθελκόμενον δὲ, καὶ τῆς ἐντόνου φορᾶς μειούμενον τῇ τῶν πλανητῶν πρὸς τοὐναντίον ὁλκῇ, εὐσταθεστέραν τῆς κινήσεως τὴν ὁρμὴν λαμβάνοι. Ὡς δὲ οἱ μῦθοι παίζουσιν, ἀπεστράφη ταῦτα τὰ ἄστρα τὰ Θυέστεια δεῖπνα, καὶ ἔμεινε τῇ φορᾷ πλανώμενα. Δεῖ δὲ τὸν τὴν σφαῖραν ἐξηγούμενον ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς αὐτὴν κινεῖν, ἀνατολὰς λαμβάνοντα τὴν κατὰ πρόσωπον αὐτοῦ τοῦ κινοῦντος φοράν.

[50] *f.* ἢ ἐν Κριῷ. [51] *Leg.* ἐν δεξ. [52] *f.* ᾠκοῦμεν, ἐν. *cor.* μετὰ ῥύμης. [53] *f.* τὸ τῶν. [54] *f.* μονίᾳ. [55] *f.* αὐτῶν γε. [56] *f.*

---

97 ΙΠΠΑΡΧΟΥ ΒΙΘΥΝΟΥ (51)

ΤΩΝ ΑΡΑΤΟΥ ΚΑΙ ΕΥΔΟΞΟΥ ΦΑΙΝΟΜΕΝΩΝ ΕΞΗΓΗΣΕΩΝ

ΒΙΒΛΙΑ ΤΡΙΑ.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

HIPPARCHI BITHYNI

AD ARATI ET EUDOXI PHÆNOMENA ENARRATIONUM

LIBRI TRES,

DIONYSIO PETAVIO INTERPRETE.

LIBER PRIMUS.

Α'. Ἵππαρχος Αἰσχρίωνι χαίρειν [56*]. Ἡδέως ἐπέγνων διὰ τῆς ἐπιστολῆς τὸ ἐπίμονόν σου τῆς πρὸς φι-

I. Hipparchus Æschrioni salutem. Magnam cepi voluptatem ex litteris tuis, cum ex iis intellexi stu-

[56*] *Abest hæc salutatio a Regio cod.*

(51) Propositum hoc in opere est Hipparcho τῶν ἀπλανῶν doctrinam ab erroribus repurgare, qui ex Eudoxi et Arati libris et auctoritate in illam irrepserant, quorum ille princeps ad hanc diem astro-

Digitized by Google

dio te erga disciplinas ac voluntate esse constanti. Etenim quæ de naturalibus rebus, deque iis quæ ab Arato scripta sunt in coortibus, a me sciscitaris, propensum in bonas artes animum tuum significant; atque hoc tanto majoris a me fit, quanto ex clarissimorum fratrum nostrorum obitu, frequentioribus vitæ hujus negotiis implicatus teneris. Ac de cæteris quidem quid sentiam postea declarabo; nunc de iis quæ in *Phænomenis* prodita suunt ab Arato, institui ad te scribere, ut universe quid recte aut secus in illis scriptum sit aperiam: ex quibus cum perspicua tibi erunt omnia, tum ea maxime, quæ in tua percontatione posuisti.

Atque Arati quidem *Phænomena* cum alii complures interpretati sunt: tum ille ipse, qui ætate nostra vixit, mathematicus omnium videtur accuratissime diligentissimeque scripsisse. Verum carminum istius poetæ sententias explicare, res est non magna, meo quidem judicio, cura et attentione digna. Est enim simplex et concisus hic poeta: tum vel mediocri rerum intelligentia præditis cognitu facilis: quæ autem cœlestibus de rebus ab illo scripta sunt, animo capere, ac quid apparentium rerum experimentis consentaneo, quid contrarie dictum sit, agnoscere; hoc et longe omnium utilissimum, et imprimis mathematica scientia dignum videtur. Quamobrem cum in plerisque, et præcipuis Aratum cernerem ab apparentibus cujusmodi reipsa contingunt aberrare: et in iisdem pene omnibus erroribus non solum reliquos, sed etiam Attalum ipsum esse versatum, visum mihi est, ut et studio erga litteras tuo, et communi utilitati consulerem, ea mandare huic libro, in quibus erratum ab illis esse perspexi. Quod **98** non eo suscipio, ut ex aliorum reprehensione inanis cujusdam opinionis fructum colligam; id enim vanum, et illiberale esse judico; imo vero iis omnibus e contrario gratias habendas censeo, qui communis utilitatis gratia privatim elaborare voluerunt; sed ut neque tu, neque studiosi cæteri in cœlestium contemplatione rerum a veritate longius abhorreatis; quod merito plerisque accidit. Nam poeticus lepor iis, quæ dicuntur, nescio quam fidem et auctoritatem conciliat; ac propemodum omnes, qui poetam hunc commentariis suis illustrarunt, iis quæ ab eo sunt

λομαθίαν οἰκειώσεως. Τά τε γὰρ φυσικὰ τῶν ἐπιζητηθέντων ὑπὸ σοῦ καὶ τὰ περὶ τῶν παρὰ Ἀράτῳ λεγομένων ἐν ταῖς συνανατολαῖς ἱκανωτέραν ἐνέφαινέ μοι φιλοτεχνίαν· καὶ πολλῷ γε μᾶλλον, ὅσῳ πεπλεόνακας ἐν ταῖς βιωτικαῖς ἀσχολίαις διὰ τὴν τῶν ἀξιολογωτάτων ἀδελφῶν ἡμῶν τελευτήν. Περὶ μὲν οὖν τῶν ἄλλων μετὰ ταῦτά σοι τὴν ἰδίαν κρίσιν διασαφήσω· περὶ δὲ τῶν ὑπὸ Ἀράτου λεγομένων ἐν τοῖς *Φαινομένοις* νῦν προτέθειμαί σοι γράψαι, πᾶν καθόλου τὸ καλῶς ἢ κακῶς λεγόμενον αὐτοῖς ὑποδεικνύων· ἐξ ὧν ἔσται σοι φανερὰ πάντα, καὶ τὰ παρὰ σοῦ διαπορηθέντα.

Ζήτησιν [47] μὲν οὖν τῶν Ἀράτου *Φαινομένων*, καὶ ἄλλοι πλέονες συντετάχασιν· ἐπιμελέστατα δὲ δοκεῖ πάντων αὐτὸς [48] ὁ καθ' ἡμᾶς μαθηματικὸς τὸν περὶ αὐτῶν πεποιῆσθαι λόγον. Ἀλλὰ τὸ μὲν ἐξηγήσασθαι τὴν ἐν τοῖς ποιήμασι διάνοιαν οὐ μεγάλης ἐπιστροφῆς προσδεῖσθαι νομίζω· ἁπλοῦς τε γὰρ καὶ σύντομός ἐστι ποιητής· ἔτι δὲ σαφὴς τοῖς καὶ μετρίως παρηκολουθηκόσι· τὸ δὲ συνεῖναι τὰ λεγόμενα περὶ τῶν οὐρανίων ὑπ' αὐτοῦ, τίνα τε συμφώνως τοῖς φαινομένοις ἀναγέγραπται, καὶ τίνα διημαρτημένως, τοῦτ' ὠφελιμώτατον ἡγήσαιτ' ἄν τις, καὶ μαθηματικῆς ἴδιον ἐμπειρίας. Θεωρῶν δ' οὖν τοῖς πλείστοις καὶ χρησιμωτάτοις διαφωνοῦντα τὸν Ἄρατον πρὸς τὰ φαινόμενα, καὶ γινόμενα κατὰ ἀλήθειαν, τούτοις δὲ ἅπασι σχεδὸν οὐ μόνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν Ἄτταλον συνεπιγραφόμενον· ἔκρινα τῆς σῆς ἕνεκα φιλομαθίας καὶ τῆς κοινῆς ὠφελείας ἀναγράψαι τὰ δοκοῦντά μοι διημαρτῆσθαι. Τοῦτο δὲ ποιῆσαι προεθέμην οὐκ ἐκ τοῦ τοὺς ἄλλους ἐλέγχειν φαντασίαν ἀπενέγκασθαι προαιρούμενος· κενὸν γὰρ καὶ μικρόψυχον παντελῶς· τοὐναντίον δὲ δεῖν οἶμαι πᾶσιν ἡμᾶς εὐχαριστεῖν, ὅσοι τῆς κοινῆς ἕνεκεν ὠφελείας ἴδια [49] πονεῖν ἀναδεχόμενοι τυγχάνουσιν· ἀλλ' ἕνεκα τοῦ μήτε σὲ, μήτε τοὺς λοιποὺς τῶν φιλομαθῶν ἀποπλανᾶσθαι τῆς περὶ τὰ φαινόμενα κατὰ τὸν κόσμον θεωρίας· ὅπερ εὐλόγως πολλοὶ πεπόνθασιν. Ἡ γὰρ τῶν ποιημάτων χάρις ἀξιοπιστίαν τινὰ τοῖς λεγομένοις περιτίθησι· καὶ πάντες σχεδὸν οἱ τὸν ποιητὴν τοῦτον ἐξηγούμενοι προστίθενται τοῖς ὑπ' αὐτοῦ λεγομένοις. Ἐμπειρότερον δὲ Εὔδοξος τὴν αὐτὴν τῷ Ἀράτῳ περὶ τῶν φαινομένων σύνταξιν ἀναγέγραφεν. Εὐλόγως οὖν καὶ ἐκ τῆς τῶν τοσούτων καὶ τη-

[47] *f.* ἐξήγησιν. [48] *f.* Ἄτταλος. [49] *f.* ἰδίᾳ.

nomiæ totam eam partem duobus libris comprehenderat. Aratus vero poetico lepore conditam cum iisdem vitiis periculosius etiam ad posteros transmiserat. Accessit et tertius Aratei poematis interpres, qui Hipparchi, ut opinor, sæculo, paulo ante ipsum, commentarios ad illum auctorem scripserat, Attalus grammaticus. Contra hos tres opus istud elucubravit Hipparchus, ac totum distribuit in libros tres. Primus initio testimoniis aliquot ostendit, Aratum ab Eudoxo mutuo omnia sumpsisse; sic ut in multis tantummodo paraphrasten egerit. Post amborum errata notat in stellis per sese, et earum situ, vel descriptione, nec non Attali, qui utriusque vestigia persecutus est, maxime autem in delineandis parallelis, aliisque circulis aberrasse convincit omnes.

Secundus liber bifariam sectus est. Prima pars trium illorum peccata castigat in astrorum συνανατολαῖς, καὶ συγκαταδύσεσι, quos *coortus*, et *cooecasus* appellare licet; posterior de iisdem agit ex rei veritate, et opinione sua constitutis in borealibus asterismis.

Tertius australium asterismorum ortus et occasus explicat; deinde duodecim imaginum ortus itidem et occasus; postremo de intervallis asterismorum disserit, quibus horarum quatuor et viginti spatia complentur.

Digitized by Google

λικούτων μαθηματικῶν συμφωνίας ἀξιόπιστος ἡ ποίησις αὐτοῦ διαλαμβάνεται. Καίτοιγε τοῦ Ἀράτου μὲν ἴσως οὐκ ἄξιον ἐφάπτεσθαι, καὶ ἐὰν ἔν τισι διαπίπτων τυγχάνῃ· τῇ γὰρ Εὐδόξου συντάξει κατακολουθήσας τὰ φαινόμενα γέγραφεν· ἀλλ' οὐ κατιδίαν παρατηρήσας, ἢ μαθηματικὴν κρίσιν ἐπαγγελλομένων ἐν τοῖς οὐρανίοις προσφέρεσθαι, καὶ διαμαρτανόντων τῶν ἐν αὐτοῖς [80].

A dicta consentiunt. Eudoxus autem ad eamdem, in quam Aratus incubuit, apparentium tractationem multo majorem usum ac peritiam contulit. Habet igitur ex tot tantorumque mathematicorum suffragio veritatis opinionem opus illud poeticum. Sed non est fortasse, quod Aratum accusemus, si quid ei erroris oblatum sit; quippe qui Eudoxi commentarium secutus, non observatione propria fretus, phænomena conscripsit. Sed illi potius castigatione digni sunt, qui mathematico dignam de iis judicandi peritiam professi, in iisdem tamen aberrant.

Χωρὶς δὲ τῶν ἠγνοημένων ἐν τοῖς φαινομένοις ὑπό τε Εὐδόξου καὶ τοῦ Ἀράτου, καὶ τοῦ συνεπιγραφομένου ταῖς φάσεσιν αὐτῶν, ἀναγέγραφά σοι καὶ τὰς κατ' ἀλήθειαν γινομένας ἑκάστου τῶν ἀπλανῶν ἄστρων σὺν αὐτοῖς τοῖς κατηστερισμένοις ιβ' ζωδίοις συνανατολὰς καὶ συγκαταδύσεις· ἵνα, παρακολουθῶν ἑκάστοις ἀκριβῶς, καὶ τὰς τῶν ἄλλων ἁπάντων ἀποφάσεις ἐν τούτοις δοκιμάζῃς. Καὶ διασαφῶ μὲν οὐ μόνον τὴν συνανατολήν, ἢ συγκατάδυσιν· ἔτι δὲ καὶ τίνες ἀστέρες ἑκάστου τῶν ἄστρων πρῶτοί τε καὶ ἔσχατοι ἀνατέλλουσιν, ἢ δύνουσιν· καὶ τίνες τῶν ἄλλων ἀστέρων μεσουρανοῦσιν· ἕκαστόν τε τῶν ἀπλανῶν ἄστρων σὺν αὐτοῖς τοῖς ιβ' ζωδίοις ἐν πάσαις ἰσημερινα[ῖ]ς ὥραις ἀνατέλλει, ἢ δύνει. Ἐπὶ πᾶσι δὲ διασαφῶ καὶ τίνες ἀστέρες ἀφορίζουσι πάντα τὰ εἰκοσιτέσσαρα ὡριαῖα διαστήματα. Διότι γὰρ ἕκαστον τούτων συντείνει πρὸς πολλὰ καὶ χρήσιμα τῶν ἐν τοῖς μαθήμασι θεωρημάτων, εὐκατανόητον εἶναι καὶ σοὶ νομίζω.

Ego vero præter Eudoxi et Arati et ejus qui amborum apparentiis astipulator venit, in phænomenis errata, fixarum quoque stellarum omnium veros cum duodecim stellatis signis ortus occasusque perscripsi tibi; ut, accurate perceptis singulis, cæterorum in istis decreta cujusmodi sint probare possis. Neque vero tantum illos stellarum cum signis ortus occasusque persequar: sed etiam quæ singulorum asterismorum stellæ primæ, quæ novissimæ oriantur, aut occidant, quæve aliarum culmen teneant; tum unaquæque stellarum inerrantium quot æquinoctialibus horis cum duodecim ipsis signis ortum occasumque faciat. Postremo et illud exponam, quibusnam stellis singula viginti quatuor horaria spatia terminentur. Nam horum quodlibet ad multas et præcipuas partes mathematicarum artium opportunitatem afferre summam, facile tibi perspectum esse confido.

Β'. Ὅτι μὲν οὖν τῇ Εὐδόξου περὶ τῶν φαινομένων ἀναγραφῇ κατηκολούθηκεν ὁ Ἄρατος, μάθοι μὲν ἄν τις διὰ πλειόνων, παρατιθεὶς τοῖς ποιήμασιν αὐτοῦ περὶ ἑκάστου τῶν λεγομένων τὰς τοῦ Εὐδόξου λέξεις· οὐκ ἄχρηστον δὲ καὶ νῦν δι' ὀλίγων ὑπομνῆσαι, διὰ τὸ διστάζεσθαι τοῦτο παρὰ τοῖς πολλοῖς. Ἀναφέρεται δὲ εἰς τὸν Εὔδοξον β' βιβλία περὶ τῶν φαινομένων, σύμφωνα κατὰ πάντα σχεδὸν ἀλλήλοις, πλὴν ὀλίγων σφόδρα. Τὸ μὲν οὖν ἓν αὐτῶν ἐπιγράφεται Ἔνοπτρον, τὸ δὲ ἕτερον Φαινόμενα. Πρὸς τὰ Φαινόμενα δὲ τὴν ποίησιν συντέταχεν. Ἐν δὴ τούτῳ τῷ συντάγματι Εὔδοξος περὶ μὲν τοῦ Δράκοντος οὕτως γράφει· « Μεταξὺ δὲ τῶν Ἄρκτων ἐστὶν ἡ τοῦ Ὄφεως οὐρά, τὸν μικρὸν ἀστέρα ὑπὲρ τῆς κεφαλῆς ἔχουσα τῆς μεγάλης Ἄρκτου· καμπὴν δὲ ἔχει παρὰ τὴν κεφαλὴν τῆς μικρᾶς Ἄρκτου, καὶ παρατέταται ὑπὸ τοὺς πόδας· ἑτέραν δὲ καμπὴν ἐνταῦθα ποιησάμενος, πάλιν ἀνανεύων ἔμπροσθεν ἔχει τὴν κεφαλήν· » ὁ δὲ Ἄρατος, ὡς ἂν παραγράφων ταῦτα, φησίν·

II. Aratum igitur Eudoxi de phænomenis commentarium esse secutum, cum ex pluribus constare potest, si quis cum illius opere poetico per capita singula, verba Eudoxi conferre voluerit: tum hoc loco commemorare breviter, haud inutile videtur; quod ea res a nonnullis vocetur in dubium. Duo sunt de phænomenis libri, qui Eudoxo tribuuntur; pene in omnibus consentientes invicem, præter paucissima quædam. Horum alter inscriptus est *Speculum*, alter, *Phænomena*. Ad hunc posteriorem opus suum Aratus exegit. In hoc vero de Dracone ita scribit Eudoxus: « Inter Ursas vero Serpentis est cauda: quæ illam exiguam stellam supra caput attollit majoris Ursæ; flexum autem ad minoris Ursæ caput habet; et sub pedes porrigitur, ibi alterum faciens flexum; ac rursus erigens sese, in anteriora caput extendit. » Aratus porro velut ista describens, sic loquitur:

Αὐτὰρ ὅγ' ἄλλην μὲν νεάτῃ ἐπιτείνεται οὐρῇ·
Ἄλλην δὲ σπείρῃ περιτέμνεται. Ἡ μέν οἱ ἄκρη
Οὐρὴ πάρ κεφαλὴν Ἑλίκης ἀποπαύετα. Ἄρ-
[κτου·
Σπείρῃ δ', ἐν Κυνόσουρα κάρη ἔχει. Ἡ δὲ κατ'
[αὐτὴν
Εἱλεῖται κεφαλὴν, καὶ οἱ ποδὸς ἔρχεται ἄχρις.
Ἐκ δ' αὖτις παλίορσος ἀνατρέχει.

Sed hic alteram quidem extrema emetitur cauda:
Alteram vero spira circumscribit. Ei quidem summa
Cauda ad caput Helices quiescit Ursæ.
[ipsum
In spira vero Cynosura caput habet. Hæc autem circa
Gyratur caput, eique ad pedem pervenit usque.
Rursus vero retrocedens recurrit.

[80] *Reg.* ἐπαγγελλόμενος ἐν τοῖς οὐρ. προσ. καὶ διαμαρτάνων τῶν ἐν αὐ.

Digitized by Google

De Boote scribit Eudoxus : « Post majorem Ursam est Arctophylax : » Aratus :

A Περὶ δὲ τοῦ Βοώτου ὁ μὲν Εὔδοξός φησιν· « Ὄπισθεν δὲ τῆς μεγάλης ἐστὶν Ἄρκτου ὁ Ἀρκτοφύλαξ· » ὁ δὲ Ἄρατος·

At post Helicen circumfertur auriganti similis Arctophylax;

Ἐξόπιθεν δ' Ἑλίκης φέρεται, ἐλάοντι ἐοικώς, Ἀρκτοφύλαξ ·.....

rursus Eudoxus idem : « Sub pedibus, inquit, est Virgo. » Aratus:

καὶ πάλιν ὁ μὲν Εὔδοξος· « Ὑπὸ δὲ τοὺς πόδας ἡ Παρθένος ἐστίν· » ὁ δὲ Ἄρατος·

Verum ambobus sub pedibus observato Bootæ Virginem.

Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέπτοιο Βοώτεω Παρθένον.....

De eo, qui Ingeniculus dicitur, Eudoxus : « Ad caput Serpentis, inquit, est Ingeniculus supra caput habens dextrum pedem. » At Aratus :

Ἐπὶ δὲ τοῦ Ἐν γούνασιν ὁ μὲν Εὔδοξός φησι· « Παρὰ δὲ τὴν κεφαλὴν τοῦ Ὄφεως ὁ Ἐν γούνασίν ἐστιν, ὑπὲρ τῆς κεφαλῆς τὸν δεξιὸν πόδα ἔχων· » ὁ δὲ Ἄρατος·

. . . . . *Medium vero supra caput*
Dextri pedis extremum habet tortuosi Draconis.

. . . . . (52) *μέσσῳ δ' ἐφύπερθε καρήνῳ*
B *Δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο Δράκοντος.*

99 Ex quo maxime quod volumus efficitur. Nam uterque in eo lapsus est. Siquidem « Ingeniculus » sinistrum pedem, non dextrum habet supra Draconis caput. Coronam ait Eudoxus sub dorso « Ingeniculi » sitam esse. Sic Aratus :

Ἐξ οὗ καὶ μάλιστα φανερὸν γίνεται τὸ προκείμενον. Παρ' ἑκατέρῳ γὰρ αὐτῶν ἠγνόηται· τὸν γὰρ ἀριστερὸν ἔχει πόδα ὁ Ἐν γουνασιν ἐπὶ τῆς κεφαλῆς τοῦ Δράκοντος, καὶ οὐ τὸν δεξιόν. Τὸν δὲ Στέφανον ὁ μὲν Εὔδοξός φησιν ὑπὸ τὸν νῶτον τοῦ Ἐν γούνασι κεῖσθαι· ὁ δὲ Ἄρατος·

Dorso quidem Corona vicina est. Caput vero summum Observa juxta caput Serpentarii;

Νώτῳ μὲν Στέφανος πελάει· κεφαλῇ γε μὲν ἄκρῃ Σκέπτεο πάρ κεφαλὴν Ὀφιούχεω·

de quibus et Eudoxus ait : « Prope hujus caput est Ophiuchi caput. »

περὶ ὧν καὶ ὁ Εὔδοξός φησι· « Πλησίον δ' ἐστὶ τῆς τούτου κεφαλῆς ἡ τοῦ Ὀφιούχου κεφαλή. »

De situ majoris Ursæ Eudoxus ita scribit : « Porro sub Ursæ majoris capite positi sunt Gemini; sub pedibus vero posterioribus, Leo; ante pedes anteriores Ursæ stella est; splendidior tamen alia sub C posterioribus genibus. Item alia sub posterioribus pedibus. » Aratus quoque :

Περὶ δὲ τῆς θέσεως τῆς μεγάλης Ἄρκτου ὁ μὲν Εὔδοξός φησιν· « Ὑπὸ δὲ τὴν κεφαλὴν τῆς μεγάλης Ἄρκτου οἱ Δίδυμοι κεῖνται· ὑπὸ δὲ τοὺς ὀπισθίους πόδας ὁ Λέων· πρὸ δὲ τῶν ἐμπροσθίων ποδῶν τῆς Ἄρκτου ἀστὴρ ἐστι· λαμπρότερος δὲ ὑπὸ τὰ ὀπίσθια γόνατα· καὶ ἄλλος ὑπὸ τοὺς ὀπισθίους πόδας· » ὁ δὲ Ἄρατος·

Capiti vero ipsius Gemini, mediæ vero Cancer subest. At pedibus sub ambobus Leo clare fulget;

Κρατὶ δέ οἱ Δίδυμοι, μέσσῃ δ' ὑπὸ Καρκῖνος ἐστί. Ποσσὶ δ' ὀπισθοτέροισι Λέων ὑπὸ καλὰ φαείνει·

de stellis autem, quas diximus :

ἐπὶ δὲ τῶν εἰρημένων ἀστέρων·

Talis ei ante pedes fertur claraque magnaque ;
Una sub humeris : una item a lumbo descendentibus.
Alia posterioribus sub genibus.

Τοῖός[81] *οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε*
Εἷς μὲν ὑπ' ὠμαίων, εἷς δ' ἰξυόθεν κατιόντων·
Ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν.

De Auriga scribit Eudoxus : « Ex adverso capitis majoris Ursæ Heniochi sunt humeri : qui quidem oblique situs est, dextrum pedem porrigens supra pedes Geminorum, communem ei, quæ est in extremo sinistro cornu Tauri. » Aratus quoque :

Ἐπὶ δὲ τοῦ Ἡνιόχου ὁ μὲν Εὔδοξός φησι· « Κατέναντι δὲ τῆς κεφαλῆς τῆς μεγάλης Ἄρκτου ὁ Ἡνίοχος ἔχει τοὺς ὤμους, λοξὸς ὢν ὑπὲρ τοὺς πόδας τῶν Διδύμων ἔχων τὸν δεξιὸν πόδα, κοινὸν τῷ ἐν ἄκρῳ τῷ ἀριστερῷ κέρατι τοῦ Ταύρου· » ὁ δὲ Ἄρατος ἐπ D αὐτοῦ φησιν οὕτως·

. . . . . *Helices vero ei summum caput*
Ex adverso volvitur;

. . . . *Ἑλίκης δέ οἱ ἄκρα κάρηνα*
Ἀντία διρεύει·

[81] *Vulg.* οἷος.

(52) *Μέσσῳ δ' ἐφύπερθε.* Ingeniculi dextrum pedem insidere Draconi, non sinistrum, fuit Arati mens; ut eum, præter Hipparchum, interpretati sunt Germanici scholiastes, et Festus Avienus; quorum hic eleganter :

. . . . . *dextræque dehinc impressio plantæ*
Tempora deculcat maculosi prona Draconis ;

Germanici vero scholiastes : *Dextro pede contra Draconem porrecto pingitur;* quod in versibus obscure sic expressum fuerat :

Dextro namque genu nixus, diversaque tendens
Brachia :

imo veram ad θέσιν accommodari poterat, ut dextro nixus genu, sinistrum ejus ad caput Draconis porrigeret. Arati scholiastes Græcus hoc errore animadverso perperam excusare conatus est poetam. Nam δεξιτεροῦ retulit non ad ποδός, sed ad Draconem, qui dexterior, id est borealior appelletur; quoniam si ad occidentem vertamus aspectum, polus arcticus ad dextram nobis erit. Sed nugæ sunt. Vera quippe sententia claret ex Eudoxo, quam Hyginus ab Hipparcho monitus emendavit lib. II, cap. *De Engonasin.* Tametsi non tam error quam παράδραμα fuit hoc Eudoxi, uti num. 7 docet Hipparchus.

Digitized by Google

καὶ πάλιν·

. . . . . λαιοῦ δὲ κεράτος ἄκρον,
Καὶ πόδα δεξιτερὸν παρακείμενον Ἡνιόχοιο
Εἰς ἀστὴρ ἐπέχει·

A item :

. . . . . *Sinistri autem cornu summitatem,*
Et pedem dextrum adjacentem Aurigæ,
Unica stella occupat.

ἐπὶ δὲ τοῦ Κηφέως ὁ μὲν Εὔδοξος οὕτως· « Ὑπὸ δὲ τὴν οὐρὰν τῆς μικρᾶς Ἄρκτου τοὺς πόδας ὁ Κηφεὺς ἔχει πρὸς ἄκραν τὴν οὐρὰν, τρίγωνον ἰσόπλευρον ποιοῦντας· τὸ δὲ μέσον αὐτοῦ πρὸς τῇ καμπῇ τοῦ διὰ τῶν Ἄρκτων Ὄφεως· » ὁ δὲ Ἄρατός φησιν·

De Cepheo ait Eudoxus : « Sub cauda minoris Ursæ pedes sunt Cephei, ad extremam caudam triangulum æquilaterum facientes; medium ipsius ad flexum est Serpentis, qui per Ursas transit. » Aratus vero :

Ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς
Εἰς πόδας ἀμφοτέρους, ὅσση ποδὸς εἰς πόδα τεί-
[νει.
Αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας,
Πρώτης δ' ἰέμενος καμπῆς σκολιοῖο Δράκοντος.

Tanta ei mensura ab extrema tenditur cauda
In pedes ambos, quanta a pede in pedem tendit.

Cæterum a cingulo respicere poteris,
Primum petens flexum magni Draconis.

Παρ' ἑκατέρῳ δ' αὐτῶν τὸ πλεῖστόν ἐστι ψεῦδος. Τὸ γὰρ μεταξὺ ποδῶν τῶν τοῦ Κηφέως διάστημα ἔλασσόν ἐστιν ἑκατέρου τοῦ πρὸς τὴν οὐρὰν διαστή-
ματος.

Uterque majori ex parte fallitur. Nam intervallum B inter pedes Cephei minus est alterutro ad caudam intervallo.

Πάλιν ἐπὶ τῆς Κασσιεπείας ὁ μὲν Εὔδοξος· « Τοῦ μὲν Κηφέως ἔμπροσθέν ἐστιν ἡ Κασσιέπεια· ταύτης δὲ ἔμπροσθεν ἡ Ἀνδρομέδα, τὸν μὲν ἀριστερὸν ὦμον ἔχουσα τῶν Ἰχθύων ὑπὲρ τοῦ πρὸς βορρᾶν, τὴν δὲ ζώνην ὑπὲρ τοῦ Κριοῦ· πλὴν καὶ τρίγωνον ὅ ἐστι μεταξύ· τὸν δ' ἐν τῇ κεφαλῇ ἀστέρα κοινὸν ἔχει τῷ τῆς κοιλίας τοῦ Ἵππου· » ὁ δὲ Ἄρατος·

Kursus de Cassiepea sic Eudoxus : « Ante Cepheum sita est Cassiepea; ante hanc Andromeda : cujus sinister humerus supra borealem Piscem positus est; cingulum supra Arietem : nisi quod triangulum interjacet; stella autem, quam habet in capite, communis ei est cum ea quæ est in ventre Equi. » At Aratus :

Τοῦ δ' ἄρα δαιμονίη προκυλίνδεται, οὐ μάλα
[πολλὴ
Νυκτὶ φαιομένη παμμήνιδι Κασσιέπεια·

Huic autem infelix advolvitur, non admodum multum
Nocte lucens plenilunari Cassiepea;

καὶ μετ' ὀλίγον·

et paulo post :

Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται αἰνὸν ἄγαλμα
Ἀνδρομέδης, ὑπὸ μητρὶ κεκασμένον· . . . . .

Ibi namque et illud volvitur triste simulacrum
Andromedæ, sub matre constellatum; C

καὶ πάλιν·

item :

. . . . . ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ
Τοῦ μὲν ἐπ' ὁμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ·

. . . . . *communis autem fulget stella,*
Hujus quidem in umbilico, illius vero in extremo capite;

καὶ πάλιν ἐπὶ τοῦ Κριοῦ·

ac rursus de Ariete :

. . . . . ζώνῃ δ' ἂν ὁμῶς ἐπιτεκμήραιο
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται·

. . . . *Verumtamen per cingulum deprehendere poteris*
Andromedæ; haud longe enim sub ipsum situs est;

καὶ ἔτι·

100 item :

Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς Ἰχθύος ἔστω
Σῆμα βορειοτέρου· μάλα γάρ νύ οἱ ἐγγύθεν
[ἐστίν.

Porro Andromedæ humerus sinister Piscis esto
Index borealioris; admodum namque ei vicinus est.

Ἐπὶ δὲ τοῦ Περσέως ὁ μὲν Εὔδοξος οὕτω λέγει· « Παρὰ δὲ τοὺς πόδας τῆς Ἀνδρομέδας ὁ Περσεὺς ἔχει τοὺς ὤμους, τὴν δεξιὰν χεῖρα πρὸς τὴν Κασσιέπειαν ἀποτείνων· τὸ δὲ ἀριστερὸν γόνυ πρὸς τὰς D Πλειάδας· » ὁ δὲ Ἄρατος περὶ τῆς Ἀνδρομέδας φησίν·

De Perseo vero ita quidem Eudoxus : « Secundum pedes Andromedæ Persei sunt humeri, qui dextram ad Cassiepeam porrigit; sinistrum vero genu ad Vergilias. » Aratus autem de Andromeda :

Ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπιδινεύονται [88]
Περσέως· οἳ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται·

Ambo vero pedes in sponso volvuntur [88a]
Perseo : qui quidem ei semper in humeris feruntur;

καὶ πάλιν·

rursus :

Καὶ οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
Πενθερείου δίφροιο·

Atque ei dextera quidem ad lecticam protensa est
Soceri sellæ;

καὶ μετ' ὀλίγον

ac paucis interjectis :

Ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
Πληϊάδες φορέονται· ὁ δ' οὐ μάλα πολλὸς ἁπά-
[σας [88].

At ei prope sinistrum genu acervatim omnes
Pleiades feruntur; nec valde magnus omnes
[*locus continet.*

Ἐπὶ δὲ τοῦ Ὀρνιθος ὁ μὲν Εὔδοξος· « Παρὰ δὲ τὴν

De Avi sic Eudoxus : « Ad dextram Cephei sita

[88] *Vulgo* ἐπισημαίνουσιν, *ut et in Regio.* [88] *Addendum videtur* χῶρος ἔχει. [88a] *al.* indicare poterunt.

est Avis ala dextra : ad sinistram alam pedes Equi sunt. » Aratus quoque de Avi sic cecinit :

. . . . . Ad dextram manum
Cephei, pennæ dextras extremitates porrigens :
Sinistræ vero alæ ungula acclinata est Equi.

Sed cum et alia non pauca sint, quæ ab Arato velut exscripta videntur, nobis, ne simus longiores, hæc pauca sufficient.

III. Præterea vel astrorum ipsa distributio satis id quod volumus ostendit. Nam Eudoxus, quemadmodum et Aratus, primum illa, quæ zodiaco sunt ad septentriones posita, memoravit; quibus ad austrum sita subjecit. Sic ortus occasusque cæterorum asterismorum cum duodecim imaginibus zodiaci, eodem, quo Eudoxus, modo percensuit Aratus. De stellis autem quæ in æstivo et hiberno tropico, nec non quæ in æquinoctiali feruntur, Eudoxus quidem ita scribit : « In eo vero Cancri media sunt, et quæ medium Leonem secundum longitudinem permeant. Paulo vero supra Virginem et cervix adhærentis Serpentis : ac dextra manus Ingeniculi, et caput Ophiuchi, cervix Cygni, et ala sinistra; Equi pedes : tum dextra manus Andromedæ, et quod inter pedes est Persei; humerus ejus sinister; crus sinistrum : item Aurigæ genua, et capita Geminorum. Deinde concurrit cum medio Cancri. » Aratus autem ab extremis initio ducto, ita loquitur :

In eo autem ambo capita Geminorum feruntur.
In eo etiam genua sita sunt aptati Aurigæ.
Læva item tibia, et sinister humerus in eo
Persei : Andromedæ autem mediam, supra cubitum,
Dexteram continet; ei quidem vola superne posita est
Propius aquilonem; ad austrum vero inclinatus est
[*cubitus.*
Ungulæ vero equinæ, et collum Cygninum,
Summo cum capite clariquè Anguiferi humeri;

et cætera. De hiberno quoque tropico sic Eudoxus : « Est autem in ipso medium Capricorni, et Aquarii pedes, ac Ceti cauda; flexus Amnis; Lepus, Canis pedes, et cauda; puppis Argus, et malus; Centauri tergum, atque pectus; Fera; Scorpii aculeus. Deinde per Sagittarium cum Capricorni medio committitur. » At Aratus :

Alius autem in opposito austro medium Capricornum
Secat, et pedes Aquarii, et Ceti caudam.
Inest quoque ei Lepus; cæterum Canis non valde ma-
[*gnam partem*
Aufert; sed quantum occupat pedibus. Inest item ei
[*Argo,*
Et magnum Centauri interscapilium; inest etiam
[*aculeus*
Scorpii, et arcus lucidi Sagittarii.

Eodem modo et illa imitando transtulit Aratus, quæ sunt in æquinoctiali sita circulo.

Præter hæc vero, mundi situm eumdem cum Eudoxo constituit Aratus. Nam Eudoxus in eo libro,

A δεξιὰν χεῖρα τοῦ Κηφέως ἡ δεξιὰ πτέρυξ ἐστὶ τοῦ Ὄρνιθος· παρὰ δὲ τὴν ἀριστερὰν πτέρυγα οἱ πόδες τοῦ Ἵππου· » ὁ δὲ Ἄρατός φησιν ἐπὶ τοῦ Ὄρνιθος·

. . . . . κατὰ δεξιὰ χειρὸς
Κηφείης ταρσοῖο τὰ δεξιὰ πείρατα φαίνων·
Λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται Ἵππου.

Καὶ ἄλλων δὲ πλειόνων ὄντων, ἅπερ ἂν δόξειεν οἱονεὶ παραγεγράφθαι, ἀρκέσει καὶ ταῦτα, χάριν τοῦ μὴ μηκύνειν.

Γ'. Χωρὶς δὲ τούτων καὶ ἡ διαίρεσις τῶν ἄστρων φανερὸν ποιεῖ τὸ προκείμενον. Καὶ γὰρ Εὔδοξος, ὡς καὶ ὁ Ἄρατος, πρῶτον ἀναγράφει τὰ βορειότερα ἄστρα τοῦ ζωδιακοῦ· ἔπειτα οὕτω τὰ νοτιώτερα. Καὶ τὰς συνανατολὰς δὲ καὶ συγκαταδύσεις τοῖς ιβ' ζωδίοις τῶν ἄλλων ἄστρων ὁμοίως τεταχὼς ὁ Ἄρα- B τος τῷ Εὐδόξῳ. Περὶ δὲ τῶν ἀστέρων τῶν ἐπὶ τοῦ θερινοῦ καὶ χειμερινοῦ τροπικοῦ φερομένων, ἔτι δὲ ἐπὶ τοῦ ἰσημερινοῦ· ὁ μὲν Εὔδοξός φησιν ἐπὶ τοῦ θερινοῦ οὕτως· « Ἔστι δὲ ἐν τούτῳ τὰ μέσα τοῦ Καρκίνου, καὶ τὰ διὰ τοῦ σώματος κατὰ μῆκος τοῦ Λέοντος. Τῆς δὲ Παρθένου μικρὸν ἄνωθεν, καὶ ὁ αὐχὴν τοῦ ἐχομένου Ὄφεως, καὶ ἡ δεξιὰ χεὶρ τοῦ Ἐν γόνασι, καὶ ἡ κεφαλὴ τοῦ Ὀφιούχου, καὶ ὁ αὐχὴν τοῦ Ὄρνιθος, καὶ ἡ ἀριστερὰ πτέρυξ, καὶ οἱ τοῦ Ἵππου πόδες· ἔτι δὲ καὶ ἡ δεξιὰ χεὶρ τῆς Ἀνδρομέδας, καὶ τὸ μεταξὺ τῶν ποδῶν τοῦ Περσέως, καὶ ὁ ἀριστερὸς ὦμος, καὶ ἡ ἀριστερὰ κνήμη· ἔτι δὲ τὰ γούνατα τὰ τοῦ Ἡνιόχου, καὶ αἱ κεφαλαὶ τῶν Διδύμων· εἶτα συμπίπτει πρὸς τὰ μέσα τοῦ Καρκίνου· » ὁ δὲ Ἄρα- C τος, ἀπὸ τῶν ἐσχάτων ἀρξάμενος, φησίν·

Ἐν δέ οἱ ἀμφότεραι κεφαλαὶ Διδύμων φορέονται.
Ἐν δὲ τὰ γούνατα κεῖται ἀρηρότος Ἡνιόχοιο·
Λαιὴ δὲ κνήμη καὶ ἀριστερὸς ὦμος ἐπ' αὐτοῦ
Περσέος. Ἀνδρομέδης δὲ μέσῃ ἀγκῶνος ὕπερθεν
Δεξιτερὴν ἐπέχει· τὸ μέν οἱ θέναρ ὑψόθι κεῖται
Ἀσσότερον βορέαο· νότῳ δ' ἐπικέκλιται ἀγκών.

Ὅπλαὶ δ' Ἱππειοι, καὶ ὑπαύχενον ὀρνίθειον,
Ἄκρη σὺν κεφαλῇ καλοὶ τ' Ὀφιούχεοι ὦμοι·

καὶ τὰ ἑξῆς. Ἐπὶ δὲ τοῦ χειμερινοῦ τροπικοῦ ὁ μὲν Εὔδοξός φησιν οὕτως· « Ἔστι δὲ ἐν αὐτῷ τὰ μέσα τοῦ Αἰγόκερω, καὶ οἱ πόδες τοῦ Ὑδροχόου, καὶ τοῦ Κήτους ἡ οὐρὰ, καὶ τοῦ Ποταμοῦ ἡ καμπὴ, καὶ ὁ Λαγωὸς, καὶ τοῦ Κυνὸς οἱ πόδες καὶ ἡ οὐρὰ, καὶ τῆς Ἀργοῦς ἡ πρύμνα, καὶ ὁ ἱστὸς, καὶ τοῦ Κενταύρου ὁ νῶτος, καὶ τὰ στήθη, καὶ τὸ Θηρίον, καὶ τοῦ Σκορ- D πίου τὸ κέντρον· εἶτα διὰ τοῦ Τοξότου πρὸς τὰ μέσα τοῦ Αἰγόκερω συνάπτει· » ὁ δὲ Ἄρατός φησιν οὕτως·

Ἄλλος δ' ἀντιόωντι νότῳ μέσον Αἰγοκερῆα
Τέμνει, καὶ πόδας Ὑδροχόου, καὶ Κήτεος οὐρήν·
Ἐν δέ οἱ ἐστι Λαγωός· ἀτὰρ Κυνὸς οὐ μάλα πολ-
[*λὴν*
Αἴνυται, ἀλλ' ὁπόσην ἐπέχει ποσίν. Ἐν δέ οἱ
[*Ἀργῶ,*
Καὶ μέγα Κενταύροιο μετάφρενον· ἐν δὲ τὸ κέν-
[*τρον*
Σκορπίου· ἐν καὶ τόξον ἐλαφροῦ Τοξευτῆρος.

Ὁμοίως δὲ τούτοις παραγέγραφεν ὁ Ἄρατος καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ κύκλου κείμενα.

Χωρὶς δὲ τούτων καὶ τὸ κλίμα τοῦ κόσμου τῷ Εὐ- [11] δόξῳ ὑποτίθεται ὁ Ἄρατος. Καὶ γὰρ ὁ Εὔδοξος ἐν

[11] *In Reg.* τούτῳ Εὐδ., *an* τὸ αὐτὸ τῷ?

Digitized by Google

τῷ ἐπιγραφομένῳ Ἐνόπτρῳ τὸν τροπικὸν τέμνεσθαί φησιν οὕτως, ὥστε λόγον ἔχειν τὰ τμήματα πρὸς ἄλληλα τὸν αὐτόν, οἷον ἔχει τὰ ε' πρὸς τὰ γ'.

A quem Ἐνόπτρον inscripsit, tropicum ita secari docet, ut ea sit ratio segmentorum inter se, quæ est 5 ad 3.

Δ'. Ὅτι μὲν οὖν Εὐδόξῳ ἐπακολουθήσας ὁ Ἄρατος συντέταχε τὰ *Φαινόμενα*, ἱκανῶς οἶμαι δεικνύναι διὰ τῶν προειρημένων· ἐν οἷς δὲ διαπίπτουσιν οὗτοί τε καὶ οἱ συνεπιγραφόμενοι αὐτοῖς, ὧν ἐστι καὶ ὁ Ἄτταλος, νῦν ὑποδείξομεν· ἐκθησόμεθα δὲ εὐθέως καὶ ἐν οἷς ἰδίᾳ ἕκαστος αὐτῶν διαμαρτάνει. Προληπτέον δὲ, διότι Ἄτταλος πᾶσι σχεδὸν τοῖς ὑπὸ τοῦ Ἀράτου λεγομένοις περὶ τῶν οὐρανίων συνεπιγράφεται, ὡς συμφώνως τοῖς φαινομένοις ὑπ' αὐτοῦ λεγομένοις, πλὴν ἐφ' ἑνὸς καὶ δευτέρου· ἃ δὴ καὶ ὑποδείξομεν ἐν τοῖς ἑφεξῆς. Λέγει γοῦν ἐν τῷ προοιμίῳ τὸν τρόπον τοῦτον· « Διὸ δὴ τότε τοῦ Ἀράτου βιβλίον ἐξαπεστάλκαμέν σοι διωρθωμένον ὑφ' ἡμῶν, καὶ τὴν ἐξήγησιν αὐτοῦ, τοῖς τε φαινομένοις ἕκαστα σύμφωνα ποιήσαντες καὶ τοῖς ὑπὸ τοῦ ποιητοῦ γεγραμμένοις ἀκόλουθα. » Καὶ πάλιν ἑξῆς φησι· « Τάχα δέ τινες ἐπιζητοῦσι τίνι λόγῳ πεισθέντες φαμὲν ἀκολούθως τῇ τοῦ ποιητοῦ προαιρέσει τὴν διόρθωσιν τοῦ βιβλίου πεποιῆσθαι. Ἡμεῖς δὲ ἀναγκαιοτάτην αἰτίαν ἀποδίδομεν τὴν τοῦ ποιητοῦ συμφωνίαν. » Τοιαύτην ὦν ἔχοντος τοῦ Ἀττάλου τὴν διάληψιν, ὅσα ἂν ἀποδεικνύωμεν τῶν ὑπὸ τοῦ Ἀράτου καὶ Εὐδόξου κοινῶς λεγομένων διαφωνοῦντα πρὸς τὰ φαινόμενα, δεῖ διαλαμβάνειν καὶ τὸν Ἄτταλον περὶ τῶν αὐτῶν διημαρτημένως συναποφαινόμενον.

101 IV. Aratum igitur Eudoxo in omnibus assentientem *Phænomena* sua conscripsisse, satis me arbitror hactenus ostendisse. Nunc ea demonstrabimus, in quibus tam aberrarunt iidem ambo, quam qui illis subscripserunt : e quibus est Attalus. Quibus ea deinceps adjiciemus, quæ privatim ab unoquoque peccata sunt. Sed illud antea cogitandum est : Attalum omnibus fere, quæ ab Arato cœlestibus de rebus prodita sunt, assentiri, tanquam recte et congruenter iis, quæ apparent, explicata fuerint ; si unum vel alterum excipias, de quibus postea dicetur. Sic igitur in proœmio loquitur Attalus : « Propterea nos Arati librum ad te misimus emendatum a nobis, una cum illius interpretatione, adeo ut et apparentiis consentanea et cum poetæ narratione congruentia singula faceremus. » Idem deinceps ad eum modum scribit : « Quærent aliqui fortasse qua ratione freti dixerimus, consentanee poetæ proposito libri nos illius emendationem instituisse. Hujus vero causam nos præcipuam adducimus, poetæ consensionem. « Cum hæc Attali sententia sit, quæcunque ab Arato, vel Eudoxo communiter dicta minime cum apparentiis convenire demonstrabimus, eadem ab Attalo quoque putandum scripta esse mendose.

Ε'. Πρῶτον μὲν οὖν ὁ Ἄρατος ἀγνοεῖν μοι δοκεῖ τὸ ἔγκλιμα τοῦ κόσμου, νομίζων ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τοιοῦτον εἶναι, ὥστε τὴν μεγίστην ἡμέραν λόγον ἔχειν πρὸς τὴν ἐλαχίστην τὸν αὐτόν, ὃν ἔχει τὰ ε' πρὸς τὰ γ'. Λέγει γὰρ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ·

V. Primum igitur Aratus in mundi situ aberrasse videtur : qui ejusmodi illum esse putat in Græcia, ut maxima dies eam ad minimam rationem habeat, quam quinque habent ad tria. Nam de æstivo tropico sic loquitur :

Τοῦ μὲν ὅσον τε μάλιστα δι' ὀκτὼ μετρηθέντος
Πέντε μὲν ἔνδια στρέφεται, καὶ ὑπέρτερα γαίης·
Τὰ τρία δ' ἔν περάτῃ.

Hoc sane, quantus quantus est, in octo partes diviso,
Quinque quidem volvuntur supra terram ;
Tres autem infra.

Συμφωνεῖται δὴ, διότι ἐν μὲν τοῖς περὶ τὴν Ἑλλάδα τόποις ὁ γνώμων λόγον ἔχει πρὸς τὴν ἰσημερινὴν σκιὰν, ὃν ἔχει τὰ τέσσαρα πρὸς τὰ τρία. Ἐκεῖ δὴ τοίνυν ἡ μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ἰσημερινῶν ιδ' καὶ γ' ἔγγιστα πεμπτημορίων. Τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν λζ' ὡς ἔγγιστα. Ὅπου δὲ ἡ μεγίστη ἡμέρα λόγον ἔχει πρὸς τὴν ἐλαχίστην, ὃν ἔχει τὰ ε' πρὸς τὰ γ', ἐκεῖ ἡ μὲν μεγίστη ἡμέρα ἐστὶν ὡρῶν ιε'· τὸ δὲ ἔξαρμα τοῦ πόλου μοιρῶν μα' ὡς ἔγγιστα. Δῆλον τοίνυν, ὅτι οὐ δυνατὸν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τὸν προειρημένον εἶναι λόγον τῆς μεγίστης ἡμέρας πρὸς τὴν ἐλαχίστην, ἀλλὰ μᾶλλον ἐν τοῖς περὶ τὸν Ἑλλήσποντον τόποις. Καίτοιγε ὁ μὲν Ἄρατος, οὐκ ἀφ' ἑαυτοῦ κρίσιν περὶ τῶν τοιούτων προφερόμενος, γέγραφεν, ἀλλὰ τῷ Εὐδόξῳ καὶ περὶ τούτου κατακολουθήσας· εἰ δὲ καὶ ἀφ' ἑαυτοῦ γέγραφεν, οὐ διασαφήσας ἐν ποίοις ἐστὶν ἡ προειρημένη ἔγκλισις τοῦ κόσμου, τάχα ἂν κατά γε τοῦτο διακρούοιτο τὸ ἔγκλημα. Ὁ μέντοιγε Ἄτταλος ὁμολογουμένως

Est autem apud omnes in confesso, in Græciæ tractu gnomonem hanc ad æquinoctialem umbram proportionem habere, quæ est quatuor ad tria. Quare ibidem maxima dies horarum est æquinoctialium 14 et 36′ circiter. Poli autem altitudo partium est fere 37. At ubi maximæ diei ratio ad brevissimam ejusmodi est, qualis est 5 ad 3, ibi et dies maxima horarum est 15, et polus gradibus 41 circiter attollitur. Apparet ergo fieri non posse, ut in Græcia ratio illa sit maximæ diei ad minimam, sed potius id in Hellesponti tractu contingere. Quanquam non ex suopte judicio iis de rebus pronuntians ista scripsit Aratus ; sed in illis etiam imitatus Eudoxum. Quod si judicium ipse suum interposuerit, tamen cum id non expresserit, quibusnam regionibus talem cœli positum attribuerit, hac ratione culpam a se deprecari videtur. Attalus vero citra controversiam castigatione dignus est, qui diserte scribit in Græcia

Digitized by Google

ejusmodi esse maximæ dici rationem ad minimam, quam habent 5 ad 3. Postquam enim Arati carmine de æstivo tropico adduxit in medium, statim ista subjecit : « In hoc vero perspicue declarat se totum id operis in Græciæ regionibus elucubrasse. Nam apud illos ea ratio est longissimæ diei ad brevissimam noctem, quæ est 5 ad 3. »

A ἠγνόει, λέγων ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τὴν μεγίστην ἡμέραν πρὸς τὴν ἐλαχίστην λόγον ἔχειν, ὃν τὰ ε' πρὸς τὰ γ'. Προεκθέμενος γὰρ τὰ ἐπὶ τοῦ θερινοῦ τροπικοῦ ποιήματα, ἐπιφέρεται ταυτί· « Διὰ δὲ τούτου φανερὸν ποιεῖ, διότι τὴν ὅλην πραγματείαν ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις πεποίηται. Παρ' ἐκείνοις γάρ ἐστιν ἡ μακροτάτη ἡμέρα πρὸς τὴν μικροτάτην νύκτα, ὡς τὰ ε' πρὸς τὰ γ'. »

In illud auget admirationem, quod Eudoxum alio in libro longe aliter scripsisse non animadverterit, asserentem segmentum illud tropici, quod supra terram est, ad alterum, quod sub terra conditur, eam rationem habere quæ est 12 ad 7. Cui consentanea Philippus, et complures alii scripserunt, et nihilominus coortus, et cooccasus siderum ita perscripserunt, tanquam ipsos in Græciæ provinciis observassent. Ita in loci hujus inclinatione fugit illos ratio. Nos autem hoc illorum errore prætermisso, totam eorum lucubrationem ad Græciæ horizontem exegimus. Non enim veritatis amantem, sed inaniter curiosum decet in falsa illorum hypothesi convincenda, et iis ipsis reprehendendis totum immorari, sed si ad observationes factas in Græcia accommodari queant... Adhibeatur igitur ad eam considerationem horizon Athenarum; ubi maxima dies est horarum 14, 36'; altitudo vero poli graduum 37.

Ac de boreali polo falsus est Eudoxus, dum sic scribit : « Est vero stella quædam in eodem semper consistens loco quæ quidem polus est mundi. » Nam in polo ipso stella nulla sita est : sed vacuus est locus, cui stellæ tres adjacent : quibuscum punctum ipsum poli quadrangulam circiter figuram efficit : ut et Pytheas Massiliensis ait.

B Ἔτι δὲ μᾶλλον θαυμάσειεν ἄν τις πῶς ποτε οὐκ ἐπέστησε τοῦ Εὐδόξου ἐν τῷ ἑτέρῳ συντάγματι διαφόρως ἐκθεμένου, καὶ γράφοντος, ὅτι τὸ ὑπὲρ γῆν τοῦ τροπικοῦ τμῆμα πρὸς τὸ ὑπὸ γῆν λόγον ἔχει, ὃν τὰ ιβ' πρὸς τὰ ζ'· ὁμοίως δὲ τούτῳ καὶ τῶν περὶ Φίλιππον ἀναγραφόντων, καὶ ἄλλων πλειόνων. Πλὴν ἐπισυντετάχασι μὲν τὰς συνανατολάς τε καὶ συγκαταδύσεις τῶν ἄστρων, ὡς ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις τετηρημένων· κατὰ δὲ τὸ ἔγκλιμα τῶν τόπων διημαρτήκασι. Παραπέμψαντες [55] τοῦτο τὸ ἀγνόημα, τὴν ὅλην αὐτῶν σύνταξιν ἐπεσκεψάμεθα πρὸς τὸν ἐν τῇ Ἑλλάδι ὁρίζοντα. Οὐδὲ γὰρ φιλαλήθους, ἀλλὰ κενοσπούδου, τὸ κατὰ πάντα μαχόμενον τῇ διεψευσμένῃ ὑποθέσει ἐπιλαμβάνεσθαι αὐτῶν, κἂν τύχῃ συμφώνως λεγόμενα τοῖς ἐν τῇ Ἑλλάδι φαινομένοις. Ὑποκείσθω δὲ ἡμῖν ὁρίζων πρὸς τὴν ἐπίσκεψιν ὁ ἐν Ἀθήναις· οὗ ἐστιν ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ' καὶ γ' πεμπτημορίων· τὸ δὲ ἔξαρμα τοῦ πόλου περὶ μοιρῶν λζ'.

Ac de boreali polo falsus est Eudoxus, dum sic scribit : « Est vero stella quædam in eodem semper consistens loco quæ quidem polus est mundi. » Nam in polo ipso stella nulla sita est : sed vacuus est locus, cui stellæ tres adjacent : quibuscum punctum ipsum poli quadrangulam circiter figuram efficit : ut et Pytheas Massiliensis ait.

Περὶ μὲν οὖν τοῦ βορείου πόλου Εὔδοξος ἀγνοεῖ, λέγων οὕτως· « Ἔστι δέ τις ἀστὴρ μένων ἀεὶ κατὰ C τὸν αὐτὸν τόπον. Οὗτος δὲ ὁ ἀστὴρ πόλος ἐστὶ τοῦ κόσμου. » Ἐπὶ γὰρ τοῦ πόλου οὐδὲ εἷς ἀστὴρ κεῖται, ἀλλὰ κενός ἐστι τόπος, ᾧ παράκεινται τρεῖς ἀστέρες, μεθ' ὧν τὸ σημεῖον τὸ κατὰ τὸν πόλον τετράγωνον ἔγγιστα σχῆμα περιέχει· καθάπερ καὶ Πυθέας φησὶν ὁ Μασσαλιώτης.

102 VI. Secundum hæc par omnium error in Draconis constituendo situ : cujus flexum existimant circa minoris Ursæ caput fieri. Etenim lucidissimæ antecedentesque stellarum, quæ sunt in illius laterculo, quarum alterca borealior secundum illos supra caput ipsius est ; altera australior in anterioribus pedibus ; parallelæ sunt circiter caudæ Draconis. Falso igitur hæc scripta sunt·

Σ'. Ἐχομένως δὲ καὶ διαμαρτάνουσι πάντες ἐν τῇ τοῦ Δράκοντος θέσει, ὑπολαμβάνοντες τὴν καμπὴν αὐτοῦ ποιεῖσθαι περὶ τὴν κεφαλὴν τῆς μικρᾶς Ἄρκτου. Οἱ γὰρ λαμπρότατοι καὶ ἡγούμενοι τῶν ἐν τῷ πλινθίῳ ταύτης ἀστέρων, ὧν ὁ μὲν βορειότερός ἐστι κατὰ τοῦ [56] ἐπὶ τῆς κεφαλῆς, ὁ δὲ νοτιώτερος ἐπὶ τῶν ἐμπροσθίων ποδῶν, παραλλήλως ἔγγιστα κεῖνται τῇ οὐρᾷ τοῦ Δράκοντος. Ψεῦδος οὖν ἐστι τό·

D

In spira autem Cynosura caput habet. Hæc vero Volvitur caput. [circa ipsum

Σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐ- *El.leîtai κεφαλήν.* [τὴν

Quibus similia scripsit Eudoxus. Sed peculiaris Arati de Dracone est inscitiæ lapsus : primum quod ab utraque spiræ parte collocavit Ursas. Sunt enim utrinque, non spira interjecta, sed cauda. Nam cum obversæ sint, ac velut parallelæ, Draconis cauda ambas inter in longum porrigitur ; at spira minorem Ursam amplexatur : a majore sejungitur. Ob eamdem quoque causam etiam istud, « Circumque fractus, » perperam dicitur. Tum id enim verum esset, si ab utraque spiræ parte collo-

Ὁμοίως δὲ καὶ ὁ Εὔδοξος γράφει. Ἰδίᾳ δὲ ὁ Ἄρατος ἐπὶ τοῦ Δράκοντος ἀγνοεῖ· πρῶτον μὲν τῷ φάσκειν σπείρης ἑκάτερθε φέρεσθαι τὰς Ἄρκτους· τῆς γὰρ οὐρᾶς ἑκατέρωθέν εἰσι, καὶ οὐ τῆς σπείρης. Ἀντεστραμμένων γὰρ αὐτῶν, καὶ ὡσανεὶ παραλλήλως κειμένων, ἡ οὐρὰ τοῦ Δράκοντος μεταξὺ αὐτῶν διὰ μήκους παρατέταται· ἡ δὲ σπεῖρα τὴν μὲν μικρὰν Ἄρκτον περιλαμβάνει· τῆς δὲ μεγάλης πολὺ χεχώρισται. Διὰ τὴν αὐτὴν δὲ αἰτίαν καὶ τὸ, *Ἀμφὶ* τ' *ἐαγώς*, ἡμαρτημένως λέγεται. Συνέβαινε γὰρ ἂν

[55] *Deest aliquid, puta* ἡμεῖς οὖν παραπ. [56] *Cor.* κατ' αὐτούς.

Digitized by Google

τοῦτο, εἰ ἐξ ἑκατέρου μέρους τῆς σπείρης ἀμφότεραι ἔκειντο αἱ Ἄρκτοι. Ἔτι δὲ ἀγνοεῖ περὶ τοῦ Δράκοντος, λέγων οὕτως·

Λοξὸν δ' ἐστὶ κάρη· νεύοντι δὲ πάμπαν ἐοικεν
Ἄκρην εἰς Ἑλίκης οὐρήν· μάλα δ' ἐστὶ κατ' ἰθὺ
Καὶ στόμα, καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.

Οὐ γὰρ ὁ δεξιὸς κρόταφος, ἀλλ' ὁ ἀριστερὸς ἐπ' εὐθείας ἐστὶ τῇ γλώσσῃ τοῦ Ὄφεως τῇ ἄκρᾳ τῆς μεγάλης Ἄρκτου. Τὸ μὲν γὰρ λέγειν, ὅτι ἀντεστραμμένην τὴν κεφαλὴν τοῦ Δράκοντος ὑποτίθεται, καὶ οὐχὶ εἰς τὰ ἐντὸς τοῦ κόσμου ἐπεστραμμένην, καθάπερ φησὶν ὁ Ἄτταλος, τελέως ἐστὶν ἀπίθανον. Ἅπαντα γὰρ τὰ ἄστρα ἠστερίσθαι πρὸς τὴν ἡμετέραν θεωρίαν, καὶ ὡς ἂν πρὸς ἡμᾶς ἐστραμμένα, εἰ μή τι [56] κατάγραφον [57] αὐτῶν ἐστι. Φανερὸν δὲ τοῦτο ποιεῖ καὶ ὁ Ἄρατος διὰ πλειόνων. Ἐφ' ὧν γὰρ δεξιὸν ἢ ἀριστερὸν μέρος ἄστρου διασαφεῖ, ἐπὶ πάντων συμφωνεῖ τῇ προειρημένῃ ὑποθέσει· καὶ ἄλλως δὲ πλασματώδης ἐστὶν ἡ ὑπόθεσις καὶ ἡρμοσμένη. Πρὸς τούτῳ τε τῷ ἀγνοήματι βοηθήσειε καὶ τὸ περὶ τὸν ἀριστερὸν πόδα τοῦ Ἐν γούνασι, περὶ οὗ προελθόντες ἐροῦμεν.

Περὶ δὲ τῆς θέσεως τῆς τοῦ Δράκοντος κεφαλῆς οἱ μὲν περὶ Εὔδοξον καὶ Ἄρατον συμφώνως ἀποφαίνονται τὰ φαινόμενα· ὁ δὲ Ἄτταλος διαφωνεῖ. Ὁ μὲν γὰρ Ἄρατος, ἀκολουθῶν τῷ Εὐδόξῳ, ἐπὶ τοῦ φανεροῦ κύκλου φησὶν αὐτὴν φαίνεσθαι, λέγων οὕτω·

Κείνη πάρ κεφαλῇ τῇ νείσσεται [58], ᾗχί περ ἄκραι
Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσι.

Ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται.

Digitized by Google

Συνεγγίζει δὲ καὶ ταῦτα τῇ ἀληθείᾳ. Ὁ δὲ Εὔδοξος τὰ μὲν ἄλλα ὁμοίως εἴρηκε· τῶν δὲ Χηλῶν τὰ μέσα φησὶν ἐπὶ τοῦ ἰσημερινοῦ κεῖσθαι, τοῦ τε Ἀετοῦ τὴν ἀριστερὰν πτέρυγα, τοῦ δὲ Ἵππου καὶ τὴν ὀσφύν, καὶ ἔτι τῶν Ἰχθύων τὸν βορειότερον αὐτῶν. Οὔτε δὲ ὁ Ἀετὸς ἐπιβάλλει τῷ ἰσημερινῷ, ὅ τε ἐπὶ τῆς ὀσφύος τοῦ Ἵππου βορειότερός ἐστι τοῦ ἰσημερινοῦ πλεῖον ἢ μοί. γ′ S″· ὅ γε μὴν βορειότερος τῶν Ἰχθύων βορειότερός ἐστι τοῦ ἰσημερινοῦ ἔγγιστα μοί. ι′. Ὁ δὲ Ἄτταλος περὶ τῶν ἐν τοῖς εἰρημένοις κύκλοις ἀστέρων τὸν μὲν κατὰ μέρος λόγον παραπέμπει· (68) γράφει δὲ ταῦτα· « Ἐν οἷς δὲ διασαφεῖ διὰ τίνων ἀστέρων ἕκαστος τῶν γ′ παραλλήλων διήκει δ′ ὃ παραπέμπει ὁλοσχερῶς, οὐ δυναμένων διέρχεσθαι τῶν κύκλων δι' ὧν φησιν ἀστέρων αὐτοὺς διήκειν, διὰ τὸ παρηκολουθηκέναι σε, διὰ τῆς διόπτρας ἐπεσκεμμένον αὐτά, παρῆκα νῦν διασαφεῖν. » Πρῶτον μὲν οὖν ἔδει καὶ τῶν λοιπῶν χάριν τῶν φιλομαθούντων, εἴπερ παρηκολούθει, ὑποδεῖξαι τίνες τε αὐτῶν νοτιώτεροι καὶ βορειότεροι ἐφαίνοντο τοῦ θερινοῦ τροπικοῦ, καὶ πόσῳ· ἔπειτα πρὸς τὸ αὐτὸ τοῦτο μόνον κατανοῆσαι, διότι οὐ φέρονται κύκλοι διὰ τῶν εἰρημένων ἀστέρων, οὐ χρεία διόπτρας. Πολλῷ γὰρ τῶν μὲν νοτιωτέρων ὑπαρχόντων, τῶν δὲ βορειοτέρων, αὐτόθεν ἀναβλέψαντι φανερὸν γίνεται, διότι οὐ δυνατὸν διὰ τῶν λεγομένων ἀστέρων γραφῆναι ἢ τὸν ἰσημερινὸν, ἢ παράλληλόν τινα τούτων κύκλον.

ΚΖ′. Χωρὶς δὲ τῶν εἰρημένων γ′ κύκλων ὁ Εὔδοξος καὶ τοὺς ἐπὶ τοῦ ἀρκτικοῦ κύκλου κειμένους ἀστέρας διασαφεῖ· καί φησιν ἐπ' αὐτοῦ κεῖσθαι τόν τε ἀριστερὸν ὦμον τοῦ Ἀρκτοφύλακος, καὶ τὰ ἄνωθεν τοῦ Στεφάνου, καὶ τὴν κεφαλὴν τοῦ διὰ τῶν Ἄρκτων Ὄφεως· τῆς δὲ Λύρας καὶ τῆς δεξιᾶς πτέρυγος τοῦ Ὄρνιθος τὰ ἄνωθεν· τοῦ δὲ Κηφέως τὸ στῆθος· τῆς δὲ Κασσιεπείας τὰ ἄνωθεν. Εἶτα ὑπὸ τοὺς ἐμπροσθίους πόδας τῆς μεγάλης Ἄρκτου καὶ τοῦ Λέοντος ἄχρι πρὸς τὸν ὦμον τοῦ Ἀρκτοφύλακος, (69) νοτιώτερός ἐστι τοῦ ἀεὶ φανεροῦ τοῦ ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις, πλεῖον ἢ μοί. δ′. Ἀπὸ γὰρ τοῦ βορείου πόλου ἀπέχει μοί. μδ′, δ′ (70)· ὁ δὲ ἀεὶ φανερὸς κύκλος ἀπέχει μοί. λζ′. Τὸ δὲ ἄνωθεν τοῦ Στεφάνου καὶ τῆς Λύρας ὁλοσχερέστερον εἴρηται. Οὐ γὰρ συνεγγίζει ταῦτα τῷ ἀειφανεῖ κύκλῳ, ἀλλ' ἑκάτερον αὐτῶν πολλῷ νοτιώτερόν ἐστιν. Ὁ μὲν γὰρ βορειότερος τῶν ἐν τῇ Λύρᾳ ἀπέχει ἀπὸ τοῦ βορείου πόλου μοί. μθ′· ἡ δὲ κεφαλὴ (71) τοῦ διὰ τῶν Ἄρκτων Ὄφεως νοτιωτέρα μὲν, ἐγγὺς δὲ τοῦ ἀειφανοῦς κύκλου φέρεται. Ὁ γὰρ νοτιώτερος αὐτῶν, καὶ ἐπὶ τοῦ ἀριστεροῦ

A Quæ sunt veritati proxima. Eudoxus autem, cum in reliquis non dissentiat, Chelarum medium ait in æquinoctiali situm esse; una cum ala sinistra Aquilæ: nec non Equi lumbum et Piscium borealiorem. Verum nec Aquila contingit æquinoctialem, et quæ in lumbo est Equi, borealior est amplius partibus 3 1/2; borealior vero Piscium æquinoctiali borealior est partibus circiter 10. Attalus autem omissa particulari disputatione de his stellis, quæ in circulis insunt, quos supra memoravimus, ita scribit: « Ea vero, in quibus explicat, per quasnam stellas transeat quilibet trium parallelorum *** cum ii circuli per eas transire stellas nequeant, quas ille describit, enarrare idcirco nolui; quod eorum tu scientiam ex usu, tractationeque dioptræ sis assecutus. » Verum id in primis oportebat, vel cæterorum ejus doctrinæ studiosorum gratia, si quidem intelligebat, exponere, quæ quantove ex iis stellis australiores, vel borealiores esse viderentur æstivo tropico. Deinde, ut id comprehendatur unum, per eas stellas, quæ percensitæ sunt, non duci circulos, nihil opus est dioptra. Cum enim aliæ haud paulo sint australiores, aliæ borealiores, statim aspectu ipso perspicuum est, neque circulum æquinoctialem, neque alterum æquidistantium per illas ipsas stellas posse perduci.

B

XXVI. Præter superiores illos circulos tres Eudoxus eas stellas describit, quæ sunt in arctico circulo: in eoque situm ait esse sinistrum Arctophylacis humerum et superiora Coronæ, cum capite Serpentis per Ursas transeuntis: item Fidiculæ, ac dextræ alæ Cygni superiores partes: Cephei quoque pectus; et superiora Cassiepeæ. Deinde sub anterioribus **116** majoris Ursæ pedibus ac Leonis, usque ad Arctophylacis humerum, australior est semper apparente circulo Græciæ partibus amplius 4; nam a boreali polo distat partibus 44,15′; circulus vero semper apparens abest partibus 37. Porro superiora Coronæ ac Fidiculæ minus accurate designata sunt. Non enim semper apparenti circulo vicina ista sunt; sed utrumque longe est australius. Nam borealior earum quæ sunt in Fidicula, distat a polo boreali partibus 49; caput vero Serpentis Ursis interjecti australius quidem est, sed semper apparenti tamen circulo citimum est. Quippe australior illarum, et in sinistro sita tempore abest a polo partibus 37, quot semper apparens circulus

C

D

(68) Hæc sunt depravata.

(69) Deest, opinor, aliquid.

(70) Ἀπέχει μοί. μδ′. Scribe, μα′, δ′. Nam altera lectio corrupta est, ut Hipparchus ipse demonstrat.

(71) Ἡ δὲ κεφαλή. Non solum mendosus, sed mutilus etiam hic locus est. Primum pugnare secum Hipparchus, ut se habet modo, videtur. Nam caput Draconis australius facit arctico Græciæ circulo; et idem tamen præcise in eo circulo reponit, siquidem utrumque gradibus septem et triginta distat a polo. Præterea cum duo sidera proposuisset, quæ ab arctico circulo, ubi ea collocarat Eudoxus, longius erant ad austrum remota, superiora Coronæ pariter, ac Lyræ; ubi de ambobus singillatim probare cœpit, unius Lyræ meminit; de Corona ne litteram quidem fecit. Desunt igitur illa, quibus quot partibus a polo Corona distaret, aperuit. Finge Hipparchum ita scripsisse: post ista ἀπὸ τοῦ βορείου πόλου μοί. μθ′· ὁ δὲ βορειότερος τῶν ἐν τῷ Στεφάνῳ, μοί. νγ′. Ἡ δὲ κεφαλὴ τοῦ διὰ τῶν Ἄρκτων Ὄφεως ἐπὶ τοῦ ἀειφανοῦς κύκλου φέρεται. Borealior Coronæ Hipparchi tempore distabat a polo gradibus amplius 53, ex nostris tabulis, sic et Lyræ borealior partibus ab eodem polo aberat 51.

Digitized by Google

constat. Pectus autem Cephei apparente semper circulo est australius, ut supra demonstravimus. Dextræ alæ Cygni superiores partes, et pes Cassiepeæ in apparente circulo feruntur. Etenim borealior earum, quæ in extrema sunt ala dextra, distat a boreali polo partibus 40; borealior earum, quæ sunt in Cassiepea, et in pedibus sita, abest ab eodem polo gradibus 38. Quin et majoris Ursæ pedes borealiores feruntur semper apparente circulo. Siquidem antecedens illorum a boreali polo removetur partibus fere 24; succedens, partibus fere 25. Vere itaque pronuntiavit apparentem semper circulum transire inter Ursam ac Leonem.

A κροτάφου κείμενος ἀπέχει ἀπὸ τοῦ πόλου μοί. λζ', ὅσας καὶ ὁ ἀειφανὴς κύκλος. Τοῦ δὲ Κηφέως τὸ στῆθος νοτιώτερόν ἐστι τοῦ ἀειφανοῦς κύκλου, ὡς πρότερον ὑποδεδείχαμεν. Τῆς δεξιᾶς πτέρυγος τοῦ Ὄρνιθος τὰ ἄνωθεν, καὶ τῆς Κασσιεπείας ὁ ποὺς, ἐπὶ τοῦ φανεροῦ κύκλου φέρεται. Ὁ μὲν γὰρ βορειότερος τῶν ἐν ἄκρᾳ τῇ δεξιᾷ πτέρυγι ἀπέχει ἀπὸ τοῦ βορείου κύκλου μοί. μ'· ὁ δὲ βορειότερος τῶν ἐν τῇ Κασσιεπείᾳ, ὃς ἐστιν ἐν τοῖς ποσὶν, ἀπέχει ἀπὸ τοῦ πόλου μοί. λη'. Καὶ οἱ πόδες δὲ (72) τῆς μεγάλης Ἄρκτου βορειότεροι φέρονται τοῦ ἀειφανοῦς κύκλου. Ὁ μὲν γὰρ ἡγούμενος αὐτῶν ἀπέχει ἀπὸ τοῦ βορείου πόλου περὶ μοί. κδ'· ὁ δὲ ἑπόμενος περὶ μοί. κε'. Εὐλόγως οὖν φησι τὸν ἀειφανῆ φέρεσθαι μεταξὺ τῆς Ἄρκτου καὶ τοῦ Λέοντος.

Jam in eo circulo, qui nunquam apparet, quæ insunt astra, non videntur omnino. Proxime autem absunt, inquit, ab eo extremæ partes aquæ Fluminis; et fundum Navis, ac Gubernaculum. Tum Fera; nec non Ara. Item Sagittarii crus dextrum; quæ autem videtur ex Ægypto stella, in eodem continetur. Ex his quæ utcunque sunt veritati proxima, extra controversiam seponenda sunt. De ea vero stella, quæ Canopus dicitur, non recte asserit ipsam in apparente nunquam circulo ferri. Est enim hæc australior earum quæ sunt in Gubernaculo, atque lucida: quæ a polo distat partibus 38 1/2. At semper apparens Athenis circulus abest a polo partibus 37; in Rhodo vero, partibus 36. Constat igitur eamdem stellam borealiorem esse nunquam apparente Græciæ circulo, ac supra terram videri posse, ut etiam circa Rhodum prospicitur.

B Ἐπὶ δὲ τοῦ ἀεὶ ἀφανοῦς κύκλου τὰ μὲν ἐπ' αὐτοῦ φερόμενα ἄστρα οὐχ ὁρᾶται. Ἐγγυτάτω δὲ, φησὶν, αὐτοῦ ἐστι τοῦ τε ὕδατος τοῦ Ποταμοῦ τὰ ἄκρα καὶ τῆς Ἀργοῦς τὸ ἔδαφος, καὶ τὸ Πηδάλιον· εἶτα τὸ Θηρίον καὶ τὸ Θυμιατήριον· ἔτι δὲ τοῦ Τοξότου τὰ δεξιὰ σκέλη. Ὁ δὲ ἐξ Αἰγύπτου ὁρώμενος ἀστὴρ ἐστιν ἐν αὐτῷ. Τούτων δὲ τὰ μὲν ἄλλα, ἐπεὶ κατὰ τὰ' συνεγγισμὸν εἴρηται, οὐκ ἂν διστάζοιτο· ὁ δὲ καλούμενος Κάνωπος οὐκ ὀρθῶς λέγεται ἐν αὐτῷ τῷ ἀφανεῖ κύκλῳ φέρεσθαι. Ἔστι γὰρ οὗτος ὁ νοτιώτερος τῶν ἐν τῷ Πηδαλίῳ, καὶ λαμπρός. Ἀπέχει δὲ οὗτος (73) ἀπὸ τοῦ πόλου περὶ μοί. λη' S". Ὁ δὲ ἐν Ἀθήναις ἀειφανὴς κύκλος ἀπέχει ἀπὸ τοῦ πόλου περὶ μοί. λζ'· ὁ δὲ ἐν Ῥόδῳ περὶ μοί. λς'. Δῆλον οὖν, ὅτι ὁ ἀστὴρ οὗτος βορειότερός ἐστι τοῦ ἐν τῇ Ἑλλάδι ἀφανοῦς κύκλου, καὶ δύναται ὑπὲρ γῆς φερόμενος βλέπεσθαι· καὶ δὴ καὶ θεωρεῖται ἐν τοῖς περὶ τὴν Ῥόδον τόποις.

C

XXVII. Pergit Eudoxus eas explicare stellas, quæ in coluris insunt, ac docet in horum altero situm esse medium Ursæ majoris et Cancri; nec non Hydri collum, et de Navi quod puppem inter et malum intercedit. Deinde post semper latentem polum, caudam australis Piscis, et medium Capricorni pariter ac Sagittæ. Eumdem præterea per Cygni collum, alamque dextram, ac per sinistram Cephei manum describi; tum per flexum Serpentis, ac secundum minoris Ursæ caudam.

ΚΖ'. Πάλιν δὲ ὁ Εὔδοξος διασαφεῖ καὶ τοὺς ἐπὶ τῶν κολούρων λεγομένων κύκλων κειμένους ἀστέρας, καί φησιν ἐπὶ μὲν τοῦ ἑνὸς αὐτῶν κεῖσθαι τὸ μέσον τῆς μεγάλης Ἄρκτου, καὶ τοῦ Καρκίνου τὸ μέσον, καὶ τὸν αὐχένα τοῦ Ὕδρου, καὶ τῆς Ἀργοῦς τὸ μεταξὺ τῆς τε πρύμνης καὶ τοῦ ἱστοῦ. Εἶτα μετὰ τὸν ἀφανῆ πόλον τὴν οὐρὰν τοῦ νοτίου Ἰχθύος, καὶ τὸ μέσον τοῦ Αἰγόκερω, καὶ τὸ μέσον τοῦ Ὀϊστοῦ· τοῦ δὲ Ὄρνιθος διὰ τοῦ αὐχένος, καὶ τῆς δεξιᾶς πτέρυγος, καὶ διὰ τῆς ἀριστερᾶς χειρὸς τοῦ Κηφέως γράφεσθαι αὐτὸν, καὶ διὰ τῆς καμπῆς τοῦ Ὄφεως, καὶ παρὰ τὴν οὐρὰν τῆς μικρᾶς Ἄρκτου.

Enimvero de Ursa penitus aberrat. Hujus enim præcedentes in capite, et quæ in anterioribus pedibus, in Leonis dodecatemorio sunt sitæ. Quinam ergo fieri possit, ut medium Ursæ in Cancri principio collocetur? At præcedentes in Hydri capite

D Περὶ μὲν οὖν τῆς Ἄρκτου ὁλοσχερῶς ἀγνοεῖ. Οἱ γὰρ προηγούμενοι αὐτῆς, οἱ ἐν τῇ κεφαλῇ, καὶ οἱ ἐν τοῖς ἐμπροσθίοις ποσὶν, ἀμφότεροι ἐν τῷ τοῦ Λέοντος δωδεκατημορίῳ κεῖνται. Πῶς οὖν δυνατὸν τὸ μέσον τῆς Ἄρκτου ἐν τῇ ἀρχῇ τοῦ Καρκίνου κεῖσθαι; τῆς δὲ

(72) *Καὶ οἱ πόδες δέ.* Falso.

(73) *Ἀπέχει δὲ οὗτος.* Canobus Eudoxi sæculo, ut et Hipparchi, præcise distabat a polo australi partibus 38, 30', ex nostris tabulis.

Quæ deinceps in duobus libris traduntur ab Hipparcho de συνανατολαῖς, et συγκαταδύσεσι, ea plus otii operæque postulant, ut ad nostrarum tabularum fidem exigantur, cujus rei cum in multis jam periculum fecissemus, plura nos elaborare infiniti ac molesti operis magnitudo deterruit. Nam et iis ipsis in stellis, quas designat Hipparchus, investigandis, atque e Ptolemæi, aut Tychonis laterculo seligendis non parum negotii est; et, ubi certi aliquid extricaveris, innumerabilis ortuum et occasuum expedienda varietas; quæ vel acerrimum quemlibet cupidissimumque frangere, ac delassare possit. Hic igitur commentationis istius modum faciemus, cætera Hipparcheæ doctrinæ, quæ quidem scire plurimum ex omnibus intersit, fere in nostris Dissertationibus explicata reperies.

Digitized by Google

κεφαλῆς τοῦ Ὕδρου ἡγούμενοι ἐπέχουσι Καρκίνου πλεῖον ἢ μοί. ι'. Δῆλον οὖν, ὅτι πολλῷ πλεῖον ὑπολείπεται τοῦ εἰρημένου κύκλου ὁ αὐχὴν τοῦ Ὕδρου.

ΚΗ'. Περὶ δὲ τῆς Ἀργοῦς οὐχ ὑγιῶς εἴρηται. Τῶν δ' ἐν τῇ οὐρᾷ τοῦ νοτίου Ἰχθύος μάλιστα ὁ ἡγούμενος ἀπέχει τοῦ α' πλεῖον ἢ μοί. κγ'. Τοσοῦτον ἄρα ὑπολείπεται τοῦ προειρημένου κύκλου, καὶ οὐκ ἐπ' αὐτοῦ φέρεται. Ὁ δὲ Ὀϊστὸς ὅλος ὑπολείπεται τοῦ προειρημένου κύκλου, καὶ οὐ διὰ μέσου τέμνεται ὑπ' αὐτοῦ. Ὁ γὰρ ἡγούμενος ἐν αὐτῷ ἀστὴρ ἀπέχει ἀπὸ μοί. α' [10]. Οὐκ ἄρα δυνατὸν διχοτομεῖσθαι αὐτὸν ὑπὸ τοῦ προειρημένου κύκλου. Ὁμοίως δὲ καὶ ὁ Ὄρνις ὅλος πρὸς ἀνατολὰς κεῖται τοῦ εἰρημένου κύκλου. Ὁ γὰρ ἡγούμενος ἐπ' αὐτοῦ καὶ ἐπ' ἄκρου τοῦ ῥύγχους ἀπέχει μοί. α' S''. Τῶν δὲ ἐν ἄκρᾳ τῇ δεξιᾷ πτέρυγι ὁ μάλιστα πρὸς δύσιν κείμενος ἀπέχει τοῦ α' οὐ πλέον ἢ μοί. ς' S''. Οὐκ ἄρα δυνατὸν οὐδὲ τὸν αὐχένα τοῦ Ὄρνιθος οὔτε τὴν δεξιὰν πτέρυγα αὐτοῦ ἐπὶ τοῦ εἰρημένου κύκλου κεῖσθαι.

Τοῦ γε μὴν Κηφέως ἡ ἀριστερὰ χεὶρ πολὺ ὅλως παραλλάσσει τὸν εἰρημένον κύκλον πρὸς ἀνατολάς. Καὶ γὰρ οἱ ἐν τῇ κεφαλῇ αὐτοῦ, οἱ ἡγούμενοι μάλιστα, τοῦ Ὑδροχόου ἐπέχουσι πλεῖον ἢ μοί. ι'. Ὁ δὲ ἐν τῇ ἀριστερᾷ χειρὶ λαμπρὸς ἀστὴρ, ὁ ἐν τῷ ὤμῳ, ὃν τινες τιθέασι, τοῦ Ὑδροχόου ἐπέχει μοί. κε'. Παρὰ μικρὸν οὖν β' ζώδια παραλλάσσει. Περὶ μέντοι τῆς καμπῆς τοῦ Ὄφεως καὶ τῆς οὐρᾶς τῆς μικρᾶς Ἄρκτου ὀρθῶς ἀπεφήνατο.

Κθ'. Ἐν δὲ τῷ ἑτέρῳ κολούρῳ φησὶ κεῖσθαι ὁ μὲν τὴν ἀριστερὰν χεῖρα τοῦ Ἀρκτοφύλακος, καὶ [11] μέσα αὐτοῦ κατὰ μῆκος· εἶτα τὰ μέσα τῶν Χηλῶν κατὰ πλάτος· καὶ τοῦ Κενταύρου τὴν δεξιὰν χεῖρα, καὶ τὰ ἐμπρόσθια γόνατα· μετὰ δὲ τὸν ἀφανῆ πόλον, καμπήν τε τοῦ Ποταμοῦ, καὶ Κήτους τὴν κεφαλήν, καὶ τοῦ Κριοῦ τὰ νῶτα κατὰ πλάτος, καὶ τοῦ Περσέως τὴν κεφαλὴν καὶ τὴν δεξιὰν χεῖρα.

Ἡ μὲν οὖν ἀριστερὰ χεὶρ τοῦ Ἀρκτοφύλακος ὑπολείπεται τοῦ εἰρημένου κύκλου ὡς ἥμισυ μέρος ζωδίου, καὶ οὐκ ἐπ' αὐτοῦ φέρεται τοῦ διὰ τῶν ἰσημερινῶν σημείων κύκλου, ὡς Εὔδοξός φησιν. Ὁ γὰρ ἡγούμενος τῶν ἐν αὐτῇ ἐπέχει Χηλῶν πλεῖον ἢ μοί. ιγ'. Ἀγνοεῖ δὲ καὶ μέσον αὐτοῦ τὸ σῶμα κατὰ μῆκος ὑπὸ τοῦ εἰρημένου κύκλου τέμνεσθαι λέγων· ὁ μὲν γὰρ ἐπὶ τῆς κεφαλῆς ἀστὴρ ἐπέχει Χηλῶν περὶ μοί. ις' καὶ δίμοιρον· ὁ δὲ ἐν τῷ δεξιῷ ποδὶ ἐπέχει Χηλῶν περὶ μοί. κδ' S', δ'· ὁ δὲ ἐν τῇ ζώνῃ λαμπρὸς ἐπέχει Χηλῶν περὶ μοί. ιδ' καὶ γ'· ὁ δὲ ἐν τῇ δεξιᾷ χειρὶ τοῦ Κενταύρου ὑπολείπεται τοῦ εἰρημένου κύκλου περὶ δ' μέρος ζωδίου. Ἐπέχει γὰρ Χηλῶν μοί. η'. Ἡ δὲ κεφαλὴ τοῦ Κήτους ὑπολείπεται μὲν τοῦ προειρημένου κύκλου· οὐ πολὺ δέ. Ὁ γὰρ σύνδεσμος τῶν Ἰχθύων, ὃς κεῖται μετὰ τὴν κεφαλὴν τοῦ Κήτους ἐπὶ τῆς λοφίας αὐτοῦ, ἐπέχει Κριοῦ μοί. γ', δ'. Καὶ μὴν οὐδὲ τοῦ Κριοῦ τὰ νῶτα ἐπὶ τοῦ εἰρημένου κύκλου κεῖται· ἀλλὰ ὑπολείπεται πλεῖον ἢ τρίτον μέρος ζωδίου. Ὁ γὰρ ἐν μέσῳ τῷ νώτῳ αὐτοῦ κείμενος ἀστὴρ ἐπέχει Κριοῦ μοί. ια' S''. Ὁμοίως δὲ καὶ

[10] πρ. ἀπὸ τῶν α'. [11] ſ. καὶ τά.

A Cancri obtinent partes amplius decem. Planum est igitur collum Hydri longiori adhuc ab eo circulo spatio distare.

XXVIII. Nam de Argo falsa sunt quæ idem ille scripsit. In australis vero Piscis cauda præcedens maxime distat a primo paribus amplius 23. Tantumdem ergo abest ab eo quem dixi circulo, nec in eo movetur. At Sagitta quanta quanta est distat ab eodem circulo, nec ab eo media secatur. Nam præcedens in ipsa stella distat parte una. Quare bifariam ab illo circulo dividi non potest. Similiter et Cygnus totus ad orientem obversus est ei circulo. Hujus enim præcedens, et in extremo rostro sita, distat parte 1 1/2. Earum **117** vero, quæ in extremitate sunt alæ dextræ, quæ ad occidentem maxime B spectat, abest a priori parte non amplius 6 1/2. Non potest igitur ne collum quidem Cygni, neque dextra ejus ala in illo circulo collocari.

Jam sinistra Cephei manus longe ab eodem circulo declinat ad orientem. Nam quæ sunt in illius capite, præsertim antecedentes, Aquarii partem obtinent amplius decimam. Lucida vero, quæ est in sinistra manu, quam humero quidam attribuunt, Aquarii obtinet partem 25. Propemodum ergo signorum duorum intervallo declinat. De flexu Serpentis et cauda minoris Ursæ recte ille statuit.

XXIX. In altero coluro sitam esse scribit sinistram Arctophylacis manum, ac per medium ipsum C transire secundum longitudinem; deinde Chelarum medium secundum latitudinem. Centauri præterea dextram manum et anteriora genua. Post nunquam apparentem polum, flexum Fluminis, et Ceti caput, et Arietis terga secundum latitudinem, Persei caput cum dextra manu.

Atqui læva manus Arctophylacis abest ab isto circulo intervallo fere dimidii signi; nec in ipso circulo sita est, qui per æquinoctialia puncta transit, ut Eudoxus affirmat. Etenim antecedens earum, quæ in illa sunt, Chelarum obtinet partem amplius 13. Præterea in eo quoque hallucinatus est, quod medium corpus illius, secundum longitudinem, ab eo quem diximus secari circulo pu- D tat. Etenim quæ est in ejus capite stella, Chelarum partem obtinet circiter 16 2/3; quæ in dextro pede, Chelarum circiter 24, 45'; quæ in zona est lucida, Chelarum fere partem 14, 20'; quæ in dextra Centauri manu, abest ab illo circulo quadrante circiter signi. Nam Chelarum partem obtinet 8. Caput porro Ceti distat quidem ab eodem circulo; sed non magno spatio. Quippe nodus Piscium, qui post caput Ceti positus est, in ejusque cervice, obtinet Arietis partem 3, 15'. Sed nec Arietis terga in illo eodem circulo collocanda sunt. A quo amplius signi triente distant. Nam quæ stella inest in medio illius tergo, Arietis obtinet partem amplius 11 1/2.

Digitized by Google

Sic et Persei tam dextra manus, quam caput absunt ab eodem circulo unius signi circiter triente.

A τοῦ Περσέως ἥ τε δεξιὰ χεὶρ καὶ κεφαλὴ ὑπολείπεται τοῦ εἰρημένου κύκλου περὶ τρίτον μέρος ζωδίου.

[118] ΙΠΠΑΡΧΟΥ

ΤΩΝ ΑΡΑΤΟΥ ΚΑΙ ΕΥΔΟΞΟΥ ΦΑΙΝΟΜΕΝΩΝ ΕΞΗΓΗΣΕΩΝ

ΒΙΒΛΙΟΝ Β'.

HIPPARCHI

ENARRATIONUM AD ARATI ET EUDOXI PHÆNOMENA

LIBER SECUNDUS.

I. Nunc ad ea quæ de Arati et Eudoxi *Phænomenis* disputata sunt hactenus, tractationem adjungemus orientium occidentiumve cum sideribus zodiaci partium, ut tam illa demonstremus in quibus ambo veritatem assecuti sunt, quam quæ ab apparentium aliena fide prodiderunt.

In primis Aratus explicare volens, quemadmodum ex ortu occasuque siderum certa noctis hora colligi possit, his versibus expressit:

Nec sane contemnendum observanti diem fuerit
Partium considerare quando oriantur singulæ.
Semper enim cum illarum una oritur ipse
Sol; has vero deprehenderis maxime
In ipsas intuens. Verum si nubibus obscuræ
Sint, vel monte occultatæ oriantur;
Indicia coorientibus idonea facito.
Ipse autem maxime ab extremis [12] *utrinque suppe-*
[ditaverit
Oceanus; quæ multa circumvolvit sibi ipsi
Ab infimo, cum illarum volvat unamquamque.

Hic igitur affirmat, sic a nobis potissimum horam investigari posse, si duodecim ipsorum zodiaci signorum quodlibet exoriri videamus. Etenim qui quo in zodiaci signo, et quanam ejus parte sol versetur intelligat, nec ignoret sex per omnem noctem ascendere signa; eum vero nullo negotio putabat ex ortu signi de noctis hora conjecturam posse facere. Sin est ut vel montibus, vel nubibus interpositis, oriens signum prospici nequeat, reliquis e stellis, quæ extra zodiacum sitæ, horizonti citimæ sunt, oriens signum deprehendi posse; si hoc animadverterimus, cujusmodi sidera cum unoquoque signo ortum occasumque faciant.

II. Sed in eo primum hallucinatur, quod existimet ad investigandam noctis horam satis esse ratiocinando colligere, quot ad ortum solis adhuc signa supersint. Tum id enim verum foret, si æquali tempore signum quodvis oriretur. Quoniam vero la-

[12] Id est *ab ortu et occasu*. [12] γρ. ἀντέλλησιν ἑκάστη.

B Α'. Τοῖς προειρημένοις, ὦ Αἰσχρίων, περὶ τῶν ὑπὸ Ἀράτου καὶ Εὐδόξου καταγεγραμμένων ἐν τοῖς *Φαινομένοις* συνάψωμεν νῦν τὸν περὶ συνανατολῆς καὶ συγκαταδύσεως τῶν ἄστρων λόγον, ὑποδεικνύντες ὅσα τε δεόντως ὑπ' αὐτῶν εἴρηται· καὶ ἐν οἷς διασαφοῦντες οὐ πρὸς τὰ φαινόμενα τὰς ἀποφάσεις πεποίηνται.

Πρῶτον μὲν οὖν ὁ Ἄρατος ὑποδεῖξαι βουλόμενος πῶς διὰ τῆς ἀνατολῆς καὶ τῆς δύσεως τῶν ἄστρων ἐπιγνωσόμεθα τὴν ὥραν τῆς νυκτὸς, λέγει ταυτί·

Οὔ κεν ἀπόβλητον δεδοκημένῳ ἤματος εἴη
Μοιράων σκέπτεσθαι, ὅτ' ἀντέλλωσιν ἕκασται [12].
Ἀεὶ γὰρ τάων γε μιῇ συνανέρχεται αὐτὸς
Ἥέλιος· τὰς δ' ἄν κε περισκέψαιο μάλιστα
Εἰς αὐτὰς ὁρόων. Ἀτὰρ ἢν νεφέεσσι μέλαιναι
Γίνωντ', ἢ ὄρεος κεκρυμμέναι ἀντέλλοιεν·
C *Σήματ' ἐπερχομένοισιν ἀρηρότα ποιήσασθαι·*
Αὐτὸς δ' ἂν μάλα τοι κεράων ἑκάτερθε διδοίη
Ὠκεανός· τά τε πολλὰ περιστρέφεται ἑοῖ αὐτῷ
Νειόθεν, ὁππῆμος κείνων φορέῃσιν ἑκάστην.

Φησὶν οὖν ἐν τούτοις μάλιστα μὲν ἡμᾶς ἐπιγνώσεσθαι τὴν ὥραν, ἐὰν αὐτῶν τι τῶν ιβ' ζωδίων θεωρῶμεν ἀνατέλλον. Τὸν γὰρ γινώσκοντα ἐν ᾧ ἐστι ζωδίῳ ὁ ἥλιος, καὶ καθ' ὃ μέρος αὐτοῦ, καὶ διότι ἐν πάσῃ νυκτὶ ἓξ ζώδια ἀνατέλλει, ῥᾳδίως ὑπελάμβανε συνήσειν ἐκ τοῦ ἀνατέλλοντος ζωδίου τὴν τῆς νυκτὸς ὥραν. Εἰ μέντοι γε ἢ διὰ δρῆ, ἢ διὰ νέφη, μὴ εἴη φανερὸν τὸ ἀνατέλλον ζώδιον, ἐκ τῶν λοιπῶν ἀστέρων, τῶν ἐκτὸς τοῦ ζωδιακοῦ κύκλου, κειμένων δ' ἐγγὺς τοῦ ὁρίζοντος, ἐπιγνώσεσθαι ἡμᾶς τὸ ἀνατέλλον ζώδιον, ἐὰν ἴδωμεν ποῖα τῶν ἄστρων ἑκάστῳ ζω-
D δίῳ συνανατέλλει, ἢ συγκαταδύνει.

Β'. Πρῶτον μὲν οὖν ἀγνοεῖ ὑπολαμβάνων ἀρκεῖν πρὸς τὸ τὴν ὥραν ἐπιγνῶναι τῆς νυκτὸς τὸ συλλογίσασθαι πόσα ἔτι ζώδια καταλείπεται εἰς τὴν τοῦ ἡλίου ἀνατολήν. Τοῦτο γὰρ ἐγίνετο εἰ ἐν ἴσῳ χρόνῳ ἓν ἕκαστον τῶν ζωδίων ἀνέτελλεν. Ἐπεὶ δὲ μεγάλην εἶναι συμ-

Digitized by Google

βαίνει διαφορὰν ἐν ταῖς ἀνατολαῖς τῶν ιβ' ζωδίων, ἀγνοήσει τὴν τῆς νυκτὸς ὥραν ὁ τῷ προειρημένῳ συλλογισμῷ χρώμενος. Μάλιστα δ' ἄν τις θαυμάσειε πῶς καὶ ὁ Ἄτταλος συγκατατίθεται τούτῳ. Λέγει γὰρ τὸν τρόπον τοῦτον· « Ἐν δὲ τοῖς ἑχομένοις πειρᾶται ὑποδεικνύειν, πῶς ἄν τις διὰ τῶν ἄστρων δύναιτο τὴν ὥραν τῆς νυκτὸς ἐπιγιγνώσκειν. Ἐπεὶ γάρ ἐστιν ἀρχὴ νυκτὸς ἡλίου δύσις· ὁ δὲ ἥλιος ἀεί ἔν τινι τῶν ιβ' ζωδίων ἐστί· δῆλον, ὅτι τῷ γινώσκοντι ἐν τίνι τε ζωδίῳ ὁ ἥλιός ἐστι, καὶ ἐν πόστῃ μοίρᾳ τοῦ ζωδίου, ῥᾴδιόν ἐστιν ἐπιγνῶναι, καὶ ποῖον ζώδιον ἐν ἀρχῇ τῆς νυκτὸς ἀνατέλλει, καὶ ποίᾳ μοίρᾳ. Τῇ γὰρ ὑπὸ τοῦ ἡλίου κατεχομένῃ μοίρᾳ ἡ κατὰ διάμετρον κειμένη τὴν ἀνατολὴν κατὰ τὴν ἀρχὴν τῆς νυκτὸς ποιήσει. Τοῦτο δὲ προϊστορηκὼς καὶ ἐπεγνωκὼς, ὅτι ἐν πάσῃ νυκτὶ ς' ζώδια πρὸς τῇ ἀνατολῇ ἀνίσχουσι, γνώσεται καὶ πόσον τῆς νυκτὸς παρεληλυθός ἐστι, καὶ πόσον τὸ λοιπὸν ἕως τῆς τοῦ ἡλίου ἀνατολῆς. »

Μετὰ δὲ ταῦτα λέληθεν ἀμφοτέρους αὐτοὺς, ὅτι οὐδ' ἂν αὐτὸ τὸ ζώδιον βλέπῃ τις ἀνατεταλκὸς, δυνατός ἐστιν ἀκριβῶς τὴν ὥραν τῆς νυκτὸς συλλογίσασθαι κατὰ τὸν προειρημένον τρόπον. Εἰ μὲν γὰρ ἕκαστον τῶν ἡστερισμένων καὶ βλεπομένων ζωδίων συνεπληροῦτο καθ' ἓν δωδεκατημόριον τοῦ ζωδιακοῦ κύκλου, παρ' αὐτὴν μόνην τὴν ἐν ταῖς ἀνατολαῖς τῶν χρόνων ἀνισότητα διεπίπτομεν· ἐπεὶ δὲ οὐδὲ τοῖς δωδεκατημορίοις ἴσα ἐστὶ τὰ φαινόμενα ζώδια, οὔτ' ἐν τοῖς ἰδίοις κεῖται τόποις ἅπαντα· ἀλλὰ τινὰ μὲν αὐτῶν ἐλάσσονά ἐστι τοῦ δωδεκατημορίου, τινὰ δὲ πολλῷ μείζονα· καθάπερ εὐθέως ὁ μὲν Καρκίνος οὐδὲ τὸ τρίτον μέρος ἐπέχει τοῦ δωδεκατημορίου· ἡ δὲ Παρθένος καὶ τοῦ Λέοντος, καὶ τῶν Χηλῶν ἐπιλαμβάνει· τῶν δὲ Ἰχθύων ὁ νοτιώτερος ὅλος σχεδὸν ἐν τῷ τοῦ Ὑδροχόου κεῖται δωδεκατημορίῳ· πῶς ἂν εἴη δυνατὸν ἐκ τῆς τοιαύτης τῶν δώδεκα ζωδίων ἐπιτολῆς τῆς νυκτὸς ὥραν συλλογίσασθαι; Ὅταν δέ τινα αὐτῶν μηδὲ ἐν τῷ ζωδιακῷ κύκλῳ τυγχάνῃ ὅλα κείμενα, ἀλλὰ πολλῷ βορειότερα, καθάπερ ἔχει ὅ τε Λέων καὶ ὁ βορειότερος τῶν Ἰχθύων· δῆλον, ὅτι πολλῷ μᾶλλον ἀγνοήσει τὴν ὥραν ὁ ἐκ τῆς ἀνατολῆς τῶν φαινομένων ζωδίων συλλογισμὸς αὐτῶν.

Εὐθέως οὖν τοῦ [71] ἡστερισμένου Καρκίνου ἀνατεταλκότος, ἡ τοῦ Λέοντος κεφαλὴ ἀναφέρεται ἐν τῷ ὑποκειμένῳ ὁρίζοντι, συνανατελλούσης αὐτῇ τῆς η' μοίρας τοῦ Καρκίνου. Ὁ Ἄρατος θεωρῶν τὴν κεφαλὴν τοῦ Λέοντος ἀνατέλλουσαν, καὶ ὑπολαμβάνων τὸ κατὰ τὸν Λέοντα δωδεκατημόριον ἀναφέρεσθαι, τρισὶν ὅλοις ἡμιωρίοις ἀγνοήσει. Πάλιν ὁ μὲν Σκορπίος ἄρχεται μὲν δύνειν ἀνατελλούσης Κριοῦ μοίρας τρισκαιδεκάτης μέσης· ὅλος δὲ ὑπὸ τὸν ὁρίζοντα γίνεται ἀνατελλούσης τῆς ς' μοί. τοῦ Ταύρου· ἀποδεδείχαμεν γὰρ τὰ τοιαῦτα πάντα ἐν τοῖς περὶ τῶν συνανατολῶν. Δῆλον οὖν, ὅτι χωρὶς τοῦ ἐν ἀνίσοις χρόνοις τὰ ιβ' ζώδια ἀναφέρεσθαι, διὰ τὸ καὶ ἀνισομεγέθη εἶναι τὰ ζώδια, καὶ ἀτάκτως κεῖσθαι, πολλὰ διαμαρτήσεται τῇ ὥρᾳ ὁ πρὸς τὸν φαινόμενον ἀστε-

[71] *f.* ἐπεὶ τοῦ.

tum discrimen est in duodecim signorum ortibus: qui ratione illa uti velit, horam noctis assequi nullo modo poterit. Sed illud mirari subit, quomodo huic etiam doctrinæ subscriptor Attalus accedat. Ita quippe loquitur: « In sequentibus porro demonstrare conatur qua ratione quispiam e sideribus nocturnam horam conjectari poterit. Nam cum sit noctis initium solis occasus, sol autem duodecim signorum semper in aliquo versetur; perspicuum est, qui id cognoverit, in quo signo sol positus sit, et qua ejus signi parte, facile animadversurum esse, quod signum, et qua **119** sui parte sub initium noctis oriatur. Quippe pars ei, quam sol obtinet, ex diametro respondens, ineunte nocte conscendet. Hoc quisquis ante didicerit, et cognorit, in omni nocte sex ab oriente signa consurgere, non ignorabit quanta pars noctis transacta fuerit, et quantum ex ea ad ortum usque solis supersit. »

Præterea hoc ambo illi nequaquam animadverterunt, tametsi illud ipsum signum exortum jam esse viderit quispiam, non posse tamen ratione ista, quam diximus, certam noctis horam cognoscere. Etenim si constellatarum, et aspectabilium imaginum quælibet parte una duodecima zodiaci definiretur, sola temporum in ortibus inæqualitas errorem nobis offerret. Sed quoniam neque cum segmentis ipsis adæquantur quæ a nobis cernuntur imagines, neque propriis in locis sitæ sunt omnes, sed quædam dodecatemorio suo minores, quædam majores multo sunt: ut exempli causa, Cancer ne tertiam quidem segmenti sui partem occupat; contra Virgo de Leone ac Chelis decerpit aliquid, Piscium australior totus fere in Aquarii dodecatemorio positus est: qui fieri potest, ut ex ejusmodi signorum duodecim exortu noctis hora colligatur? Cum autem ex illis etiam aliqua zodiaco circulo non tota contineantur, sed multo borealiora sint, velut Leo et Piscium borealior, evidens est illorum rationem ab ortu apparentium imaginum aberraturam esse longius.

Primum enim stellata Cancri imagine jam exorta, Leonis caput in eo quem statuimus horizonte conscendit una cum octava parte Cancri. Igitur Aratus Leonis caput oriri prospiciens, ac Leonis dodecatemorium putans ascendere, sesquihora integra falletur. Item Scorpius occidere incipit oriente parte 13 media Arietis; totus vero sub horizontem conditur oriente sexta Tauri parte. Quæ nos omnia in nostra de coortibus disputatione demonstravimus. Apparet ergo non solum quod duodecim imagines inæqualibus temporibus ascendunt, sed etiam quod aliis aliæ majus spatium occupant, et sine ordine collocatæ sunt; plurimum in æstimanda hora deceptum iri, qui ex apparentibus simulacris signorum duodecim conjectari voluerit.

Digitized by Google

Horam itaque noctis nec exacte posse, neque proxime deprehendi, si ortivum signum intueamur, ex iis quæ sunt dicta liquido constat.

III. Deinceps igitur, ut hoc sumamus, coortus ab illo sinuerum, oppositosque descensus ad zodiaci circuli segmenta, non ad stellatas imagines esse descriptos; videamus quidnam in istis consentanee iis quæ videntur in mundo, vel dissentanee sit dictum. In quo primum illud intelligendum est, zodiaci circuli partitionem ab Arato sic institui, ut a tropicis et æquinoctialibus punctis incipiat, eaque sint initia signorum. Eudoxus autem ita dividit, ut illa puncta media sint, illa Cancri et Capricorni, hæc Arietis et Chelarum. Quod ad Aratum spectat, satis ex iis ostendit se illa puncta in signorum suorum initiis ponere; quod de circulis quatuor disserens, tropicis videlicet duobus, æquinoctiali et zodiaco, tres quidem illorum oriri et occidere parallelos invicem scribit; et horum singulos in uno eodemque puncto oriri ait aut occidere; zodiacum autem in tanto horizontis arcu ortus occasusque facere, quantus ab ortu Capricorni ad ortum Cancri pertinet; quod iis verbis explicat :

Atque ii quidem oriunturque, et ex adverso inferne [occidunt
Omnes æquidistanter : unus autem est ipsorum cu- [jusvis
Ordinatim utrinque descensus ascensusque.
Verum iste Oceani tantum pertransit aquam,
Quantum a Capricorno ascendente maxime
Cancrum ad ascendentem volvitur.

Ex his liquet tropica puncta in signorum initiis ab illo constitui, alterum in Cancri, alterum in Capricorni principio. Quippe zodiacus exoriens horizontis arcum ab iis punctis in illorum signorum ortibus definitum permeat. Idem etiam declarare videtur his versibus, quos de Leone cecinit :

Ibi quidem solis ardentissimi sunt cursus.
Ac tum spicis vacua cernuntur arva,
Sole primum ad Leonem accedente.

Etenim sub exortum Canis æstus intenditur. Oritur vero post 50 circiter dies ab æstivo solstitio. Quare post totidem dies, ex illius opinione, sol Leonis **120** initium obtinet. In eodem ergo solstitio Cancri principium tenet. Atque hac ratione zodiacum circulum mathematici veteres propemodum omnes, aut plerique, partiti sunt.

Eudoxus vero tropica puncta se in mediis collocare signis in hæc verba testatur : « Secundus est circulus, in quo conversiones æstivæ fiunt. In eo situm est medium Cancri. » Item : « Tertius, ait, est circulus, in quo fiunt æquinoctia. In eo positum est Arietis et Chelarum medium. Quartus, in quo conversiones hibernæ accidunt. In eo Capri-

A ρισμὸν τῶν ιβ' ζωδίων τὸν συλλογισμὸν ποιούμενος. Ὅτι μὲν οὖν ἀδύνατον ἀκριβῶς, ἢ ὡς ἔγγιστα, τὴν τῆς νυκτὸς ὥραν ἐπιγνῶναι εἰς τὸ πρὸς τῇ ἀνατολῇ ζώδιον ἀναβλέψαντας, ἐκ τῶν εἰρημένων ἐστὶ φανερόν.

Γ'. Ἐχομένως δὲ ὑποθέμενοι τὰς συναναπολὰς αὐτῷ καὶ τὰς ἀντικαταδύσεις τῶν ἄστρων πρὸς τὰ δωδεκατημόρια τοῦ ζωδιακοῦ κύκλου πεπραγματεῦσθαι, καὶ μὴ πρὸς τὰ ἠστερισμένα, ἐπισκεψώμεθα καὶ τὸ ἐν αὐταῖς συμφώνως ἢ διαφώνως λεγόμενον πρὸς τὰ ἐν τῷ κόσμῳ φαινόμενα. Προδιειλήφθω δὲ πρῶτον, ὅτι τὴν διαίρεσιν τοῦ ζωδιακοῦ κύκλου ὁ μὲν Ἄρατος πεποίηται ἀπὸ τῶν τροπικῶν τε καὶ ἰσημερινῶν σημείων ἀρχόμενος· ὥστε ταῦτα τὰ σημεῖα ἀρχὰς εἶναι ζωδίων· ὁ δὲ Εὔδοξος οὕτω διῄρηται, ὥστε τὰ εἰρημένα σημεῖα μέσα εἶναι· τὰ B μὲν τοῦ Καρκίνου καὶ τοῦ Αἰγόκερω· τὰ δὲ τοῦ Κριοῦ καὶ τῶν Χηλῶν. Ὁ μὲν οὖν Ἄρατος διὰ τούτων μάλιστα φανερὸς γίνεται τὰ εἰρημένα σημεῖα ἐν ταῖς ἀρχαῖς τιθεὶς τῶν κατὰ ταῦτα δωδεκατημορίων. Περὶ γὰρ τῶν δ' κύκλων λέγων, δύο τῶν τροπικῶν, καὶ τοῦ ἰσημερινοῦ, καὶ τοῦ ζωδιακοῦ, τοὺς μὲν γ' φησὶν ἀνατέλλειν τε καὶ δύνειν παραλλήλως ἑαυτοῖς· καὶ ἕκαστον αὐτῶν καθ' ἓν καὶ τὸ αὐτὸ σημεῖον ἀνατέλλειν, καὶ πάλιν δύνειν· τὸν δὲ ζωδιακὸν ἐν τῇ τοιαύτῃ περιφερείᾳ τοῦ ὁρίζοντος τὰς ἀνατολὰς καὶ δύσεις ποιεῖσθαι, ἡλίκην παραχωρεῖ ἐν αὐτῷ ἀπὸ τῆς τοῦ Αἰγόκερω ἀνατολῆς ἕως τῆς τοῦ Καρκίνου ἀνατολῆς· λέγει δὲ οὕτως·

Καὶ τὰ μὲν ἀντέλλει τε, καὶ ἀντία νειόθι δύνει,
Πάντα παραλλήλην· μία δέ σφεών ἐστιν ἑκάστου C
Ἑξείης ἑκάτερθε κατηλυσίη ἀνοδός τε.
Αὐτὰρ ὅγ', Ὠκεανοῖο τόσον παραμείβεται ὕδωρ,
Ὅσσον ἀπ' Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
Καρκίνον εἰς ἀντιόντα κυλίνδεται....

Δῆλον οὖν ἐκ τούτων, ὅτι τὰ τροπικὰ σημεῖα ἐν ταῖς ἀρχαῖς ὑποτίθεται· τὸ μὲν ἐν τῇ τοῦ Καρκίνου, τὸ δ' ἐν τῇ τοῦ Αἰγόκερω. Τὴν γὰρ ὑπὸ τούτων τῶν σημείων ἐν ταῖς ἀνατολαῖς αὐτῶν ἀποτεμνομένην τοῦ ὁρίζοντος περιφέρειαν ὁ ζωδιακὸς ἀνατέλλων ἐπορεύεται. Δόξαι δ' ἂν ἐμφαίνειν τοῦτο καὶ ἐξ ὧν περὶ τοῦ Λέοντος λέγων φησίν·

Ἔνθα μὲν ἠελίοιο θερείταται εἰσι κέλευθοι.
Αἱ δέ που ἀσταχύων κερσαὶ φαίνονται ἄρουραι,
Ἠελίου τὰ πρῶτα συνερχομένοιο Λέοντι.

D Περὶ γὰρ τὴν τοῦ Κυνὸς ἀνατολὴν καὶ τὰ καύματα μάλιστα γίνεται. Αὕτη δὲ γίνεται μετὰ λ' ἔγγιστα ἡμέρας ἀπὸ τῆς θερινῆς τροπῆς. Μετὰ τοσαύτας ἄρα ἡμέρας ἔγγιστα κατ' αὐτὸν ὁ ἥλιος ἐν τῇ ἀρχῇ τοῦ Λέοντος γίνεται. Ἐν ταύτῃ τῇ τροπῇ τοίνυν τὴν ἀρχὴν ἐπέχει τοῦ Καρκίνου. Καὶ ὑπὸ τῶν ἀρχαίων δὲ μαθηματικῶν πάντων σχεδὸν, ἢ τῶν πλείστων, τοῦτον τὸν τρόπον ὁ ζωδιακὸς κύκλος διῄρητο.

Ὅτι δὲ Εὔδοξος τὰ τροπικὰ σημεῖα κατὰ μέσα τὰ ζώδια τίθησι, δῆλον ποιεῖ διὰ τούτων· « Δεύτερος δέ ἐστι κύκλος, ἐν ᾧ θερινα τροπαὶ γίνονται. Ἔστι δ' ἐν τούτῳ τὰ μέσα τοῦ Καρκίνου. » Καὶ πάλιν φησί· « Τρίτος δ' ἐστὶ κύκλος, ἐν ᾧ αἱ ἰσημερίαι γίνονται. Ἔστι δ' ἐν τούτῳ τά τε τοῦ Κριοῦ μέσα καὶ τὰ τῶν Χηλῶν. Τέταρτος δὲ, ἐν ᾧ χειμεριναὶ τροπαὶ γίνον-

Digitized by Google

ται. Ἔστι δ' ἐν τούτῳ τὰ μέσα τοῦ Αἰγόκερω. » Ἐκφανέστερον δ' ἔτι διὰ τούτων ἀποδίδωσι. Περὶ γὰρ τῶν κολούρων λεγομένων κύκλων, οἱ γράφονται διὰ τῶν πόλων, καὶ διὰ τῶν τροπικῶν, καὶ ἰσημερινῶν σημείων, φησὶν οὕτως· « Ἕτεροι δ' εἰσὶν β' κύκλοι, τέμνοντες ἀλλήλους δίχα, καὶ πρὸς ὀρθὰς διὰ τῶν πόλων τοῦ κόσμου. Ἔστι δ' ἐν τούτοις ἄστρα τάδε· α' ὁ πόλος ὁ ἀεὶ φανερὸς τοῦ κόσμου· εἶτα τὸ μέσον τῆς Ἄρκτου κατὰ πλάτος· καὶ τοῦ Καρκίνου τὸ μέσον. » Καὶ μετ' ὀλίγον φησίν· « Ἥ τε οὐρὰ τοῦ νοτίου Ἰχθύος καὶ τὸ μέσον τοῦ Αἰγόκερω· » ἐν δὲ τοῖς ἑξῆς φησιν ἐν τῷ ἑτέρῳ τῶν διὰ τῶν πόλων κύκλων κεῖσθαι σὺν τοῖς ἄλλοις, οἷς ἐξαριθμεῖται, καὶ τὰ μέσα τῶν Χηλῶν κατὰ πλάτος, καὶ τοῦ Κριοῦ τὰ νῶτα κατὰ πλάτος.

Δ'. Προδιαληπτέον καὶ τοῦτο, ὅτι τὰς ἀρχὰς ἑκάστου τῶν ιβ' ζωδίων ὑποτιθέμενος ὁ Ἄρατος ἐπὶ τῆς ἀνατολῆς, διασαφεῖ ὅσα τῷ προειρημένῳ αὐτῷ ζωδίῳ συνανατέταλκεν ἢ ἀντικαταδέδυκε τῶν ἐκτὸς τοῦ ζωδιακοῦ ἄστρων· ὃ καὶ συντείνει μάλιστα πρὸς τὸ ἐκ τῶν ἄλλων ἄστρων συλλογίζεσθαι τὸ μέλλον ἀνατέλλειν δωδεκατημόριον τοῦ ζωδιακοῦ. Δῆλον δὲ τοῦτο ποιεῖ καὶ ἐπὶ τῆς τῶν Ἰχθύων ἀνατολῆς, λέγων οὕτως. Εἰπὼν γὰρ περὶ τοῦ Ὑδρου, ὅτι τὰ μὲν ἀπὸ τῆς κεφαλῆς ἕως τῆς πρώτης σπείρας τοῦ Ὑδροχόου ἀναφερομένου μετέωρά ἐστι, τὸ δὲ λοιπὸν αὐτοῦ σῶμα οἱ Ἰχθύες ἀνάγουσιν, ἐπιφέρει·

Οὕτω καὶ μογεραὶ χεῖρες, καὶ γοῦνα, καὶ ὦμοι
Ἀνδρομέδης δίχα πάντα· τὰ μὲν πάρος, ἄλλα [δ' ὀπίσσω
Τείνεται Ὠκεανοῖο· νέον δ' ὁπότε προτέρωνται
Ἰχθύες ἀμφότεροι, τὰ μέν οἱ κατὰ δεξιὰ χειρὸς
Αὐτοὶ ἐφέλκονται· τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
Κριὸς ἀνερχόμενος....

Διὰ γὰρ τοῦ, *νέον ὁπότε προτέρωνται Ἰχθύες*, δηλοῖ οὐκ ἄλλο τι, ἢ ὅταν ἄρχωνται οἱ Ἰχθύες ἀνατέλλειν.

Ἔτι δὲ αὐτὸ τοῦτο φανερὸν ποιεῖ καὶ ἐπὶ τῆς Ἀργοῦς. Τῆς γὰρ Παρθένου ἀνατελλούσης, φησὶ τὴν πρύμναν αὐτῆς ἀνατέλλειν ὅλην· τὰ δὲ λοιπὰ αὐτῆς ἕως τοῦ ἴστοῦ ἀνατέλλειν, ὅτ' ἂν ὅλη ἡ Παρθένος ἀνατείλῃ. Προειπὼν γάρ·

Οὐ μὲν θην ὀλίγους γαίης ὑπὸ νείατα βάλλει
Παρθένος ἀντέλλουσα....

μετ' ὀλίγον φησί·

.... φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους,
Ἕλκων ἐξόπιθεν πρύμναν πολυτειρέος Ἀργοῦς.
Ἡ δὲ θέει γαίης ἐστὸν διχόωσα κατ' αὐτόν·

Παρθένος ἦμος ἅπασα περαιόθεν ἄρτι γένηται.

Καὶ ὁ Εὔδοξος δὲ, ᾧ κατηκολούθηκεν ὁ Ἄρατος, τὸν αὐτὸν τρόπον ὑποτίθεται ἐν ταῖς συνανατολαῖς τὰς ἀρχὰς τῶν ζωδίων ἐπὶ τῆς ἀνατολῆς· ὥστε καὶ ἐκ τούτου φανερὸν γίνεσθαι τὸ προκείμενον. Τούτων δὲ προϋποδεδειγμένων νῦν ἐπισκεψώμεθα τὰς ὑπ' αὐτῶν ἀποδιδομένας συνανατολάς τε καὶ ἀντικαταδύσεις.

Ε'. Ὑποθέμενος τοίνυν ὁ Ἄρατος ἐπὶ τῆς ἀνατολῆς τὴν ἀρχὴν τοῦ Καρκίνου, φησὶ τοῦ μὲν Στεφάνου δεδυκέναι τὸ ἥμισυ, τοῦ δὲ νοτίου Ἰχθύος τὸ ἕως τῆς βάχεως· τοῦ δὲ Ἐν γόνασι τὰ ὑπὲρ τὴν γαστέρα·

A corni medium est. » Hoc ipsum manifestius illic etiam significat, ubi de coluris circulis agens, qui per polos et tropica æquinoctialiaque puncta ducuntur, ita scribit : « Alii sunt circuli duo bifariam invicem ad rectos angulos secantes per polos mundi. In quibus hæc astra sunt primum semper apparens mundi polus; deinde medium Ursæ secundum latitudinem, medium Cancri, etc. » Paulo post addit : « Nec non cauda Piscis australis, et medium Capricorni. » Deinceps vero scribit, in altero per polos transeunte circulo situm esse, præter alia, quæ recenset medium Chelarum secundum latitudinem, et secundum eamdem latitudinem Arietis terga.

B IV. Observandum præterea illud est, Aratum principia cujuslibet e duodecim signis in oriente collocantem, exprimere quænam extra zodiacum posita sidera cum illo ipso signo pariter ortum, aut occasum ex adverso fecerint; quod eo magnopere pertinet, ut ex aliis constellationibus proxime oriturum signum zodiaci colligatur. Istud etiam in exortu Piscium declarat his verbis. Cum enim de Hydro dixisset, quæ ab ejus capite ad primam spiram pertinent, ascendente Aquario in sublimi esse, reliquum illius corpus cum Piscibus ascendere, mox subjicit :

Sic etiam lassæ manus, et genua, et humeri
Andromedæ, dimidiata omnia; hæc quidem ante, alia [post
C *Pertingunt ex Oceano, recens quando prodeunt*
Pisces ambo, dexteram quidem ei manum
Pisces attrahunt : at sinistram ab imo trahit
Aries ascendens.

Nam hæc verba, *recens quando prodeunt Pisces*, nihil aliud, quam initium ortus Piscium exprimunt.

Idipsum et in Argo clarissime demonstrat. Nam oriente Virgine totam illius exoriri puppim asserit : cætera ipsius usque ad malum emergere cum integra Virgo conscenderit. Cum enim dixisset :

Nec certe pauca sidera terræ sub infima mittit
Virgo exoriens :

paulo post ait :

D *.... prævehiens vero Canis pedes arripit alios*
Trahens a tergo puppim stellatæ Argus.
Hæc autem currit supra terram, malum dimidiata [juxta ipsum,
Virgo quando tota ab inferioribus jam emerserit.

Quin et Eudoxus, quem auctorem secutus est Aratus, eodem modo signorum initia in coortibus ad orientem statuit : ut vel inde planissime nobis de poetæ proposito constet. His vero declaratis inquiramus modo in coortus oppositarumque partium occasus, cujusmodi ab illis traditi fuerunt.

V. Constituto igitur adorie ntem initio Cancri, refert Aratus mediam Coronæ partem occidisse; australis item Piscis usque ad spinam dorsi; Ingeniculi quidquid est supra ventrem; Ophiuchum hume-

Digitized by Google

ris tenus; serpentem, quem Ophiuchus tenet, ad usque collum; Arctophylacis amplius parte dimidia. Ad hæc zonam Orionis secundum humeros ait exoriri. Quocirca constellationes istæ omnes, ut ille censet, cum Geminis partim oriuntur, partim ex adverso occidunt. At Eudoxus omnes illas recensens, quæ sub initium occidentis Cancri supra terram eminent, ait totum Ingeniculum esse conspicuum : Coronam quoque dimidiam; Arctophylacis et Ophiuchi capita; una cum cauda serpentis, qui manu gestatur. Tum ad austrum Orionem integrum, et de australi Pisce quod est secundum caput.

Ac de Corona quidem consentanea veritati est Arati sententia, siquidem in Græciæ tractu occidere incipit oriente 23 parte Geminorum; tota vero descendit oriente quarta Cancri parte. Sed Eudoxi ratio perspicue discrepat : **121** quandoquidem initium ab eo Cancri in medio Geminorum signo ponitur. Quod ut assidue nobis commemorare necesse non sit, illud universe tenendum est, cum non eodem utrique modo signa describat, non posse cum ambobus apparentium experimenta congruere. Illud insuper habendum est, quæ ad ortus pertinent, paucis exceptis, eodem ab utroque modo perscribi. Aratus enim Eudoxi vestigiis inhæret. Verum ad Arateam zodiaci partitionem magis quam ad Eudoxeam, coortuum ab illis traditorum ratio convenit : quod ex iis fiet apertius, quæ de istis singillatim explicabimus.

Australem porro Piscem majore sui parte supra terram oportet exstare, non ea tantummodo quæ sunt vicina capiti, ut illis placuit. Etenim occidere incipit ille Geminorum oriente 4 parte; postremo idem occidit oriente Cancri 18.

Ingeniculi vero solum jam caput occidit, et dexter humerus cum manu; sinister humerus, reliquumque corpus supra terram adhuc exsistit. Nam occidente dextro humero, 27 pars Geminorum oritur; sinistro vero descendente, oritur octava pars Cancri, et quæ sunt in lateribus post dextrum humerum adhuc oriuntur. Falso itaque dixit Aratus jam illius partem a ventre capite tenus occidisse.

De Ophiucho recte sentiunt Aratus et Eudoxus. Quippe humeri ex adverso Geminorum occidunt; quæ vero est in capite, occidit oriente undecima Cancri parte.

Serpentis, quem tenet Ophiuchus, sola supra terram cauda, ut sentit Eudoxus, non, ut Aratus, caput exsistit. Etenim caput ipsius occidit mediis fere Geminis orientibus : quæ autem est in extrema cauda, occidit oriente parte Cancri 9.

VI. De Arctophylace prorsus hallucinantur. Asse-

[18] *f.* ἤπερ.

A τὸν δὲ Ὀφιοῦχον ἕως τῶν ὤμων· τὸν δὲ Ὄφιν, ὃν ἔχει ὁ Ὀφιοῦχος, ἕως τοῦ αὐχένος· τοῦ δὲ Ἀρκτοφύλακος πλέον μέρος ἢ τὸ ἥμισυ. Ἀνατέλλειν δέ φησι τοῦ Ὠρίωνος τὴν ζώνην κατὰ τοὺς ὤμους. Τὰ εἰρημένα τοίνυν ἄστρα τοῖς Διδύμοις κατ' αὐτὸν, ἃ μὲν συνανατέλλει, ἃ δὲ ἀντικαταδύνει. Ὁ δὲ Εὔδοξος, ἐξαριθμούμενος ὅσα ἐστὶν ὑπὲρ γῆς, τοῦ Καρκίνου ἀρχομένου ἀνατέλλειν, φησὶ τὸν Ἐν γόνασιν ὅλον εἶναι φανερόν· τοῦ δὲ Στεφάνου τὸ ἥμισυ· καὶ τὴν τοῦ Ἀρκτοφύλακος κεφαλήν· καὶ τὴν τοῦ Ὀφιούχου κεφαλήν· καὶ τὴν οὐρὰν τοῦ ἐχομένου Ὄφεως· τὸν δὲ πρὸς νότον Ὠρίωνα ὅλον· καὶ τοῦ νοτίου Ἰχθύος τὸ πρὸς τὴν κεφαλήν.

Ὁ μὲν οὖν Στέφανος κατὰ τὸν Ἄρατον ἐγγιστα συμφωνεῖ· ἐν γὰρ τοῖς περὶ τὴν Ἑλλάδα τόποις
B ἄρχεται μὲν δύνειν ἀνατελλούσης γ' καὶ κ' μοί. τῶν Διδύμων· ὅλος δὲ δύνει ἀνατελλούσης τῆς δ' μοί. τοῦ Καρκίνου. Κατὰ μέντοιγε τὸν Εὔδοξον δῆλον, ὅτι διαφωνεῖ· ἐπείπερ ἡ ἀρχὴ τοῦ Καρκίνου κατ' αὐτὸν κατὰ μέσον ἐστὶ τοῦ τῶν Διδύμων δωδεκατημορίου. Ἵνα δὲ μὴ διαπαντὸς ἐπισημαινώμεθα τοῦτο, διαληπτέον καθόλου, διότι μὴ ὁμοίως ἀναγράφουσιν ἀμφοτέρεις οὐ δυνατὸν ἑκατέρῳ αὐτῶν συμφωνεῖν τὸ φαινόμενον. Δεῖ δὲ κἀκεῖνο διειληφέναι, διότι πάντα μὲν, πλὴν ὀλίγων τινῶν, ὁμοίως ἀμφότεροι ἀναγράφουσι τὰ περὶ τὰς ἀνατολάς. Ὁ γὰρ Ἄρατος τοῖς ὑπὸ τοῦ Εὐδόξου λεγομένοις ἠκολούθηκε. Συμφωνοῦσι μέντοιγε αἱ ὑπ' αὐτῶν ἀναγεγραμμέναι συνανατολαὶ τῇ κατὰ τὸν Ἄρατον μᾶλλον τοῦ ζωδιακοῦ διαιρέσει,
C εἴπερ[18] κατὰ τὸν Εὔδοξον· ἔσται δὲ τοῦτο φανερὸν ἐκ τῶν κατὰ μέρος περὶ αὐτῶν ῥηθησομένων.

Τοῦ δὲ νοτίου Ἰχθύος τὸ πλεῖστον μέρος δεῖ ὑπὲρ γῆν εἶναι, καὶ οὐχὶ τὸ πρὸς τῇ κεφαλῇ μόνον, ὥς φασιν. Ἄρχεται μὲν γὰρ δύνειν, ἀνατελλούσης δ' μοί. Διδύμων· ἔσχατον δὲ δύνει, ἀνατελλούσης τῆς ιη' μοί. τοῦ Καρκίνου.

Τοῦ δ' Ἐν γόνασιν ἡ κεφαλὴ μόνον δέδυκε, καὶ ὁ δεξιὸς ὦμος σὺν τῇ χειρί· ὁ δ' ἀριστερὸς ὦμος καὶ τὸ λοιπὸν σῶμα ἔτι ἐστὶν ὑπὲρ γῆν. Τοῦ μὲν γὰρ δεξιοῦ ὤμου δύνοντος ἀνατέλλει ἡ ζ' καὶ κ' μοί. τῶν Διδύμων· τοῦ δὲ ἀριστεροῦ ὤμου δύνοντος, ἀνατέλλει ἡ η' μοί. τοῦ Καρκίνου· τοῦ δὲ δεξιοῦ ὤμου ἔτι ὕστερον δύνουσιν οἱ ἐν ταῖς πλευραῖς. Οὐκ ἄρα τὸ ἀπὸ τῆς γαστρὸς μέρος αὐτοῦ ἕως τῆς κεφαλῆς δέ-
D δυκεν, ὡς Ἀρατός φησι.

Τὰ δὲ περὶ τὸν Ὀφιοῦχον συμφώνως ἀποδιδόασι τῷ φαινομένῳ ὅ τε Ἄρατος καὶ ὁ Εὔδοξος. Οἱ μὲν γὰρ ὦμοι τοῖς Διδύμοις ἀντικαταδύνουσιν· ὁ δὲ ἐν τῇ κεφαλῇ δύνει, ἀνατελλούσης τῆς ια' μοί. τοῦ Καρκίνου.

Τοῦ δὲ Ὄφεως, ὃν ἔχει ὁ Ὀφιοῦχος, ἡ οὐρὰ μόνον ὑπὲρ γῆς ἐστιν, ὡς ὁ Εὔδοξός φησι, καὶ οὐχ ἡ κεφαλὴ, ὡς ὁ Ἄρατος. Ἡ μὲν γὰρ κεφαλὴ αὐτοῦ δύνει, ἀνατελλόντων μέσων μάλιστα τῶν Διδύμων· ὁ δὲ ἐν ἄκρᾳ τῇ οὐρᾷ δύνει, ἀνατελλούσης τῆς θ' μοί. τοῦ Καρκίνου.

Ϛ'. Περὶ δὲ τοῦ Ἀρκτοφύλακος ὁλοσχερῶς δοκοῦσί

μοι ἀγνοεῖν. Φασὶ γὰρ αὐτὸν δ' ζωδίοις ἀντικαταδύνειν, Κριῷ τε καὶ Ταύρῳ, καὶ Διδύμοις, καὶ Καρκίνῳ. Ὁ μὲν γὰρ Ἄρατος τοῦ Ταύρου πρὸς τῇ ἀνατολῇ ὄντος, φησίν·

Δύνει δ' Ἀρκτοφύλαξ ἤδη [16] πρώτῃ ἐπὶ μοίρῃ,
Τάων αἱ πίσυρες μὲν ἄτερ χειρὸς κατάγουσι·

ὥστε τῷ Κριῷ ἀνατέλλοντι ἄρχεσθαι αὐτὸν ἀντικαταδύνειν. Ἀκολούθως δὲ ταύτῃ τῇ ὑποθέσει, καὶ τοῦ Καρκίνου ἀρχομένου ἀνατέλλειν, λέγει ταυτί·

Οὐδ' ἂν ἔτ' Ἀρκτοφύλαξ εἴη πολὺς ἀμφοτέρωθεν·

Μείων ἡμάτιος· τὸ δ' ἐπὶ πλέον ἔρρυχος ἤδη.
Τέτρασι γὰρ μοίραις [17] ἅμυδις κατιόντα Βοώτην
Ὠκεανὸς δέχεται.

Ὁ δὲ Εὔδοξος γράφει οὕτως· « Ὅτ' ἂν ὁ Κριὸς δύνῃ, τῶν μὲν πρὸς ἄρκτους τοῦ Ἀρκτοφύλακος οἱ πόδες δύνουσι, τῶν δὲ πρὸς νότον τοῦ Θηρίου τὸ λοιπόν. » Ἐν δὲ τῇ ἀρχῇ τοῦ περὶ τῶν ἀνατολῶν λόγου, διελθὼν ὅσα ἐπὶ δύσεως καὶ ἀνατολῆς ἐστιν, ἀρχομένου τοῦ Καρκίνου ἀνατέλλειν, ἑξῆς φησιν· « Ὅτ' ἂν δ' ὁ Καρκίνος ἀνατέλλῃ, τῶν μὲν πρὸς ἄρκτους οὐθὲν ἀνίσχει, τῶν δὲ πρὸς νότον ὁ Λαγωὸς καὶ τοῦ Κυνὸς καὶ τὰ ἐμπρόσθια, καὶ ὁ Προκύων, καὶ τοῦ Ὕδρου ἡ κεφαλή. Δύνει δὲ τῶν μὲν πρὸς ἄρκτους ἡ τοῦ Ἀρκτοφύλακος κεφαλή. » Δῆλον οὖν, ὅτι κατὰ τὸν Εὔδοξον τὰ μὲν πρῶτα μέρη τοῦ Ἀρκτοφύλακος ἀντικαταδύνει τῷ Κριῷ, τὰ δὲ ἔσχατα τῷ Καρκίνῳ. Οὔτε δὲ τέσσαρσι ζωδίοις ὁ Ἀρκτοφύλαξ ἀντικαταδύνει, ὡς αὐτοί φασιν, ἀλλὰ δυσὶ μόνον ἔλασσον ἢ ἡμίσει· οὔτε Κριῷ ἄρχεται ἀντικαταδύνειν· ἀλλὰ τὴν μὲν ἀρχὴν ποιεῖται τῆς δύσεως, ἀνατελλούσης ς' μοί. τοῦ Ταύρου· ὅλος δὲ δύνει, πλὴν τῆς ἀριστερᾶς χειρὸς καὶ τοῦ ἀγκῶνος, ἀνατελλούσης τῆς ιθ' μοί. τοῦ Καρκίνου.

Διαληπτέον δὲ, ὅτι περὶ τοῦ Ἀρκτοφύλακος ὁ Ἄρατος συμφώνως λέγει τοῖς φαινομένοις, εἰ καὶ ὅλως ἠγνόηται τὸ τέσσαρσι ζωδίοις αὐτὸν ἀντικαταδύνειν, τοῦ Κριοῦ ἀνατειλαντος, καὶ τοῦ Ταύρου, καὶ τῶν Διδύμων· τοῦ δὲ Καρκίνου ἀρχομένου ἀνατέλλειν, ὅ ἐστι λοιπὸς τῶν δ' ζωδίων, οἷς ἀντικαταδύνει καὶ κατ' αὐτὸν ὁ Ἀρκτοφύλαξ, εὐλόγως αὐτός φησι μηκέτι πολὺ αὐτοῦ καὶ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ὑπὸ τοῦ ὁρίζοντος ἀπολαμβάνεσθαι· καθάπερ ἐγίνετο, τῶν Διδύμων ἀνατελλόντων· ἀλλὰ τὸ μὲν πλεῖον ὑπὸ γῆν, τὸ δὲ ἔλασσον ὑπὲρ γῆν φαίνεσθαι. Τὸ μὲν γὰρ, *ἡμάτιον*, σημαίνει τὸ ὑπὲρ γῆν τοῦ κόσμου, τὸ δὲ, *ἔρρυχον*, τὸ ὑπὸ γῆν· φανερὸν δὲ τοῦτο διὰ πλειόνων αὐτὸς ποιεῖ· καθάπερ εὐθέως ἐπὶ τοῦ Ἐν γόνασι, λέγων οὕτως·

Αὐτὰρ ὅγ' ἐξόπιθεν τετραμμένος ἄλλα μὲν οὔπω
Γαστέρι νειαίρῃ· τὰ δ' ὑπέρτερα νυκτοφορεῖται.

Τὰ μέντοιγε ἐπιφερόμενα οὐδὲν ἔτι πρὸς αὐτὴν τὴν δύσιν αὐτοῦ τείνοντα λέγει, ἀλλ' ὡς συμβεβηκὸς αὐτῷ·

[16] *γρ.* τότε. [17] *γρ.* ἤδη.

A runt enim ex adverso signorum quatuor occidere, Arietis, Tauri, Geminorum, et Cancri. Nam Aratus sole in oriente posito ait :

Occidit vero Arctophylax jam primo cum signo,
Quorum quatuor ipsum, præter manum, deducunt,

tanquam orientis Arietis ex adverso ille conscendat. His consentanea sunt quæ de Cancro ortum ineunte scribit :

Neque vero amplius Arctophylax fuerit multus [utrinque
Minor diurnus : at amplius jam nocturnus ;
Quatuor enim partibus simul descendentem Bootem
Oceanus recipit.

Eudoxi porro verba sunt : « Occidente Ariete, B e borealibus descendunt pedes Arctophylacis ; australium vero, reliquum feræ. » Tum initio disputationis de ortibus, cum ea percensuisset, quæ in ortu sunt, occasuque, quando Cancer oriri incipit, deinceps ita loquitur : « Cum autem Cancer oritur, borealium quidem constellationum oritur nulla : australium vero Lepus, et anteriora Canis ; Procyon, cum Hydri capite. Occidit e borealibus Arctophylacis caput. » Manifestum est igitur ex Eudoxi sententia, priores Arctophylacis partes occidere, cum Aries oritur : posteriores vero oriente Cancro. Verum neque quatuor signis Arctophylax oppositum habet occasum, ut illi sentiunt, sed duobus tantum, minus dimidio circiter : neque ex adverso Arietis occidere incipit, sed initium occidendi facit oriente 6 Tauri parte : totus autem, exceptis sinistra manu, flexuque cubiti, oriente 19 parte Cancri. C

Sic autem habendum est, quæ de Arctophylace prodit Aratus, hæc apparentium experimentis esse consentanea, tametsi in eo prorsus aberrat, quod cum ortu signorum quatuor adæquari illius occasum putet : absoluto nimirum exortu Arietis, Tauri, Geminorum. Cancro vero oriri incipiente, quod reliquum est e signis quatuor ; quorum ortibus exæquari descensum Arctophylacis affirmant : merito scribit Aratus, non jam supra terram, infraque, ab horizonte magnam illius partem intercipi : quemadmodum fiebat orientibus Geminis, D sed majorem exstare supra terram, minorem sub terra. Hoc enim vocabulum, « diurnus, » partem mundi supra terram eminentem ; « nocturnus, » infra latentem exprimit : quod cum in aliis plerisque locis, tum vero cum de Ingeniculo agit, perspicue ita testatur :

122 *Sed hic retro versus secundum alias quidem* [partes nondum
Ventre extremo ; secundum superiores vero nocte [fertur.

Quæ autem subjicit, non jam ad ipsum illius occasum spectantia, sed tanquam ex accidenti congruentia refert :

Digitized by Google

. . . At hic cum luce satiatus fuerit,
Vespere item continet : plus dimidio noctis labentis.

Cum enim occidere cum Chelis incipit, sole ibi versante, quo tempore facit occasum, noctes in Arcturo dicuntur ; quando et supra terram tota die fertur ; quoniam oritur cum Virgine, et occidendo plus dimidia nocte consumit, quandoquidem cum signis quatuor occidit. Quod autem una cum Virgine conscendat ex Arati sententia, hæc ipsius verba declarant :

Nec exorientes Chelæ, ac tenuiter lucentes
Ignotæ præterierint ; quoniam ingens sidus Bootes
Confertus oritur, interstinctus Arcturo.

VII. Ac non Aratus duntaxat, et Eudoxus, sed etiam reliqui omnes fere mathematici, quicunque de Boote disputarunt, in eodem sunt cum illis errore versati, arbitrantes quatuor illum cum signis occidere. Attalus vero occasus sui principium, non cum Scorpio, ut ostendebamus, sed cum Chelis facere constanter asseverat his verbis : « Quidam enim neque apparentium scientia præditi, neque poetæ mentem assecuti, varie de illo pronuntiarunt. Ac sunt nonnulli, qui cum Virgine primum occidere illum sentiunt ; deinde cum tribus insequentibus signis ; alii initium occidendi ab Scorpio facere, et in Aquarium desinere : qua imbuti opinione aliqui coram te convicti a nobis, ac dedocti de sententia discesserunt. Atque, ut uno verbo dicam, cum et ex apparentibus id constet, et poeta liquido testetur, totum occidisse, cum in oriente situs est Leo, occasum autem incipere, cum Tauri instat exortus ; quando et oppositus illi ex adverso Scorpius in occasu positus est ; et Chelæ recens occiderunt, quibus cum descendere incipit Arctophylax ; manifestum esse arbitror eos omnes, qui de hac re dissentiunt a nobis, apparentium esse funditus ignaros. »

Atqui beasset nos, si non solam, citra demonstrationem sententiam dicere contentus assereret convictos a se qui contra sentirent opinione cessisse, sed dicti quoque sui probationem mandasset litteris ; ut et cæteris ab eo dissidentibus persuaderi posset, cum Chelis, non cum Scorpio illum occidendi primordium habere. Quoniam igitur hoc ab eo prætermissum est, non inutile futurum arbitror paucis admonere, quibus inducti rationibus arbitremur, cum Scorpio primum occidere Bootem. Nam copiosiorem hac de re sermonem nostræ illi de coortibus disputationi seposuimus. Fingamus itaque modo in horizonte occiduo australissimam stellam earum, quæ sunt in sinistro pede Arctophylacis. Est ea borealior æquinoctiali circulo partibus 27, ac triente ; cujusmodi circulus per polos transiens constat 360. Ob id æquidistans æquinoctiali circulus per illam stellam transiens

[18] *f.* ἐπεί.

A . . . . *Ὁ δ', ἐπὴν φάεος κορέσηται,*
Βουλυτῷ ἐπέχει, πλεῖον δίχα νυκτὸς ἰούσης.

Ὅταν γὰρ ταῖς Χηλαῖς ἄρχηται συγκαταδύνειν, τοῦ ἡλίου ἐν αὐταῖς ὄντος, ἐν ᾧ καταδύνει καιρῷ, αἱ νύκτες ἐπ' Ἀρκτούρῳ λέγονται· ὅτε ὅλην τε τὴν ἡμέραν ὑπὲρ γῆς φέρεται, διὰ τὸ τῇ Παρθένῳ αὐτὸν συνανατέλλειν, καὶ δύνει πλείονα χρόνον ἢ τὸ ἥμισυ τῆς νυκτὸς, ἐπὶ [78] τοῖς τέσσαρσι ζωδίοις συγκαταδύνει. Ὅτι δὲ τῇ Παρθένῳ κατ' αὐτὸν συνανατέλλει, φανερὸν ποιεῖ ἐν τούτοις·

Οὐδ' ἂν ἐπερχόμεναι Χηλαὶ, καὶ λεπτὰ φάουσαι,
Ἄφραστοι παρίοιεν· ἐπεὶ μέγα σῆμα Βοώτης
Ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο.

Ζ'. Οὐ μόνον δὲ ὁ Ἄρατος καὶ ὁ Εὔδοξος, ἀλλὰ καὶ οἱ λοιποὶ μαθηματικοὶ πάντες σχεδὸν, ὅσοι περὶ τοῦ
Clypeo quidem Saiorum aliquis gloriatur : quem ad [*frutetum*
Intus inculpatum reliqui ingratiis.

Rursus Athenæ aliæ sunt in Attica, aliæ in Eubœa; quarum meminit in *Glauco maritimo* Æschylus :

Exinde Athenas Daidas e Persis.

Verum ab Athenis Atticis, Athenienses, ab Eubœensibus Athenetæ cognominantur : ut in primo *Geographiæ* libro auctor est Eratosthenes. Sic igitur ab Solis, qui sunt in Cilicia, Solenses : ab iis qui sunt in Cypro, Solii nominantur. Horum mentio fit a Solone in *Elegiis*, quas ad Cypranorem regem scripsit : qui de Solonis consilio cum urbem condidisset, eam in hujus gratiam Solos appellavit : ut pro dato consilio id ei honoris tribueret. Verba Solonis ejusmodi sunt :

Nunc vero tu quidem apud Solios diu istic regnans, [*dræssos,*

Hanc urbem incolas, genusque tuum.
Me vero cum navi celeri inclyta ab insula
Incolumem deducat Cypris viola redimita.

Vixit Aratus sub Antigono Macedoniæ rege, qui Gonatas est dictus, Demetrii Poliorcetæ filio, qui uxorem habuit Philam, Seleuco et Stratonica genitam. Qui cum litterarum studiosus esset, præsertimque poeticæ deditus, dedit operam, ut cum alios complures apud se eruditos haberet homines, tum in primis Aratum. Hic igitur ad regem cum venisset, atque et in alio genere doctrinæ, et in poetica maxime sese illi probasset, ipsiusmet hortatu regis ad scribenda *Phænomena* animum adjecit : cum ab eodem Eudoxi librum accepisset, quod *Enoptrum* inscribitur, rogante uti quæ in eo libro prosa oratione scripta essent, versibus redderentur : ac simul dicente : Εὐδοξότερον, id est **149** *gloriosiorem*, eo facto reddideris Eudoxum, si ab eo tradita carminibus exprimas. Vixit autem Antigonus Olympiade cxxv : quo tempore floruit Aratus, et Alexander Ætolus. Meminit *Speculi* illius Eudoxi, et Antigoni atque Alexandri Ætoli in epistolis Aratus; utque rex ad scribendum eum hortatus sit. Fertur et Dionysio Heracleotæ operam dedisse. Idem *Odysseam* correxit; et emendatio quædam illius [nomine Aratea dicitur, velut Aristarchea et Aristophanea. Asserunt aliqui illum in Syriam profectum apud Antiochum degisse, ab eoque rogatum esse, ut *Iliadem* corrigeret, quod depravata esset a multis. Nicandrum vero Colophonium cum Arato apud Antigonum vixisse qui dicunt; ac tam Aratum rerum cœlestium, quam Nicandrum medicinæ imperitos fuisse (aiunt enim Antigonum Arato, qui professione medicus erat, mandasse ut phænomena conscriberet; Nicandro

μος ἐν Αἰγύπτῳ. Ἀλλ' ἀπὸ μὲν τῆς ἐν Αἰγύπτῳ οἱ πολῖται Σαΐται καλοῦνται, οἱ δὲ τῆς Θρᾴκης Σάϊοι· ὡς καὶ Ἀρχίλοχός φησιν ·

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται· ἣν παρὰ θάμνῳ
Ἐντὸς ἀμώμητον κάλλιπον, οὐκ ἐθέλων.

Καὶ πάλιν Ἀθῆναι μέν εἰσι τῆς Ἀττικῆς· εἰσὶ δὲ καὶ τῆς Εὐβοίας [33]. Ἀθηναίων Δαΐδαις μέμνηται ἐν *Γλαύκῳ ποντίῳ* Αἰσχύλος

Κἄπειτ' Ἀθήνας Δαΐδας παρ' ἐκ Περσῶν.

Ἀλλ' ἀπὸ τῶν ἐν τῇ Ἀττικῇ οἱ πολῖται Ἀθηναῖοι, ἀπὸ δὲ τῶν ἐν Εὐβοίᾳ Ἀθηνῆται λέγονται· ὥσπερ Ἐρατοσθένης φησὶν ἐν τῷ πρώτῳ *Γεωγραφουμένων*. Οὕτως οὖν καὶ ἀπὸ τῶν ἐν Κιλικίᾳ Σόλων οἱ πολῖται Σολεῖς· ἀπὸ δὲ τῶν ἐν Κύπρῳ Σόλιοι. Μέμνηται δὲ τούτων Σόλων ἐν ταῖς *Ἐλεγείαις* ταῖς πρὸς Κυπράνορα τὸν βασιλέα· ὃς, συμβουλευθεὶς ὑπὸ Σόλωνος κτίσαι τὴν πόλιν, χάριν τοῦ ἀνδρὸς Σόλους ὠνόμασεν· ἀμοιβὴν ταύτην νέμων τῆς συμβουλῆς αὐτῷ. Λέγει δὲ ὁ Σόλων οὕτως·

Νῦν δὲ σὺ μὲν, Σολίοισι πολὺν χρόνον ἐνθάδ' [*ἀνάσσων,*
Τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον·
Αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλειτῆς ἀπὸ νήσου
Ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος.

Γέγονε δὲ ὁ Ἄρατος κατὰ Ἀντίγονον τὸν τῆς Μακεδονίας βασιλέα, ὃς ἐπεκαλεῖτο Γονατᾶς. Ἦν δὲ υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ· καὶ γυναῖκα εἶχε Φίλαν τὴν Σελεύκου καὶ Στρατονίκης θυγατέρα. Ἦν δὲ φιλολόγος γενόμενος· καὶ περὶ ποιητικὴν ἐσπουδακὼς, περὶ πολλοῦ ἐποιήσατο πολλοὺς μὲν καὶ ἄλλους τῶν πεπαιδευμένων ἔχειν παρ' αὐτῷ, καὶ δὴ καὶ τὸν Ἄρατον· ὃς, παρὰ τῷ βασιλεῖ γενόμενος, καὶ εὐδοκιμήσας ἔν τε τῇ ἄλλῃ πολυμαθείᾳ καὶ ποιητικῇ, προετράπη ὑπ' αὐτοῦ τὰ *Φαινόμενα* γράψαι τοῦ βασιλέως, Εὐδόξου ἐπιγραφόμενον βιβλίον *Κατόπτρου* δόντος αὐτῷ, καὶ ἀξιώσαντος τὰ ἐν αὐτῷ καταλογάδην λεχθέντα περὶ τῶν φαινομένων μέτρῳ [34] εἶναι· καὶ ἅμα εἰπόντος, ὡς Εὐδοξότερον ποιεῖς τὸν Εὔδοξον, ἐκτείνας τὰ παρ' αὐτῷ κείμενα μέτρῳ. Γέγονε δὲ Ἀντίγονος κατὰ τὴν ρκε' Ὀλυμπιάδα· καθ' ὃν χρόνον ἤκμασεν ὁ Ἄρατος, καὶ Ἀλέξανδρος ὁ Αἰτωλός. Μέμνηται δὲ τοῦ *Κατόπτρου* Εὐδόξου, καὶ Ἀντιγόνου Ἀλεξάνδρου [35] τοῦ Αἰτωλοῦ, καὶ ὡς ἠξιώθη ὑπὸ τοῦ βασιλέως γράψαι, ἐν ταῖς ἰδίαις ἐπιστολαῖς Ἄρατος. Λέγεται δὲ ἐσχολακέναι Διονυσίῳ τῷ Ἡρακλειώτῃ. Καὶ τὴν *Ὀδύσσειαν* δὲ διώρθωσε· καὶ καλεῖταί τις διόρθωσις οὕτως Ἀράτειος, ὡς Ἀριστάρχειος, καὶ Ἀριστοφάνειος. Τινὲς δὲ αὐτὸν εἰς Συρίαν ἐληλυθέναι φασὶ, καὶ γεγονέναι παρ' Ἀντιόχῳ, καὶ ἠξιῶσθαι ὑπ' αὐτοῦ ὥστε τὴν *Ἰλιάδα* διορθώσασθαι, διὰ τὸ ὑπὸ πολλῶν λελυμάνθαι. Οἱ δὲ λέγοντες Νίκανδρον τὸν Κολοφώνιον μετὰ Ἀράτου Ἀντιγόνῳ συγχεχρονικέναι, καὶ Ἄρατον μὴ εἶναι ἐπιστήμονα τῶν οὐρανίων, μήτε Νίκανδρον τῶν ἰατρικῶν (λέγουσι γὰρ, ὡς ἄρα ὁ Ἀντίγονος Ἀράτῳ μὲν ὄντι ἰατρῷ ἐπέταξε τὰ *Φαινόμενα* γράψαι, Νικάνδρῳ δὲ, ἀστρο-

[33] *Leg.* Ἀθῆναι, ὧν μέμνηται. [34] *f.* ἔμμετρα. [35] *f.* καὶ Ἀλεξ.

Digitized by Google

λόγῳ ὑπάρχοντι, τὰ *Θηριακὰ* καὶ τὰ *Ἀλεξιφάρμακα*· ὅθεν καὶ ἑκάτερον αὐτῶν ἐσφάλθαι κατολισθαίνοντα ἐπὶ τὰ ἴδια τῆς τέχνης), ψεύδονται. Ἀγνοοῦσι γὰρ, ὡς οὐ συνήκμασε τῷ Ἀράτῳ Νίκανδρος· ἀλλ' ἔστιν αὐτοῦ πολὺ νεώτερος. Ἀντίγονος γὰρ, ᾧ συνεγένετο Ἄρατος, κατὰ τὸν πρῶτον καὶ δεύτερον γέγονε Πτολεμαῖον· Νίκανδρος δὲ κατὰ τὸν πέμπτον. Μέμνηται γοῦν αὐτοῦ καὶ Καλλίμαχος ὡς πρεσβυτέρου οὐ μόνον ἐν τοῖς *Ἐπιγράμμασιν*, ἀλλὰ καὶ ἐν τοῖς πρὸς Πραξιφάνην, πάνυ ἐπαινῶν αὐτὸν, ὡς πολυμαθῆ καὶ ἄριστον ποιητήν. Γέγονε δὲ ὁ Ἄρατος ζηλωτὴς Ἡσιόδου· ὡς καὶ Καλλίμαχος παρεσημήνατο τοῦτο διὰ τοῦ εἰς αὐτὸν ἐπιγράμματος οὕτως·

A

Ἡσιόδου δ' [36] *ἄεισμα, καὶ ὁ τρόπος, οὐ τὸν ἀοιδὸν*
Ἔσχατον, ἀλλ' ὀκαισώμητο μελιχρότατον
Τῶν ἐπέων ὃ Σολεὺς ἀπεμάξατο. Χαίρετε, λεπταὶ
Ῥήσιες, ἀρήτου σύγγονος [37] *ἀγρυπνίης.*

B

Ἔγραψε δὲ καὶ ἄλλα ποιήματα περί τε Ὁμήρου καὶ *Ἰλιάδος*, οὐ μόνον τὰ *Φαινόμενα*, καὶ ὀστολογίαν, καὶ ἰατρικὰς δυνάμεις, καὶ εἰς Πᾶνα ὕμνον, καὶ εἰς Μύριν τὸν ἀδελφὸν ἐπικήδειον, καὶ διοσημείας, καὶ Σκυθικὸν, καὶ κατὰ λεπτὸν ἄλλα. Ἐπιτετευγμένως δὲ αὐτῷ ἐγράφη τὰ *Φαινόμενα*· ὡς παρευδοκιμηθῆναι πάντας ὑπ' Ἀράτου. Καὶ γὰρ Εὔδοξος ὁ Κνίδιος ἔγραψε φαινόμενα, καὶ Λάσος ὁ Μάγνης, οὐχὶ ὁ Ἑρμιονεὺς, ἀλλ' ὁμώνυμος ἄλλος Λάσῳ τῷ Ἑρμιονεῖ· καὶ Ἕρμιππος, καὶ Ἡγησιάναξ, καὶ Ἀριστοφάνης ὁ Βυζάντιος, καὶ ἄλλοι πολλοί· ὧν καὶ Πτολεμαῖος μέμνηται ὁ βασιλεὺς ἰδιοφυέσιν [38] οὕτως·

C

Πάντ' Ἡγησιάναξ τε καὶ Ἕρμιππος κατ' αἰθρηγ
Τείρεα, καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
Βίβλοις ἐγκατέθεντο· ἀπὸ σκοποῦ [39] *δ' ἁφάμαρ-*
[τον.
Ἀλλὰ τότε [41] *λεπτολόγου σκήπτου Ἄρατος*
[ἔχει.

Καὶ ἄλλοι δὲ πολλοὶ γεγόνασιν Ἄρατοι, ἄνδρες ἐλλόγιμοι, ἱστοριογράφοι· ὥσπερ ὁ Κνίδιος, οὗ φέρονται Αἰγυπτιακὰ ἱστορικὰ συγγράμματα· καὶ τρίτος ἐπισημότατος Σικυώνιος, οὗ ἐστιν ἡ πολύβιβλος ἱστορία, ὑπὲρ τὰ λ' βιβλία ἔχουσα. Τὰς δὲ Ἀράτου ἐπιστολὰς, ὧν ἀνωτέρω ἐμνήσθημεν, πάντων σχεδὸν συμφωνούντων τὰς εἰς αὐτὸν ἀναφερομένας αὐτοῦ εἶναι, καὶ ὁμολογούντων γνησίας αὐτὰς, μόνος Ἀπολλωνίδης ὁ Κηφεὺς ἐν τῷ ὀγδόῳ *Περὶ κατεψευσμένης ἱστορίας*, οὐκ εἶναι αὐτὰς Ἀράτου φησὶν, ἀλλὰ Σαβιρίου Πόλλωνος. Τοῦ δὲ αὐτοῦ τούτου φησὶν εἶναι ἐπινεγραμμένας Εὐριπίδου ἐπιστολάς.

D

vero astrologo, theriaca et alexipharmaca : ob idque ambos aberrasse, ad ea quæ erant artis suæ propria, delapsos) : hæc qui dicunt, falli eos necesse est. Non enim sciunt cum Arato non floruisse Nicandrum, sed eo multo juniorem exstitisse ; nam Antigonus, quocum fuit Aratus, primo ac secundo Ptolemæo regnante vixit ; Nicander sub quinto. Itaque Callimachus Arati tanquam anterioris mentionem facit, non solum in *Epigrammatibus*, sed etiam in iis quæ ad Praxiphanem scripsit ; ubi et illum impense collaudat, tanquam eruditum et optimum poetam. Cæterum Hesiodum æmulatus est Aratus ; quod Callimachus epigrammate quodam in eum scripto testatus est his verbis :

Hesiodi hoc carmen, et modus, non poetarum ;
Postremum....
Carminum Solensis expressit. Salvete, subtilia
Dicta, inexplicabilis germana vigiliæ.

Præter *Phænomena* scripsit et alia poemata, de Homero et *Iliade;* de ossibus, ac medicis facultatibus, hymnum in Pana, epicedium in Myrin fratrem, de ostentis : Scythicum, et alia quædam minuta. In *Phænomenis* vero scribendis potissimum excelluit, adeo ut cæteros longe superaret. Nam Eudoxus quoque Cnidius de phænomenis scripsit, et Lasus Magnes, non Hermionensis, sed ei qui Hermionensis erat, cognominis ; necnon Hermippus, Hegesianax, Aristophanes Byzantius, aliique complures ; de quibus meminit Ptolemæus, ita scribens :

Omnia Hegesianax, et Hermippus ætherea
Astra et plures hæc phænomena
Libris commiserunt ; sed a scopo aberrarunt.

Verum subtilis scriptoris principatum Aratus
[obtinet.

Præter hunc exstiterunt alii complures Arati, celebres historici : velut Cnidius, cujus exstant Ægyptiacarum historiarum libri ; tertius item nominis ejusdem Sicyonius, longe clarissimus ; a quo multis libris edita est historia. Sunt enim amplius triginta. Quod ad epistolas Arati spectat, quarum supra meminimus, cum in hoc consentiant omnes, illius eas esse germanas, quæ ipsi tribuuntur : solus Apollonius Cepheus in octavo *De falsa historia*, negat eas Arati esse, sed Sabirii Pollonis. A quo et illas esse scriptas epistolas asserit quæ Euripidis nomine circumferuntur.

Περὶ ἐξηγήσεως.

De enarratione apparentium Arati.

Τὴν δὲ τῶν φαινομένων ἐξήγησιν πρῶτον μὲν ἑστώσης τῆς σφαίρας, μετὰ δὲ ταῦτα κινουμένης, ἐποιήσατο Ἄρατος. Διὸ συμβέβηκε πάσας τὰς σφαίρας ἐν ἁμαρτίᾳ ὑπὸ τῶν ζωγράφων γράφεσθαι. Ἑστῶτα γὰρ καὶ ἀκίνητα γράφοντες αὐτὰ, σφάλματα πολλὰ ἐν τῇ κινήσει ἐν τοῖς συνανατέλλουσι καὶ ἀντιδύνουσιν ἄστροις [42]. Ποιοῦσι δὲ τὴν ἀρχὴν ἑστώσης

Apparentium rationem sic Aratus exposuit, ut immotam primo sphæram, post eamdem sese convertentem aspiceret. Hinc apparet sphæras omnes a pictoribus non sine errore pingi. Cum enim eodem loco consistentia et immobilia describant, plures ex eo necesse est in orientibus simul et occidentibus sideribus errores incidere. Initio itaque

[36] *f.* τόδ'. *Mox*, ἀοιδῶν. [37] *f.* ἀῤῥήτου, et σύγγονοι. [38] *An* ἰδίως, καί φησιν. [39] *Scr.* τὰ κατ'. [40] *Scr.* ἀποσκόπιοι. [41] *Scr.* τό, *et* σκῆπτρον. [42] *Hæc nonnihil mendosa.*

Digitized by Google

ab sphæra consistente facto, de axe, polo, et iis sideribus, quæ arctici circuli ambitu clauduntur, sermonem instituit; cujusmodi sunt, Ursæ, Draco, et quæ ab cingulo ad pedes Cephei pertinent; tum de iis quæ arcticum inter et zodiacum collocata videntur. Ac de iis quidem, quæ inter arcticum et zodiacum, atque antarcticum sita sunt, ita scribit:

Atque alia quidem inter aquilonem et iter solis
In medio fusa sunt; alia ab inferiori parte incipiunt.

Verum conversam postea contemplatus eamdem sphæram, **150** ortuum, ac simul orientium et occidentium enarrationem iniit ab oriente Cancro, culminante Ariete, et occidente Capricorno. Orsus autem ab exortu Cancri, cum eoque simul orientia et occidentia ex adverso sidera persecutus, deinceps eumdem ordinem non tenuit, sed variis modis usus est: ut e regione interdum occidentia primum, post simul orientia describeret; in aliis vice versa, a coorientibus inciperet, iisque contrarium occasum facientia subjiceret.

Sed poeticum hoc opus plerique depravarunt, pictores, astronomi, grammatici, geometræ; cum ad suam quisque mentem ac voluntatem privatas picturas et interpretationes exigeret.

Proferuntur a nonnullis *Phænomena* sine ullo procœmio in hunc modum:

Hæ quidem nihilominus multæ, et alibi aliæ positæ;

quidam diversa procœmia referunt, velut:

De sole et insigni luna
Dicite mihi, Musæ.

In aliis exemplaribus:

Anclide hospitum sacrum germen, age tu mihi
Cœlestem attingas ad semitam;

alia,

Antigone, hospitum sacrum germen.

Verum omni prorsus carere procœmio opus istud, indecorum est; ac cum hujus poetæ præstanti facultate, tum vero tanti argumenti majestate minus dignum, sic enim initii ac velut capitis expers esset hoc poema. Ab iis autem exordiis inchoari, *Anclide*, et id genus cæteris, non eo solum videtur absurdum, quod propter cacozeliam ab Arati stylo isti versus abhorreant; sed inest id in eo quoque pugnans, quod annis septuaginta ad idem punctum revocari solis curricula credantur. Tale est enim commentitium illud exordium:

Septies cum decenniis conversis annis.

Cum tamen Aratus novemdecim annorum spatio restitui solem in idem principium noverit, ita scribens:

. . . . . *Jam enim celebrati sunt*
Novemdecim circuli splendidi solis.
Tum quotcunque ab cingulo ad extremum Orionem
Nox evolvit, et ad canem audacem Orionis.

Unde si procœmium illud admiserimus, in eo septuaginta annorum orbem poeta constituerit: in

A σης τῆς σφαίρας περὶ ἄξονος καὶ πόλων, καὶ τῶν ἐντὸς τοῦ ἀρκτικοῦ κύκλου ἄστρων τὸν λόγον ποιεῖται. Λέγω δὲ Ἄρκτων, καὶ Δράκοντος, καὶ τῶν ἀπὸ τῆς ζώνης μέχρι ποδῶν τοῦ Κηφέως· εἶτα περὶ τῶν μεταξὺ τοῦ ἀρκτικοῦ καὶ ζωδιακοῦ εἶναι νομιζομένων. Λέγει δὲ περὶ τῶν μεταξὺ τοῦ ἀρκτικοῦ καὶ ζωδιακοῦ, καὶ ἀνταρκτικοῦ οὕτως·

Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται· τὰ δὲ νειόθεν ἄρχεται ἄλλα.

Κινουμένης δὲ τῆς σφαίρας, [65] τῶν ἀνατολῶν, καὶ συναναπελλόντων καὶ ἀντιδυνόντων πεποίηται ἀπὸ Καρκίνου ἀνατέλλοντος, καὶ μεσουρανοῦντος Κριοῦ, καὶ Αἰγόκερω δύνοντος. Ἀρξάμενος μέντοι ἀπὸ Καρκίνου ἀνατέλλοντος, καὶ [66] προσέτι τὰ συναναπέλλοντα αὐτῷ ἄστρα, καὶ ἀντιδύοντα ἐν τοῖς ἑξῆς οὐκ ἐτήρησε ταύτην τὴν τάξιν· ἀλλὰ διαφόρως, ποτὲ μὲν τὰ ἀντιδύνοντα πρῶτα λέγει, ὕστερον δὲ τὰ συναναπέλλοντα· ἐπὶ δέ τινων ἀνάπαλιν· πρῶτα μὲν τὰ συναναπέλλοντα, ὕστερον τὰ ἀντιδύνοντα.

Ἐλύμηναν δὲ πολλοὶ τοῦτο τὸ ποίημα ζωγράφοι καὶ ἀστρονόμοι, καὶ γραμματικοὶ, καὶ γεωμέτραι, ἕκαστος αὐτῶν πρὸς τὸ βούλημα τὸ ἴδιον γραφὰς καὶ ἐξηγήσεις ἰδίας ποιούμενοι.

Φέρεται δὴ τὰ *Φαινόμενα* ὑπὸ μέν τινων ἀπροοιμίαστα·

Οἱ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἐόντες·

ὑπὸ δέ τινων διάφορα προοίμια, ἀρχὴν ἔχοντα·

Ἀμφί μοι ἠελίοιο περικλειτοῖό τε μήνης
Ἔσπετέ μοι, Μοῦσαι

τινὰ δὲ τῶν ἀντιγράφων·

Ἀγκλείδη ξείνων ἱερὸν θάλος, εἰ δ' ἄγε σύ μοι
Οὐρανίην ψαύσειας ἐπὶ τρίβον·

ἕνια δέ·

Ἀντίγονε, ξείνων ἱερὸν θάλος.

Τὸ μὲν οὖν ἀπροοιμίαστον φέρεσθαι τὸ ποίημα παντελῶς ἐστιν ἀπρεπὲς καὶ ἀνάξιον τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ τῆς τηλικαύτης ὑποθέσεως· ἄναρχον γὰρ καὶ ἀκέφαλον ἔσται τὸ ποίημα· τὸ δὲ ἀπὸ τοῦ *Ἀγκλείδη*, καὶ τῶν ἑξῆς ἄρχεσθαι, πρὸς τῷ διὰ κακοζηλίαν ἐκφυγεῖν ταῦτα τὰ ἔπη τὸν Ἀράτειον χαρακτῆρα, ἔτι καὶ ἐναντίωμα ἔχει τὸ οἴεσθαι ἑβδομηκονταετηρίδα εἶναι, ἐν ᾗ ἀποκαθίσταται ὁ ἥλιος ἀπὸ σημείου ἐπὶ σημεῖον. Ἔχει γὰρ τὸ κατεψευσμένον προοίμιον οὕτως·

Ἔπταχα σὺν δεκάδεσι περιπλομένων ἐνιαυτῶν.

Τοῦ Ἀράτου ἐννεακαιδεκαετηρίδα εἰδότος ἀποκαταστατικὴν τοῦ ἡλίου διὰ τούτων·

. . . . . *Τὰ γὰρ συναγείρεται [67] ἤδη*
Ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο·
Ὅσσα τ' ἀπὸ ζώνης εἰς ἔσχατον Ὡρίωνα
Νὺξ ἐπιδινεῖται, Κύνα τε θρασὺν Ὡρίωνος.

Ὥστε εἰ προσδεχθείημεν τὸ προοίμιον, ἐν αὐτῷ μὲν ἑβδομηκονταετηρίδα ἔσται λέγων ὁ ποιητὴς, ἐν δὲ

[65] *Deest nomen* ἀρχήν. [66] *Deest aliquid.* [67] *f.* συναείδεται.

Digitized by Google

τοῖς ἑξῆς ἐννεακαιδεκαετηρίδα· καὶ αὐτὸς ἑαυτῷ ἐναντιούμενος· ὅπερ ἄτοπον. Ἄμεινον οὖν τὸ διὰ τῶν πλείστων ἀντιγράφων φερόμενον προσίεσθαι, οὗ ἡ ἀρχή·

A sequentibus, annorum novemdecim; ac secum ipse pugnabit; quod est absurdum. Satius est igitur initium illud adsciscere, quod in exemplaribus plurisque cernitur, nimirum:

Ἐκ Διὸς ἀρχώμεσθα· τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν.

Ab Jove auspicemur: quem nunquam viri sinimus.

Ἀρμόττον γὰρ ἂν εἴη ἀπ' αὐτοῦ τὴν ἀρχὴν ποιήσασθαι τὸν περὶ τῶν οὐρανίων ἐξηγούμενον. Πρέπει δὲ καὶ ποιηταῖς μάλιστα αὕτη ἡ ἀρχή· ἐπεὶ καὶ ἐν τοῖς συμποσίοις τρεῖς κρατῆρας ἐκίρνων· καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου, τὸν δὲ δεύτερον Διοσκούρων καὶ ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος. Διὸ καὶ ὁ Θεόκριτος·

Est enim consentaneum inde illum auspicari, qui de cœlestibus rebus explicare instituit. Quinetiam poetis maxime convenit hoc exordium. Nam in conviviis tres miscebant crateras; primum Jovis Olympii, secundum Castorum et heroum, tertium Jovis Sospitatoris. Unde Theocritus:

Ἐκ Διὸς ἀρχώμεσθα, φησὶ, *καὶ ἐς Δία λήγετε*, [*Μοῦσαι.*

Ab Jove, inquit, *incipiamus, et in Jovem desinite*, [*Musæ.*

Ὁ δὲ Ὀρφεὺς πάντα καιρὸν ἀνατίθησι Διὶ, λέγων· B Orpheus vero tempus omne Jovi tribuit his verbis:

Ζεὺς ἀρχή· Ζεὺς μέσσα· Διὸς δ' ἐκ πάντα τέτυ- [*κται.*

Jupiter initium; Jupiter medium; ab Jove omnia fa- [*cta sunt.*

Ὅθεν ἀκολούθως καὶ τῷ ἔθει τῷ παλαιῷ καὶ τῇ ὑποκειμένῃ ὑποθέσει ἀπὸ Διὸς πεποίηται τὴν ἀρχήν.

Quamobrem, ut et vetus consuetudo ferebat, et proposito argumento congruebat, ab Jove cœpit exordium.

Ἐπικαλοῦσι δὲ αὐτῷ τὴν « ἐκ » πρόθεσιν ἀντὶ τῆς « ἀπὸ » παρειληφότι. Ἔδει γὰρ, φασὶν, εἰπεῖν, « ἀπὸ Διός. » Ἀγνοοῦσι δὲ, ὅτι καὶ Πίνδαρος κατεχρήσατο τῷ ἔθει τούτῳ, λέγων· *Ὅθεν περ καὶ Ὁμηρίδαι, ῥαπτῶν ἐπέων τὰ πολλὰ ἀοιδοί, ἄρχονται Διὸς ἐκ προοιμίου*· καὶ Ἀλκμάν· *Ἐγὼ δὲ ἀεί σοι* (a) *με ἐκ Διὸς ἀρχόμενα.* Ἄλλως δὲ καὶ τὸ « ἀπὸ » δύσφημόν ἐστιν· ὡς εἴ τις λέγοι, « ἄποθεν. »

Sunt qui reprehendant poetam, quod præpositionem « ex » potius, quam « ab » usurpaverit. Dicendum enim fuerat, inquiunt, « ab Jove, » non « ex Jove. » Sed nesciunt nimirum eodem more loquendi usum esse Pindarum ita scribentem: *Unde et Homeridæ, consutorum carminum poetæ, sæpius incipiunt Jovis ex proœmio.* » Item Alcman: « *Ego vero semper tibi me ex Jove incipiens.* Ac videtur præterea illa vox « ab » nescio quid male ominatum habere: quasi dicas: « procul ab. »

C

Δία δὲ οἱ μὲν τὸν οὐρανὸν, οἱ δὲ τὸν ἥλιον, οἱ δὲ τὸν μυθικὸν ἐξεδέξαντο. Οἱ μὲν οὖν τὸν οὐρανὸν λέγοντες, παρατίθενται τὸν ποιητὴν λέγοντα·

Cæterum Jovem alii cœlum interpretantur, alii æthera, alii solem, alii ad fabulosum illum Jovem referunt. Qui cœlum esse defendunt, pro se poetam citant ita loquentem:

Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται·

151 *Ac veluti cum crebræ nives ab Jove volitant;*

τουτέστιν « ἐξ οὐρανοῦ· » καὶ Ἄρατον αὐτὸν ἐν τοῖς ἑξῆς λέγοντα περὶ τοῦ Ἵππου· *Ἐν Διὸς εἰλεῖται*· ὅ ἐστιν « ἐν τῷ οὐρανῷ· » οἱ δὲ Δία τὸν αἰθέρα παραλαβόντες παρατίθενται Εὐριπίδην λέγοντα·

id est, « e cœlo. » Necnon ipsummet Aratum, qui in sequentibus de Equo sic scribit, *In Jove volvitur;* sed qui de æthere Jovem accipiunt, testem Euripidem adducunt, cujus hæc verba sunt:

Ὁρᾷς τόνδ' ὑψοῦ, τόνδ' ἄπειρον αἰθέρα,
Καὶ γῆν πέριξ ἔχοντ' ὑγραῖς ἐν ἀγκάλαις·
Τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ Θεόν.

Vides hunc in sublimi immensum æthera;
Qui terram circum continet humidis in ulnis:
Hunc tu puta Jovem: hunc arbitrare Deum.

Καὶ ἴσως Ζῆνά τις αὐτὸν καλοίη, διὰ τὸ πυρώδη εἶναι τὸν αἰθέρα· ἀπὸ μὲν τοῦ *αἴθεσθαι*, αἰθέρα· ἀπὸ δὲ τοῦ ζῆν [66] καὶ παρὰ τὴν *ζήτησιν*, Ζῆνα· οἱ δὲ Δία τὸν ἥλιον νοήσαντες λέγουσιν, ὅτι καὶ Σοφοκλῆς Δία τὸν ἥλιον καλεῖ λέγων·

Ac nescio annon Ζῆνα propterea quis illum dixerit, quod igneus sit æther. Quippe ab eo quod est αἴθεσθαι, id est *ardere*, nominatus est *æther:* ab eo vero, quod est ζεῖν, ac propter fervorem, Ζῆνα dixerunt. Jam qui Jovem malunt esse solem, aiunt Sophoclem eodem vocabulo solem appellasse, cum scripsit:

D

. . . . . *Ἡελίοιο κτείρειε ἐμέ·*
Οἱ σοφοὶ [67] *λέγουσι γεννητὴν θεῶν,*
Πατέρα πάντων.

. . . *Sol miserescat mei;*
Quem sapientes aiunt genitorem deum,
Patremque omnium.

Καὶ ἔννοιαν τῆς δόξης ταύτης φασὶν ἔχειν τὸν ποιητὴν, ὅταν λέγῃ·

Cujus opinionis in mentem venisse poetæ volunt; cum ita loquitur:

Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς·

Sonus amborum pervenit in æthera, Jovisque splen- [*dorem;*

καὶ τὸ,

item:

[66] *f.* ζεῖν, *et mox* ζέσιν. [67] *f.* ἥλιος οἰκτείρειέ μ' ὃν οἱ σοφοὶ, *etc. Mox*, καὶ πατέρα.

(a) *Ἀεί σοί με.* Forte ἀείσομαι. Edit

Digitized by Google

Solque, qui cuncta vides, audisque cuncta.

Propterea quod omnia conspicit Jovis oculus, et omnia cognoscit. Qui Jovem aerem interpretantur, testimonio comici Philemonis utuntur; cujus hæc verba sunt : *Quem nemo latet, neque bonum, neque malum . . . hic sum aer quem merito quis appellaverit et Jovem.* Hinc Aratum addidisse volunt :

. . . Pleni autem Jovis sunt omnes vici,
Omniaque hominum fora.

Nam in omnibus Jove opus habemus. Quippe haurientes aerem respiramus. Quin communi inter homines usu loquendi dicimus, « pluere Jovem ; » item Διοσημείας, quasi « Jovis ostenta, » nominamus; et « Nubicogum » apud poetas invenimus. Quæ omnia, et horum similia in aere contingunt. Alii Jovem illum e fabulis Saturno genitum intelligunt. Nos trifariam ab Arato proferri Jovem arbitramur : primum fabulose, ut cum ait :

. . . Si revera certe
E Creta illæ utique Jovis magni consilio ;

licet enim et ex rerum natura, et ex fabularum commentis enarrare proœmium ; jam illud :

Ut autem cum crebræ nives ex Jove volitant,

sic accipere, quasi idem sit atque « e cœlo, » penitus est conflictum. Siquidem Homerus imbrium auctorem facit Jovem. Sic illud quoque : « *In Jovis volvitur;* eodem interpretari sensu, stolidum est. Non enim scripsit : « In Jove, » sed : In Jovis tractu vel domicilio; nimirum in cœlo, per subauditionem ; quemadmodum dicimus, « apud pædotribæ, » vel « fidicinis. »

Aptissime porro ab Jove orsus est, velut opifice, ac rerum omnium domino. Quocirca cætera proœmia repudianda sunt. Etenim Hesiodus, quem unum ex omnibus æmulatum maxime esse dicimus Aratum, ab Jove cœpit.

Fuere qui poetam castigarent, quod litteram σ inseruerit vocabulo ἀρχώμεσθα. Sed huic simile est apud poetam χαζώμεσθα. Tum vero,

Tecum omnes certamus,

dixit, tanquam communia omnibus dicens ; non, ut Apollonio visum est, ex propria tantummodo persona.

Orsus a te, Phœbe, quem nunquam...

Articulus præpositivus pro subjunctivo ὄν, ad vitandam collisionem. Ἀνδρός vocabulo, id est *viri*, quod particulare est, pro generali, *hominis*, uti voluit ; cui simile istud est :

Alii quidem dii, et viri ex equis pugnantes.

Plenæ autem Jove sunt omnes quidem viæ. Poetæ omnituentem **152** ubique Jovem nominant, ut : *O Jupiter omnituens ;* item, *Sol qui omnia lustras.* Ἀγυιαί sunt vici, per quæ γυῖα, *membra*, movemus; at *fora* sunt *concliones*. Nam et *Bulæus*, id

A Ἥλιός θ', ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις.

Παρό ἐστι πάντα εἰδὼς ὁ τοῦ Διὸς ὀφθαλμὸς, καὶ πάντα νοῶν. Οἱ δὲ Δία τὸν ἀέρα ἀκούσαντες, φέρουσι μάρτυν Φιλήμονα τὸν κωμικόν· φησὶ γάρ· Ὅν οὐδὲ εἷς λέληθεν, οὔτε κακὸν [148], οὔτε ἐσθλόν· οὗτός εἰμι ἐγὼ ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία. Διὸ καὶ τὸν Ἄρατον ἐπάγειν·

. . . . . Μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί.

Πάντη γὰρ Διὸς κεχρήμεθα. Σπῶντες γὰρ τὸν ἀέρα ἀναπνέομεν. Ἀλλὰ μὴν καὶ ἐν τῷ βίῳ φαμὲν « τὸν Διὰ ὗειν· » καὶ « Διοσημείας » καλοῦμεν· καὶ « Νεφεληγερέτην » παρὰ τοῖς ποιηταῖς εὑρίσκομεν. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα πάντα ἐν τῷ ἀέρι. Οἱ δὲ B Δία τὸν μυθικὸν τὸν Κρόνου παῖδα νοοῦσιν. Ἡμῖν δὲ δοκεῖ τριχῶς ὑπὸ τοῦ Ἀράτου τὸν Δία προφέρεσθαι· μυθικῶς μὲν, ὡς ὅταν λέγῃ·

. . . . . Εἰ ἐτεὸν δὴ
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι·

ἔστι γὰρ καὶ φυσικῶς καὶ μυθικῶς ἐξηγήσασθαι τὸ προοίμιον· τὸ δὲ,

Ὡς δ' ὅτε ταρφεῖαι νιφάδες Διὸς ἐκποτέονται,

ἐξ οὐρανοῦ νοῆσαι, ὅλον ἐστὶ πλάσμα. Ὅμηρος γὰρ οἶδε τὸν Δία ὄμβρων παραίτιον. Καὶ πάλιν τὸ, « Ἐν Διὸς εἰλεῖται, ὡσαύτως παραλαβεῖν ἀνόητον. Οὐ γὰρ εἶπεν, « Ἐν Διὶ, » ἀλλ', Ἐν τῷ τοῦ Διὸς κλίματι ἢ οἰκητηρίῳ, οὐρανῷ κατὰ παράλειψιν· ὡς « ἐν παι- C δοτρίβου, » ἢ « κιθαριστοῦ. »

Οἰκειότατα δὲ ἀπὸ Διὸς ἦρξατο, ὡς ποιητοῦ, καὶ τῶν ὅλων δεσπότου. Ὥστε τὰ λοιπὰ προοίμια παραιτητέον. Καὶ γὰρ Ἡσίοδος, οὗ μάλιστα ζηλωτὴν τὸν Ἄρατόν φαμεν γεγονέναι, ἀπὸ Διὸς ἦρξατο.

Ἠτιάσαντο δέ τινες, ὅτι ἔγκειται τὸ σ τῷ « ἀρχώμεσθα. » Ὅμοιον δέ ἐστι τῷ παρὰ τῷ ποιητῇ « χαζώμεσθα. » Καὶ,

Σοὶ πάντες μαχόμεσθα,

δὲ εἶπεν, ὡς κοινὰ πᾶσι γράφων· οὐχ, ὡς Ἀπολλώνιος, ἐξ ἰδίου μόνου προσώπου.

D

Ἀρχόμενος σέο, Φοῖβε, τὸν οὐδέποτε....

Ἄρθρον προτακτικὸν ἀντὶ ὑποτακτικοῦ « ὄν, » διὰ τὸν συγκρουσμόν. « Ἀνδρὸς » δὲ ἰδικὸν ἀντὶ γενικοῦ, « τοῦ ἀνθρώπου· » καὶ ὅμοιον τῷ·

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.

Μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί. Ὅτι καὶ οἱ ποιηταὶ πανόπτην καλοῦσι πανταχοῦ· Ὦ Ζεῦ παν- ὀπτα· καὶ, Ἥλιος, ὃς πάντ' ἐφορᾷς. « Ἀγυιαὶ » δὲ τὰ ἄμφοδα, δι' ὧν « τὰ γυῖα » φέρομεν· « ἀγοραὶ » δὲ « αἱ ἐκκλησίαι » καὶ αἱ σύνοδοι. Λέγεται γὰρ

[148] *Deest participium δράσας, aut simile aliud. Videntur autem senarii.*

Digitized by Google

καὶ *Βουλαῖος* Ζεύς, ὡς *Ξένιος*· καὶ *Ἑταιρεῖος*, *Φίλιος*, *Φυτάλιμος*, *Ἐπικάρπιος*.

A est *Consiliarius*, appellatur Jupiter; sicut *Hospitalis*, *Socialis*, *Amicus*, *Serius*, *Frugifer*.

Μεστὴ δὲ θάλασσα, καὶ λιμένες. *Ἐπιπόριος*[49], καὶ *Λιμένιος*, καὶ *Κερδῷος* τοῖς ἐμπόροις. *Ὁ δ' ἥπιος ἀνθρώποισιν*· ἐπεὶ *πατὴρ ἀνδρῶν τε θεῶν τε*. Διὰ τοῦτο καὶ *ἥπιος*·

Plenum est mare, et portus. Dicitur enim *Portumnus* et *Lucrio* negotiatoribus. *Hic vero mitis hominibus*, quoniam *pater est virumque deumque*. Ob id et *mitis* dicitur.

. . . . . *Πατὴρ δ' ὡς ἥπιος ἦεν*.

. . . *Pater vero ceu mitis erat*.

Λέγει δ' ὅτε βῶλος ἀρίστη. Γράφεται καὶ *ἀροστὴ* ἡ «ἀροσίμη·» [50] [οὐχ ἁρμότει δέ·] ἐπιλέγει γὰρ, *βουσί τε καὶ μακέλῃσι*. Μακέλαις δὲ οὐκ ἀροῦταί τις. *Γυρῶσαι*, κύκλῳ περισκάψαι. Πᾶν γὰρ τὸ κυκλοτερὲς γυρόν· *Γυρὸς ἐν ὠμοισιν*. *Αὐτὸς γὰρ τάδε σήματ' ἐν οὐρανῷ ἐστήριξε*, τοὺς ἀστέρας καὶ τὰ εἴδωλα. Παρὰ δὲ τὸ ἐστηρίχθαι ἠτυμολόγησε τῶν ἀστέρων τὸ ὄνομα. Ἄλλοι δέ φασιν ἀπὸ Ἀστραίου. Διὰ δὲ τὸ, *Ἐστήριξε*, τὸ ἀκίνητον τῶν ἀπλανῶν ἐδήλωσε· *τετυγμένα*, παρῳχημένου χρόνου ἀντὶ μέλλοντος· ὡς παρὰ τῷ ποιητῇ·

Admonet autem quandonam gleba optima est. Alias ἀροστή, id est «arabilis.» Sed non congruit. Nam subjicit : *bobus et ligonibus*. At ligonibus arat nemo. *Circumvallare* est «circumfodere.» Quippe rotundum omne γυρόν appellatur, ut, *rotundus in humeris*. Sequitur : *Ipse enim hæc signa in cælo firmavit*, nempe stellas et imagines. Itaque ab eo quod est ἐστηρίχθαι, ἀστέρας, id est stellas, vocavit. Alii ab B Astræo dictas volunt. Atque hoc *firmandi* verbo, ad fixarum immobilitatem allusit ; *facta*, præterito usus est pro futuro ; ut apud poetam :

Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν·

Si quidem possum perficere, et si perfectum est.

ἀντὶ τοῦ «τελεσθησόμενον.» *Ὄφρ' ἔμπεδα πάντα φύωνται*, «ἀσφαλῶς φυτεύσωσι,» παθητικῷ ἀντὶ ἐνεργητικοῦ, ἢ ἵνα φαίνηται, ὡς «σπάρτα λέλυνται. *Ἀνδράσιν ὡράων*· ἀντὶ τοῦ» ὡρῶν.» *Χαῖρε, πάτερ, μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ*. Οὐ λέγει, «καὶ μέγα.» *Χαῖρε αὐτὸς, καὶ πρότερη γενεή*. *Ὦ Ζεῦ, σὺ καὶ ἡ σὴ γενεά*· ἤτοι οἱ Τιτᾶνες. Ἴσως καὶ παρὰ Ἀντιμάχῳ·

Hoc est, «si potest perfici. Pergit : *Ut stata omnia nascantur;* hoc est, « ut tuto conserant,» passivum pro activo ; aut ut videatur, *tanquam funes dissoluti sunt. Viris tempestatum*, pro ὡρῶν. *Salve, pater, magnum miraculum, magna hominibus utilitas*. Non dicit, « et magna.» *Salve tu ipse, et prior generatio*. O Jupiter, tu et progenies tua : nempe Titanes. Velut apud Antimachum :

Γηγενέας τε θεοὺς, προτερηγενέας τε Τιτῆνας.

Terrigenasque deos, antiquioresque origine Titanas.

Καὶ Ὅμηρος·

C Sic Homerus,

Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.

Oceanumque Deum originem, et matrem Tethyn.

Εἰ δὲ ὡς πρὸς ἀνθρώπους *προτέρα* νοήσομεν, λέγοι ἂν τὴν τετάρτην ἀπὸ τοῦ χρυσοῦ γένους τὴν τῶν ἡμιθέων. Ἡμεῖς γὰρ τῆς πέμπτης γενεᾶς. Τιτῆνας δὲ διὰ τοῦτο λέγει χαίρειν, ἐπειδὴ καὶ ἐν τοῖς ἑξῆς Ἀστραῖον, ἕνα τῶν Τιτάνων ὄντα, ὑμνεῖ, λέγων·

Quodsi ad homines vox illa, *prior*, referenda sit, de quarta ab aureo genere semideorum progenie loquetur. Nam nos in quinta progenie censemur. Ac propterea Titanas salvere jubet, quoniam in sequentibus Astræum, unum de Titanibus, prædicat his verbis :

Εἶτ' οὖν Ἀστραίου κείνου γένος· ὅν ῥά τέ φασιν Ἀστρων ἀρχαῖον πατέρ' ἔμμεναι. . . . . .

Sive igitur Astræi illius proles : quem aiunt Astrorum antiquum patrem esse.

Δύναται δὲ τὸ αὐτὸ καὶ τοῖς προειρημένοις, καὶ τοῖς ἐπιφερομένοις συνάπτεσθαι· ὥσπερ καὶ, *Χαίρετε δὲ, Μοῦσαι*, καθ' ἑαυτό· εἶτα, *μάλα πᾶσαι*, ὑφ' ἕν·

Hoc ipsum vero tam cum præcedentibus, quam cum sequentibus copulari potest, quemadmodum istud : *Salvete, Musæ*, per seipsum : deinde, *admodum omnes*, conjunctim :

. . . . . *Ἐμοί γε ἀστέρας εἰπεῖν*
Εἰ θέμις, εὐχομένῳ τεκμήρατε πᾶσαν ἀοιδήν.

D . . . . . *Mihi quidem ad stellas dicendas*
Si fas est, precanti promite omnem cantum.

Τὸ, *θέμις*, ἀμφίβολον. Ἤτοι γὰρ τῷ προτέρῳ συναπτέον, ἢ τῷ ἑξῆς· ἤτοι, *ἀστέρας εἰπεῖν, ὡς προσῆκον, τεκμήρατε*· ἢ, *εὐχομένῳ ὡς προσήκοντα παράσχετε εἰπεῖν, ὦ Μοῦσαι. Τεκμήρατε*, «μέχρι τέλους εἴπατε·» *τέκμωρ* γὰρ τὸ «τέλος.»

Vox illa, *fas*, ambigua est. Nam aut antecedentibus, aut sequentibus annectenda est. Videlicet ut ita construatur : *ad stellas dicendas, ut decet, promite;* vel : *precanti ut decentia date mihi dicere, o Musæ*. Est autem τεκμήρατε, «ad finem usque dicite;» τέκμωρ enim «finem» significat.

[49] *f.* ἐμπόριος. [50] *Deest aliquid*. (Quod nos supplendo e versione, uncis inclusimus. Edit.)

Digitized by Google

ΘΕΟΔΩΡΟΥ

ΠΕΡΙ ΜΗΝΩΝ

THEODORI GAZÆ LIBER DE MENSIBUS

JOANNE PERRELLO INTERPRETE.

153 I. Operæ quidem pretium est, et mensium appellationes pernosse, et in iis utendis Atticum ordinem sequi: quanquam id assequi non est facile. Siquidem virorum prisca nostraque ætate litterarum doctrina insignium, partim de ordine eorum et usu nullam mentionem fecerunt; partim nescio quid ordinis tradiderunt: verum dum se putant perpetuam seriem colligere, procul a recta aberrare palam arguuntur. Nonnulli vero interpretantes quisnam sit mensis Hecatombæon, quisve Posideon, et quo pacto reliquorum cuique cum mensium nominibus conveniat, ut a Romanis tempora numerantur, nihil enarrant sani, neque certe consona inter se commemorant; sed hic Martium Hecatombæonem vocat, ille Julium; itidemque in aliis inter se discordant; omnesque simul a veritate ipsa discedunt. Et vero Plethon hoc sæculo vir clarus, operosum reputans invenire qua ratione hi mutuo respondeant, inquirere destitit; in commentariisque de legum institutione, cum de diebus, mensibus, et anno præcipiat; qua tamen ratione Athenienses menses suos agerent, ne verbum quidem facit. Tametsi in cæteris rebus, quæ ad vocem spectant, eos æmulari magnis votis expetit, in eoque sedulo, et quasi affectate operam navat: sed quod faciat quivis e vulgo, simpliciter hic ex accidente nominat, primum hunc, illum secundum; pariterque alios, ut cujusque ad primum ordo sese habet: non secus ac si quis manus digitos nominaturus, hunc pollicem non vocet, illum indicem, alium medium, et reliquos similiter: at præ constitutorum singulis nominum penuria, primum, secundum, et tertium dicat. Neque vero iis qui multo ante floruerunt, minus difficile fuisse vident: quandoquidem Pollux scripto *De rerum vocabulis* libro ad Commodum Cæsarem, mensis quidem dies ut numerandi sunt nominandique dicit; etsi id non satis recte; ipsos vero menses Atticos prætermittit. Atqui par erat eum præsertim, qui Commodum alienæ linguæ virum Attice loqui doceret, enumeratos nuncupare, et (si modo sciret) ad plenum explicare. Non facile igitur Atticos menses Romanis reddere nominibus, convenientemque ordinem his accommodare. Huic nihilominus inquisitioni opera danda est, et eorum qui diversis in rebus mensis cujuspiam meminerunt, dicta inspectanda;

Α'. Πρὸ ἔργου μὲν καὶ τὸ τὰς ὀνομασίας εἰδέναι τῶν μηνῶν, καὶ τάξει χρῆσθαι ὡς Ἀθηναῖοι ἦγον· οὐ ῥᾴδιον δὲ τοῦτο λαβεῖν. Τῶν τε γὰρ πρότερον καὶ τῶν καθ' ἡμᾶς δὴ ἐλλογίμων οἱ μὲν οὐθὲν περὶ τάξεως καὶ χρείας ἔφασαν τούτων· οἱ δὲ τάξιν μέν τινα ἀποδέδώκασι, τὸ ἐφεξῆς οἰόμενοι λέγειν· πόῤῥω δὲ ἀποπλανώμενοι τοῦ ὀρθοῦ ἐλέγχονται φανερῶς. Ἔτι δ' ἑρμηνεύοντες, ὅστις μὲν Ἑκατομβαιὼν τῶν μηνῶν, ὅστις δὲ Ποσειδεών, καὶ τῶν λοιπῶν ἕκαστος ὡς ἐφαρμόττοι πρὸς τὰ ὀνόματα τῶν μηνῶν, καθάπερ ἄγουσι Ῥωμαῖοι τοὺς χρόνους, οὐδὲν ὅ τι καὶ ὑγιὲς εἰπεῖν ἀποδιδόασιν, οὐδὲ δὴ συνῳδά γε ἀλλήλοις φασίν· ἀλλ' ὁ μὲν Μάρτιον λέγει τὸν Ἑκατομβαιῶνα, ὁ δὲ Ἰούλιον· ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων διαφωνοῦσιν ἀλλήλοις, ἅμα καὶ διαμαρτάνοντες ἕκαστοι τἀληθοῦς. Καὶ Πλήθων δ' ἐφ' ἡμῶν ἀνὴρ τῶν ἐπιφανῶν, χαλεπὸν ἡγούμενος εὑρεῖν τὸ ἀνάλογον τούτοις, εἶα ἐπιζητεῖν· κἀν τοῖς περὶ νομοθεσίας δὴ λόγοις, περὶ ἡμερῶν καὶ μηνῶν, καὶ ἐνιαυτοῦ ὑφηγούμενος, οὐκ ὀνομάζει ὡς Ἀττικοὶ ἦγον τοὺς μῆνας (καίτοι τἆλλα τὰ περὶ τὴν φωνὴν ἔπεσθαι προθυμούμενος Ἀττικοῖς, καὶ σφόδρα περὶ τοῦτο σπουδάζων), ἀλλ' ὅπερ ἂν ὁ τυχὼν εἴποι, ἁπλῶς οὕτως ἐκ τοῦ συμβεβηκότος καλεῖ, τὸν μὲν πρῶτον, τὸν δὲ δεύτερον, καὶ τοὺς ἄλλους ὁμοίως, ὡς ἕκαστος ἔχει τάξεως πρὸς τὸν πρῶτον· καθάπερ εἴ τις, τοὺς τῆς χειρὸς δακτύλους ὀνομάσαι ἐθέλων, οὐ τὸν μὲν καλεῖ μέγαν, ἢ ἀντίχειρα, τὸν δὲ λιχανὸν, τὸν δὲ μέσον, καὶ τοὺς λοιποὺς ὡσαύτως· ἀλλ' ὑπ' ἀπορίας τῶν ἑκάστοις κειμένων γε ὀνομάτων πρῶτον, καὶ δεύτερον, καὶ τρίτον προσαγορεύει. Ἔοικε δὲ μηδὲ τοῖς πολὺ πρόσθε ῥᾴδιον εἶναι· ὅτι δὴ καὶ Πολυδεύκης, τὰ Ὀνομαστικὰ Καίσαρι Κομμόδῳ συγγεγραφὼς, τὰς μὲν ἡμέρας τοῦ μηνὸς ὅπως ἀριθμητέον τε καὶ ὀνομαστέον λέγει, εἰ καὶ μὴ καλῶς, τοὺς μῆνας δ' αὐτοὺς παρασιγῶν ἀπολείπει. Χρῆν δὲ καταριθμῆσαι καὶ τούτους ὀνομάζοντα καὶ διασαφοῦντα, εἴπερ ᾔδει· ἄλλως τε καὶ Κόμμοδον τῶν ἑτεροglώττων τινὰ Ἀττικίζειν διδάσκοντα τὴν φωνήν. Ἔστι μὲν οὖν οὐ ῥᾴδιον ἀποδοῦναι τοῖς Ῥωμαίων ὀνόμασι τὰ τῶν Ἀθηναίων περὶ τοὺς μῆνας, καὶ τὴν προσήκουσαν τάξιν εὑρεῖν. Οὐ μὴν ἀλλὰ ζητητέον καὶ τῶν ἐπὶ πραγματείαις διαφόρως μνημονευσάντων μηνός του τὰ λεγόμενα ἐπισκεπτέον· καὶ ἐκ πλειόνων συλλογιστέον διορίζοντας, ἐφ' ὅσον διακριβοῦσθαι καὶ περὶ τῶν τοιούτων ἀνεῖη· ὅπως ἂν Ἑλληνικοῖς ὀνόμασι τῶν μηνῶν ἔγω

Digitized by Google

μεν χρῆσθαι, Ἑλληνικῶς φράζοντες, ἀλλὰ μὴ, A ὀθνεῖα παραμιγνύντες, ξενίζωμεν περὶ τὴν πατρῴαν φωνὴν, καὶ ἐκμελῆ τὸν λόγον ποιῶμεν. Φιλοσόφου δὲ καὶ τὸ περὶ τούτου ἐσκέφθαι· τῆς αὐτῆς γὰρ ἐπιστήμης ἐστὶν ὀρθῶς τε τοῖς κειμένοις χρῆσθαι ὀνόμασι, καὶ μηδὲν ἀλλοεθνὲς ἐπιπολάζειν τοῖς οἰκείοις ἐᾷν· ὥσπερ ἀμέλει καὶ τὰ μὲν μὴ ὑπάρχοντα νομοθετεῖν, τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι. Οὕτω γὰρ ἂν ἑκάστη τῶν ἐπιστημῶν, βέλτιον τὸ αὑτῆς ἔργον ἀποτελοῦσα, συμβάλλοιτο εἰς τὴν πολιτικὴν κοινωνίαν· μάλιστα δὲ αἱ περὶ τοὺς λόγους.

tum ex pluribus distincta explicatione ratiocinandum, quatenus fieri poterit de talibus exacta investigatio, ut Græce dicentes Græcis mensium nominibus utamur; et ne externa permiscentes, atque inculcantes, in nostrate lingua quasi hospites peregrinum quiddam sonemus, et ineptum inconcinnumque sermonem faciamus. Porro philosophi est etiam hujusmodi commentatio: cum quidem peritiæ sit rite impositis nominibus uti, et nihil peregrinum pati in propriis vernaculisque superfluere: quemadmodum certe, nomina si desunt, et nova formare et perperam a rudibus indita corrigere. Sic enim unaquæque disciplina melius magisque suo munere fungens universæ reipublicæ conducat; imprimis autem eæ artes quæ consistunt in recti sermonis ratione.

Μῆνες Ἀθηναίων.

B Β'. Δώδεκα μὲν τοίνυν τὸν ἀριθμὸν εἶναι ὀνόματα μηνῶν ταῦτα, ὡς Ἀθηναῖοι ἦγον, πάντες ὁμολογοῦσι·

Μουνυχιῶνα,
Θαργηλιῶνα,
Σκιροφοριῶνα,
Ἑκατομβαιῶνα,
Μεταγειτνιῶνα,
Βοηδρομιῶνα,
Μαιμακτηριῶνα,
Πυανεψιῶνα.
Ἀνθεστηριῶνα,
Ποσειδεῶνα,
Γαμηλιῶνα,
Ἐλαφηβολιῶνα.

154 *Menses Atheniensium.*

II. Esse igitur hæc Atticorum mensium nomina, duodecim numero, omnibus in confesso est. Sunt autem hæc:

Munychion,
Thargelion,
Scirophorion
Hecatombæon,
Metagitnion,
Boedromion,
Mæmacterion,
Pyanepsion,
Anthesterion,
Posideon,
Gamelion,
Elaphebolion.

Περὶ δὲ τάξεως καὶ τοῦ ἑφεξῆς ἡ διαφορά τε καὶ ἀμφισβήτησίς ἐστι· πρὸς δὲ καὶ περὶ τοῦ, πῶς δεῖ, C μεταφέροντας εἰς τὴν Λατίνων φωνὴν, ὀνομάζειν. Πρῶτον δὴ περὶ τάξεως καὶ τοῦ ἑφεξῆς τούτων· ἔπειτα περὶ ἑρμηνείας θεωρητέον. Δοκεῖ γὰρ ὥσπερ στοιχεῖον ἑρμηνείας οὖσα τούτων ἡ τάξις· καὶ τὰ πολλὰ ἴσως τῶν πρὸς τὴν ἑρμηνείαν τεινόντων δέοι ἂν, λαμβάνοντας ἐκ τῶν τῆς συντάξεως οἰκείων, δεικνύειν. Μετὰ δὲ ταῦτα περὶ χρείας ῥητέον· τούτου γὰρ ἕνεκα καὶ τὴν τάξιν εἰδέναι μάλιστα προαιρούμεθα. Καὶ πρὸς τούτοις, εἴ τι ἄλλο πως οἰκεῖον τῇ σκέψει τῇδέ ἐστι, προσληπτέον, βραχύ τι συμπεριλαμβάνοντας, ἵνα μὴ τοῦ ἔργου μεῖζον τὸ πάρεργον γίνηται.

Cæterum quis ordo, et quæ series, atque etiam quomodo, et quibus verbis in Latinam linguam transferentes appellare oporteat, hic discrimen et controversia. Primum igitur de ordine et serie; post de interpretatione considerandum. Nimirum ordo ipse velut interpretationis elementum est, cum et multa forte eorum quæ ad interpretationem tendunt, ex constructionis ordinisque proprietate elicientem oporteat ostendere. Mox de usu dicendum: cujus gratia ordinem scire imprimis statuimus. Ad hæc, si quid aliud huic commentationi proprium, nobis assumendum est, compendiariam viam amplexantibus, ut ne operis diverticulum fiat opere instituto majus.

Περὶ τάξεως τῶν μηνῶν.

De ordine mensium.

Γ'. Εἰλήφθω τοιγαροῦν μὴν ὁ τυχὼν πρῶτος τῷ D λόγῳ· ἔστω δὲ, εἰ δοκεῖ, Ποσειδεών· μετὰ Ποσειδεῶνα δὴ εὐθὺς Γαμηλιών. Μάρτυρες δὲ τούτου Ἀριστοτέλης τε καὶ Θεόφραστος, ἄνδρες παλαιᾶς μνήμης, καὶ ἐμπείρως ἔχοντες τῆς Ἀθηναίων φωνῆς. Δεῖ γὰρ μὴ ἀμάρτυρα φάσκειν, ὡς οἱ πρωτοῦ θέσεις πρὸς τῷ ψευδεῖ καὶ ἀδεσπότους ἀποδεδώκασι, λέγοντες περὶ τούτων· ἀλλ' ἐφ' ἑκάστοις μάρτυρας παρέχεσθαι ἄνδρας ἀξιοπίστους, ὥσπερ ἐν δικαστηρίῳ. Πᾶν γὰρ τὸ ἐν τούτοις πιστὸν οὐκ ἐκ τεκμηρίων καὶ λόγων τοιούτων, ἀλλ' ἐξ ὧν τινες τῶν ἐνδόξων εἶπόν ἐστι. Τούτων δὴ ὁ μὲν ἐν τῇ περὶ τὰ ζῶα ἱστορίᾳ ὧδε λέγει· « Ἡ δὲ θυννὶς ἅπαξ τίκτει· ἀλλὰ διὰ τὸ τὰ μὲν πρῶτα, τὰ δὲ ὕστερα προΐεσθαι, δὶς δοκεῖ τίκτειν. Ἔστι δὲ ὁ μὲν πρῶτος τόκος περὶ τὸν Ποσειδεῶνα πρὸ τῶν

III. Sumatur itaque primus quisque mensis, sese ut dicendo obtulerit; sitque, si placet, Posideon; post hunc continuo Gamelion. Cujus rei testes Aristoteles et Theophrastus, priscæ memoriæ viri, atque Atticæ linguæ periti. Neque enim hic non productis testimoniis agere licet, ut qui antehac falsas, testibusque egentes positiones tradiderunt, hanc de mensibus quæstionem tractantes: verum in singulis testes excitare, viros locupletes et fide dignos opus est, non secus atque in judicio. Quidquid enim in his probabile, non ex signis necessariis, hujusmodique rationibus sequi oportet: sed ex iis sumere, quæ dixere clari celebresque viri. Horum igitur alter in historia animalium sic ait: « Thunna etiam semel parit: sed cum alios fetus

Digitized by Google

præmaturos, alios serotinos producat, bis videtur parere : editque priorem partum circiter Posideonem ante brumam, posteriorem vere. » Porro Theophrastus in historia de plantis, principium sementis secundæ post brumale solstitium esse dicit, mense Gamelione : cujus quidem auctoris hæc sunt verba : « Ita appellant, » inquit, « non satus quidem rationem habentes, sed ortus et usus cujusque : quandoquidem satus fit contrariis fere temporibus. Principium enim hiberni (quem primam sementem appellant) post æstivum solstitium est, mense Metagitnione : at rursum secundi, mense Gamelione, post solstitium hibernum. » Si ergo dictum est a claris illis viris, circiter Posideonem ante brumam, et mense Gamelione post brumam : Gamelionem post Posideonem inde esse necesse est. Quod autem mox etiam sequatur, evidens est ex præcedentibus, et ex elocutione id intelligere convenit. Qui namque dicit circiter Posideonem ante brumam, et Gamelione post brumam; vel circa eum mensem (quem nominat) id solstitium esse vult, vel certe circa proximum ostendere. Nam quod hibernus sit Posideon, ex iis in promptu est quæ Aristoteles in eadem historia, de mugilibus piscibus commodissime discernit. Cum enim prius dixisset, hieme mugilem parere, postea subdit mensem, circa quem parit, puta Posideonem. Hæc vero utraque in quinto historiæ his verbis scribit : « Sunt autem quæ vel per hiemem, æstatemve suos partus edant; per hiemem, lupus, mugilis, acus : per æstatem circa Hecatombæonem, thunnæ. » Et paulo post : « Parere vero incipiunt ex mugilibus, labeones quidem mense Posideone, et mucones, et capitones, geruntque diebus tricenis. » Hoc idem rursum libro septimo dicit. Simul vero constat solstitialem esse Posideonem. Nam si ante solstitium circa Posideonem, hibernusque Posideon : manifestum est circiter Posideonem solstitium esse. Circa enim primum hibernum mensem solstitium peragitur. Et illa quidem locutio, « circa Posideonem ante brumam, » quo mense fiat circumscribit; ut dicendi quoque formula, qua quid post brumam fieri perhibetur, id esse designat **155** circiter eumdem mensem, quo solstitium confectum sit. Quinetiam Alcyon avis circa brumam parit. Quamobrem quoties bruma serena est, dies Alcyonii appellantur septem ante brumam, et septem a bruma; ut etiam Aristoteles ait, vocaturque a multis ipsa avis Posideonis, id est Decembria, ab iepido quopiam et urbano auctore, ut videtur, appellationem mutuatis, quod pariat mense Posideone : adeo ut illud abunde magnum argumentum sit, solstitialem esse Posideonem, et hiemalium mensium primum. Nunc igitur ex his sumptum sit, hibernum et solstitialem esse Posideonem; quanquam etiam diligentius posthac demonstrabitur. Sed nec hanc pariter in omnibus diligentiam requirere oportet; verum in singulis secundum subjectam materiam, atque hactenus, quatenus peculiaris est docendi rationi.

A τροπῶν, ὁ δ' ὕστερος τοῦ ἔαρος. » Θεόφραστος δὲ ἐν τῇ περὶ τὰ φυτὰ ἱστορίᾳ ἀρχὴν εἶναί φησι τοῦ δευτέρου τῶν ἀροτῶν μεθ' ἡλίου τροπὰς χειμερινὰς, τοῦ Γαμηλιῶνος μηνός. Ἔχει δὲ ἡ λέξις αὐτῷ ὧδε· « Καλοῦσι δὲ οὕτως οὐ πρὸς τὴν σπορὰν βλέποντες, ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν ἑκάστου. Ἐπεὶ ἥ γε σπορὰ σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται. Χειμερινοῦ γὰρ ἀρχὴ μετὰ τροπὰς θερινὰς, τοῦ Μεταγειτνιῶνος μηνὸς (καλοῦσι δὲ τοῦτον πρῶτον τῶν ἀροτῶν)· τοῦ δευτέρου πάλιν μεθ' ἡλίου τροπὰς χειμερινὰς, τοῦ Γαμηλιῶνος μηνός. » Εἰ δὴ περὶ Ποσειδεῶνα πρὸ τῶν τροπῶν, καὶ Γαμηλιῶνος μετὰ τροπάς· Γαμηλιῶνα μετὰ Ποσειδεῶνα εἶναι ἀνάγκη. Ὡς δὲ καὶ ἐφεξῆς, συμφανὲς ἐκ τοῦ προκειμένου, καὶ τῆς φράσεως τοῦτ' ἀκούειν χρεών. Ὁ γὰρ περὶ Ποσειδεῶνα B πρὸ τῶν τροπῶν λέγων καὶ Γαμηλιῶνος μετὰ τροπὰς, ἤτοι περὶ τὸν ὀνομαζόμενον μῆνα τὰς τροπὰς εἶναι βούλεται, ἢ περὶ τὸν ἐγγύτατά γε δηλοῦν. Ὅτι δὲ καὶ χειμερινὸς αὖ ὁ Ποσειδεών, δῆλον ἐξ ὧν Ἀριστοτέλης ἐν τῇ αὐτῇ ἱστορίᾳ διευκρινεῖ περὶ ἰχθύων τῶν καλουμένων κεστρέων. Εἰπὼν γὰρ πρόσθεν, ὅτι χειμῶνος ὁ κεστρεὺς τίκτει, μετὰ ταῦτα καὶ τὸν μῆνα, περὶ ὃν τίκτει, ὀνομάζει λέγων, ὅτι Ποσειδεῶνος. Ἄμφω δὲ ταῦτα ἐν τῷ πέμπτῳ τῆς ἱστορίας ἐπὶ τῇδε τῇ λέξει· « Τίκτει δ' ἔνια καὶ χειμῶνος καὶ θέρους· χειμῶνος μὲν λάβραξ, κεστρεὺς, βελόνη· θέρους δὲ περὶ τὸν Ἑκατομβαιῶνα θυννίδες· » εἶτα· « Ἄρχονται δὲ τίκτειν τῶν κεστρέων οἱ μὲν χελῶνες τοῦ Ποσειδεῶνος, καὶ ὁ μύξων καλούμενος, καὶ ὁ κέφαλος· κυοῦσι δὲ τριάκοντα ἡμέρας. » Τοῦτο δ' αὐτὸ C πάλιν καὶ ἐν τῷ ἑβδόμῳ φησίν. Ἅμα δὲ δῆλον, ὅτι καὶ τροπικὸς ὁ Ποσειδεών. Εἰ γὰρ περὶ Ποσειδεῶνα πρὸ τῶν τροπῶν, χειμερινὸς δ' ὁ Ποσειδεών· φανερὸν, ὅτι περὶ Ποσειδεῶνα αἱ τροπαί. Περὶ γὰρ πρῶτον μῆνα τῶν χειμερινῶν γίνονται αἱ τροπαί. Καὶ ἡ « περὶ Ποσειδεῶνα πρὸ τῶν τροπῶν » ῥῆσις, ἆρα τὸ πότε τοῦ μηνὸς διορίζει· ὡς καὶ μετὰ τροπὰς γινομένου τοῦ περὶ τὸν αὐτὸν μῆνα, περὶ ὃν αἱ τροπαί. Οὐ μὴν ἀλλὰ καὶ τῶν ὀρνίθων ἀλκυὼν τίκτει μὲν περὶ τροπὰς χειμερινάς. Διὸ καὶ καλοῦνται, ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαὶ, Ἀλκυόνειαι ἡμέραι, ἑπτὰ μὲν πρὸ τροπῶν, ἑπτὰ δὲ μετὰ τροπάς· καθάπερ καὶ Ἀριστοτέλης φησί· καλεῖται δὲ Ποσειδεωνὶς τοῖς πολλοῖς ἡ ὄρνις, παρά του τῶν ἀστείων, ὡς ἔοικε, τοὔνομα D εἰληφόσι, παρὰ τὸ τίκτειν Ποσειδεῶνος μηνός· ὥστε σημεῖον καὶ τοῦτ' ἂν εἴη τροπικὸν εἶναι τὸν Ποσειδεῶνα, καὶ τῶν χειμερινῶν πρῶτον. Νῦν μὲν οὖν ἐκ τούτων εἰλήφθω χειμερινόν τε καὶ τροπικὸν εἶναι τὸν Ποσειδεῶνα· ὕστερον δὲ καὶ δι' ἀκριβείας μᾶλλον δειχθήσεται. Τὴν δ' ἀκρίβειαν οὐχ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν δεῖ, ἀλλ' ἐν ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην, καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον οἰκεία τῇ μεθόδῳ.

Gamelionem porro statim sequitur Elaphebolion; novissimo enim mense brumali opus est; atqui hic

Μετὰ δὲ Γαμηλιῶνα εὐθὺς Ἐλαφηβολιών· τελευταίου γὰρ μηνὸς τῶν χειμερινῶν δεῖ· οὗτοι δὲ τε-

Digitized by Google

λευταῖος. Σημεῖον δέ· Θουκυδίδης γὰρ ἐν τετάρτῃ A
τῶν ἱστοριῶν τὴν ἐνιαύσιον ἐκεχειρίαν, τὴν γενο-
μένην Λακεδαιμονίοις καὶ Ἀθηναίοις, τελευτῶντος
ὀγδόου ἔτους τῷ πολέμῳ, τετράδι ἐπὶ δέκα τοῦ Ἐλα-
φηβολιῶνος μηνὸς ὁμολογεῖσθαί φησι· τὴν δ' αὐτὴν
ἐκεχειρίαν καὶ διελθόντος τοῦ χειμῶνος ἅμα ἦρι τοῦ
ἐπιγινομένου θέρους γεγονέναι. Κἀν τῇ πέμπτῃ
δ' αὖ τῶν αὐτῶν ἱστοριῶν σπονδὰς γενέσθαι φησὶν
ἐπὶ ἄρχοντος Ἀθήνῃσιν Ἀλκαίου, Ἐλαφηβολιῶνος
μηνὸς ἕκτῃ φθίνοντος. Τὰς δ' αὐτὰς σπονδὰς καὶ
τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι γενέσθαι φησίν.
Ἔτι δ' Ἀριστοτέλης τῶν θηρίων τὴν ἄρκτον ἱστορεῖ
τὴν ὀχείαν ποιεῖσθαι τοῦ μηνὸς τοῦ Ἐλαφηβολιῶνος·
κύειν δὲ ἡμέρας τριάκοντα, καὶ τίκτειν περὶ τὸν
καιρὸν, ὃν φωλεῖ· ὅταν δὲ ἐκθρέψῃ τρίτῳ μηνὶ, B
ἐκβαίνειν ἤδη τοῦ ἔαρος. Ταῦτα δ' εἰπὼν ἐν ἑβδόμῳ,
πάλιν ἐν ὀγδόῳ φησὶ τὴν ἄρκτον ἐντίκτειν περὶ
τοῦτον τὸν καιρὸν, καὶ φωλεῖν ἕως ἂν ὥρα ᾖ ἐξάγειν
τοὺς σκύμνους· τοῦτο δὲ ποιεῖν τοῦ ἔαρος περὶ τρίτον
μῆνα ἀπὸ τῶν τροπῶν. Ὥστ' ἐάν τε τίκτειν ἀπὸ τρο-
πῶν χειμερινῶν περὶ τρίτον μῆνα, ἐάν τε ἐξάγειν
ἀπὸ ἐαρινῆς ἰσημερίας περὶ τρίτον ἀκούειν δεῖ·
κατ' ἄμφω δὲ τὸν Ἐλαφηβολιῶνά γε μῆνα τελευταῖον
εἶναι τῶν χειμερινῶν καὶ τρίτον συμβαίνει. Τίκτειν
γάρ φησι περὶ ὃν καιρὸν μάλιστα φωλεῖ· φωλεῖ δὲ
τὰ χερσαῖα πάντα τοῦ χειμῶνος, ὡς εἴρηται ἐν τῷ
ὀγδόῳ. Χειμερινὸς ἄρα ὁ Ἐλαφηβολιὼν, περὶ ὃν
κύει. Οὐ πρῶτος δὲ, οὐδὲ δεύτερος· τρίτος ἄρα· εἴ γε
τρεῖς περὶ ἑκάστην τῶν ὡρῶν μῆνές εἰσιν.

Ἑφεξῆς δ' Ἐλαφηβολιῶνι Μουνυχιών· τέταρτος C
μὲν γὰρ ἀπ' Ἐλαφηβολιῶνος Σκιροφοριὼν, τρίτος δὲ
ἀπὸ Μουνυχιῶνος. Ἀριστοτέλης ἐν τῇ αὐτῇ περὶ ζώων
ἱστορίᾳ ὧδε καταριθμούμενος τέταχε· « Τίκτουσι
δ' οἱ πλεῖστοι τῶν ἰχθύων ἐν μησὶ τρισὶ, Μουνυχιῶνι,
καὶ Θαργηλιῶνι, καὶ Σκιροφοριῶνι. » Δημοσθένης δὲ
ἐν τῷ *Περὶ παραπρεσβείας* λόγῳ· « Ἡ μὲν τοίνυν
εἰρήνη, » φησὶν, « Ἐλαφηβολιῶνος ἕκτῃ ἐπὶ δέκα
ἐγένετο· ἀπεδημήσαμεν δὲ ἡμεῖς ἐπὶ τοὺς ὅρκους
τρεῖς ὅλους μῆνας. Καὶ τοῦτον ἅπαντα τὸν χρόνον
ἦσαν οἱ Φωκεῖς σῶοι. Ἥκομεν δὲ ἀπὸ τῆς πρεσβείας
τῆς ἐπὶ τοὺς ὅρκους τρίτῃ ἐπὶ δέκα τοῦ Σκιροφο-
ριῶνος. » Καὶ Αἰσχίνης δὲ ἐν τῇ *Περὶ παρα-
πρεσβείας ἀπολογία*, ὑπειπὼν, ὅτι δὴ τὴν ἐπι-
στολὴν γράψειε Χάρης Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ
φθίνοντος, ἐπήνεγκε τάδε· « Ἀκούετε, ὅτι Μουνυ D
χιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου· ὁ δὲ Κερσοκλέ-
πτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν Θρᾴ-
κην, πρὶν ἐμὲ ἀπιέναι; ὡς φησι Χάρης στρατηγὸς,
καὶ ἐπιστολὴ, τοῦ προτέρου μηνός· εἴπερ Ἐλαφη-
βολιών ἐστι Μουνυχιῶνος πρότερος. »

certe postremus. Cujus rei signum est, quod Thucydides historiæ libro quarto inducias annuas inter Athenienses Lacedæmoniosque factas, anno belli octavo excedente, mensis Elaphebolionis quartodecimo die pactas esse dicit, et easdem exacta quidem hieme, ineunte simul vere æstatis subsequentis confectas. Et etiam in quinto ejusdem historiæ, præfectum gerente Athenis Alcæo fœdera percussa esse dicit, mensis Elaphebolionis sexto ante finem die, idque sub hiemis extremum et veris initium. Præterea vero scribit Aristoteles ursam coire mense Elaphebolione, ferreque uterum dies triginta, et parere eo tempore quo latet; cum vero prolem enutrierit, exire mense jam veris tertio. Hæcque habet in septimo. Rursum in octavo inquit, eo tempore ursam eniti, tandiuque latere, quoad tempus sit, ut suos catulos in apertum producat; idque verno tempore, mense a bruma tertio fieri. Quocirca sive audiendus cum dicit, parere tertio a bruma mense, sive cum producere suos fetus ab æquinoctio verno tertio mense; utroque sane modo Elaphebolionem hibernorum mensium ultimum, et tertium esse contingit. Parere enim ait per id tempus quo latet; latent vero terrestria cuncta hieme, ut ab eo dictum est in octavo. Hibernus est igitur Elaphebolion, quo mense ursa ventrem gestat. Atqui non primus, non secundus, ergo tertius. Siquidem anni tempestatibus terni menses ascribuntur.

Continens est vero Elaphebolioni Munychion; quartus enim ab Elaphebolione Scirophorion, tertius autem a Munychione. Aristoteles in eadem historia de animalibus hos sic ordine enumerat: « Pariunt certe pisces plurimi tribus his mensibus, Munychione, Thargelione, Scirophorione. » Demosthenes vero in oratione *De ementita legatione*: « Pax (inquit) Elaphebolionis decimo sexto die facta est: porro tres integros menses ad jusjurandum recipiendum peregre abfuimus, idque totum tempus salvi fuere Phocenses; rediimusque ab ea legatione de jurejurando, decimo tertio die Scirophorionis. » Et Æschines vero in *Defensione falsæ legationis*, cum ante dixisset, epistolam per Charetem scriptam esse sexto sub finem Elaphebolionis die, hæc subinde intulit: « Auditis (inquit) rogationem in populo scitam fuisse tertio Munychionis die: verum quot prius diebus Cersocleptes Thraciam amisit, quam ipse abirem, ut testatur Chares imperator, et epistola, superiori mense epistola. Nam certe Elaphebolion Munychione prior. »

Ὅτι περὶ Μουνυχιῶνα ἡ ἐαρινὴ ἰσημερία.

Δ'. Δῆλον δὲ τοῦτ' αὐτὸ καὶ ἐκ τοῦ δεῖν μῆνα συνεχῆ εἶναι, περὶ ὃν ἰσημερία ἐαρινή. Περὶ Μουνυχιῶνα δὲ αὖτη. Θεόφραστος γὰρ ἐν τοῖς αὐτοῖς περὶ ἀροτοῦ, ὥσπερ ἀπὸ τροπῶν εἶναί φησι τὴν ἀρχὴν τοῦ πρώτου, καὶ δευτέρου τῶν ἀροτῶν, ὡς καὶ τὴν τοῦ τρίτου ἀπὸ ἰσημερίας ἐαρινῆς εἶναι ἐνδεικνύμενος· « Ἀρχὴ τοῦ τοίνυν, » φησὶν, « ὃν καλοῦσι θερινὸν, Μουνυχιῶνος·

Quod circa Munychionem sit vernum æquinoctium.

IV. Jam vero id ipsum constat ex eo quod Elaphebolioni eum mensem continuum esse oporteat, circa quem sit æquinoctium vernum. At ipsum circa Munychionem est. Nam Theophrastus eodem quo supra de semente loco, quemadmodum principium sementis primæ et secundæ ab utroque solstitio esse dicit, ita et tertiæ post vernum æquino

Digitized by Google

ctium his verbis ostendit : « Principium tertii satus (inquit) quem æstivum vocant, est Munychione: quo tempore seritur cucumis, cucurbita, blitum. » Quin etiam pisces plurimos juxta æquinoctium vernum parere ait Aristoteles : et plurima ex parte tribus his mensibus, ut dictum est, Munychione, Thargelione, Scirophorione. Eo fit ut circa Munychionem sit vernum æquinoctium, et Elaphebolionem statim Munychion consequatur. Cæterum post Munychionem continuo Thargelionem esse, deinde Scirophorionem, non modo ex iis manifestum, quæ nunc ex Aristotele retulimus ; sed ex iis etiam, quæ ab ipso dicta **156** sunt de bobus, et cervis, in iisdem libris de animalibus. « Bobus (inquit) initium coitus est mense Thargelione et Scirophorione plurimis. Sed nonnullæ etiam usque ad autumnum coeundi tempus deducunt. » Et cervos præterea cornua amittere dicit mense Thargelione. Id vero mense veris secundo accidere conspicimus. Eodem porro pertinet etiam illud, quod in eo opere, quod *Μετὰ τὰ φυσικά* inscripsit, « navigationem » scribit « fieri ab æquinoctio, » et « ex Dionysiis Thargelia festa : » quod hæc certe post Dionysia. Constat enim solitum celebrari Liberó patri festum mense Munychione, circiter æquinoctium vernum. Scirophorionem vero mox esse post Thargelionem testatur Theophrastus in iisdem libris de plantis dicens : « Pinum, abietem, robur intermittere incrementum, ternaque edere germina : primum, summo vere statim, Thargelionis initio ; secundum intermissis diebus circiter triginta, vel pauxillo pluribus circa Scirophorionem desinentem ; tertium denique, interjecto fere quindecim dierum spatio, emittere, nec diutius senis aut septenis diebus Hecatombæonis. » Testimonii autem loco est illud quoque plebiscitum, quod producit Æschines in oratione adversus Ctesiphontem. Dicit enim decretum esse die Thargelionis penultimo, ut comitia haberentur ineuntis Scirophorionis secundo die vel tertio. Post Scirophorionem vero Hecatombæonem esse, cum in supradictis declarat Theophrastus, tum in iis quæ de amputatione tibialis calami memoriæ prodit. Ait enim, cædi solitum tempestive usque ad Antigenidem, cum adhuc simplici musica uterentur, sub Arcturo, mense Boedromione. Post quam vero accessit fictio, et cantus luxuries, mutatam cæsuram, cædique cœptum Scirophorione et Hecatombæone, velut paulo ante solstitium, vel sub ipso solstitio. Et Aristoteles etiam hos tres menses continenter atque ordine constituit, cum dixit : « Locustæ, inter ea quæ tenui crusta integuntur, ova, quæ post coitum conceperunt, tribus utero gerunt mensibus, Scirophorione, Hecatombæone, Metagitnione. » Insuper autem id ex aliis quoque multis certum est et exploratum. Mensem enim continuum ordinare necesse est, in quo sit solstitium æstivum, quartum quidem a Munychione, ut a vernorum mensium primo. At circa Hecatombæonem solstitium est, ut etiam Aristoteles in eadem mani-

A ἐν ᾧ σπείρεται σίκυος, κολοκύνθη, βλίτον. » Οὐ μὴν ἀλλὰ καὶ τῶν ἰχθύων τοὺς πλείστους τίκτειν περὶ ἐαρινὴν ἰσημερίαν Ἀριστοτέλης φησί· τοὺς δὲ πλείστους καὶ ἐν τρισὶ μησὶ, Μουνυχιῶνι, Θαργηλιῶνι, Σκιροφοριῶνι, ὡς εἴρηται. Οὐκοῦν περὶ Μουνυχιῶνα ἡ ἐαρινὴ ἰσημερία, καὶ ἐφεξῆς Ἐλαφηβολιῶνι Μουνυχιών. Μετὰ δὲ Μουνυχιῶνα εὐθὺς εἶναι Θαργηλιῶνα, εἶτα Σκιροφοριῶνα, ἐπίδηλον οὐκ ἐκ τῶν νῦν δὴ εἰρημένων Ἀριστοτέλους μόνον, ἀλλὰ καὶ ἐκ τῶν λεχθέντων αὐτῷ περὶ βοῶν καὶ ἐλάφων ἐν τοῖς αὐτοῖς περὶ ζώων ἱστορουμένοις. « Ἄρχονται τῆς ὀχείας, » φησὶν, « αἱ βοῦς περὶ τὸν Θαργηλιῶνα μῆνα καὶ τὸν Σκιροφοριῶνα αἱ πλεῖσται· οὐ μὴν ἀλλ' ἔνιαι καὶ μέχρι τοῦ μετοπώρου κυΐσκονται. » Καὶ τοὺς ἐλάφους δὲ ἀποβάλλειν περὶ Θαργηλιῶνα τὰ κέρατα λέγει· τοῦτο δὲ δευτέρῳ μηνὶ τῶν ἐαρινῶν συμβαῖνον ὁρῶμεν. Εἰς ταυτὸ δὲ τείνει καὶ τὸ ἐν τοῖς *Μετὰ τὰ φυσικὰ* ῥηθέν· ὅτι « ἐξ ἰσημερίας ἐγένετο ὁ πλοῦς, » καὶ « ἐκ Διονυσίων Θαργήλια· » διότι μετὰ τὰ Διονύσια. Δῆλον γὰρ, ὅτι Μουνυχιῶνος καὶ περὶ ἰσημερίαν ἐαρινὴν ἦγετο Διονύσῳ ἡ ἑορτή. Σκιροφοριῶνα δ' ἐξῆς εἶναι Θαργηλιῶνι μαρτυρεῖ καὶ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν, λέγων· « Πεύκην, καὶ ἐλάτην, καὶ δρῦν διαλείπειν περὶ τὴν αὔξησιν, καὶ τρεῖς ἀφιέναι βλαστούς· τὸν μὲν πρῶτον ἄκρου ἔαρος, εὐθὺς ἱσταμένου τοῦ Θαργηλιῶνος· τὸν δὲ δεύτερον διαλιπούσας περὶ τριάκοντα, ἢ μικρῷ πλείους ἡμέρας ἐπιβάλλεσθαι περὶ τὸν Σκιροφοριῶνα μῆνα λήγοντα· τὸν δὲ τρίτον διαλιπούσας περὶ πεντεκαίδεκα ἡμέρας, ἐπιβάλλεσθαι ἓξ ἢ ἑπτὰ ἡμέρας Ἑκατομβαιῶνος. » Μαρτύριον δὲ καὶ τὸ ψήφισμα, ὅπερ Αἰσχίνης προφέρεται ἐν τῷ *Κατὰ Κτησιφῶντος* λόγῳ. Φησὶ γὰρ γεγράφθαι Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος, ἀγορὰν ποιῆσαι τῶν φυλῶν, Σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ. Ἐπὶ δὲ Σκιροφοριῶνι Ἑκατομβαιῶνα εἶναι δηλοῖ μὲν καὶ ἐκ τῶν νῦν εἰρημένων Θεόφραστος, οὐχ ἥκιστα δὲ καὶ ἐξ ὧν ἱστορεῖ περὶ τῆς τομῆς τοῦ αὐλητικοῦ καλάμου. Λέγει γὰρ πρὸ Ἀντιγενίδου μὲν, ἡνίκα ηὔλουν ἁπλάστως, ὡραίαν τὴν τομὴν εἶναι ὑπ' Ἀρκτούρῳ Βοηδρομιῶνος μηνός· ὕστερον δὲ, ἐπειδὴ εἰς τὴν πλάσιν μετέβησαν, μετακινηθῆναι· τέμνειν γὰρ τοῦ Σκιροφοριῶνος καὶ Ἑκατομβαιῶνος· ὡσπερεὶ πρὸ τροπῶν μικρὸν, ἢ ὑπὸ τροπάς. Καὶ Ἀριστοτέλης δὲ τρεῖς ἐφεξῆς τέταχε τουτουσὶ μῆνας, εἰπών· « Τῶν δὲ μαλακοστράκων οἱ κάραβοι μετὰ τὴν ὀχείαν κυοῦσι, καὶ ἴσχουσι τὰ ὠὰ περὶ τρεῖς μῆνας, Σκιροφοριῶνα, καὶ Ἑκατομβαιῶνα, καὶ Μεταγειτνιῶνα. » Ἔτι δὲ βέβαιον καὶ ἐκ πολλῶν ἄλλων. Μῆνα γὰρ τάξαι δεῖ προσεχῆ, περὶ ὃν αἱ θεριναὶ τροπαί· τέταρτον γὰρ ἀπὸ Μουνυχιῶνος, ὃς δὴ πρῶτος ἦν τῶν ἐαρινῶν. Περὶ Ἑκατομβαιῶνα δὲ αἱ τροπαὶ αἱ θερινὰι, ὡς καὶ Ἀριστοτέλης διασαφεῖ, λέγων ἐν τοῖς αὐτοῖς περὶ ζώων· « Ἔνια δὲ τίκτει χειμῶνος καὶ θέρους· χειμῶνος μὲν λάβραξ καὶ κεστρεὺς, θέρους δὲ περὶ τὸν Ἑκατομβαιῶνα θυννίδες, περὶ τροπὰς θερινάς. » καὶ πάλιν « Ὀχεύονται θύννοι, καὶ σκόμβροι, » φησὶ, « περὶ τὸν Ἐλαφηβολιῶνα φθίνοντα· τίκτουσι δὲ περὶ τὸν Ἑκατομβαιῶνα ἀρχόμενον. » Ὁ γὰρ πρότερον περὶ

Digitized by Google

τροπὰς θερινὰς εἰπε, τοῦτ' αὐτὸ ὕστερον περὶ Ἑκατομβαιῶνα ἀρχόμενον λέγει· ὡς ἄρα περὶ Ἑκατομβαιῶνα ἀρχόμενον τῶν θερινῶν γινομένων τροπῶν· ὁμολογούμενον δὲ τούτοις καὶ τὸ περὶ τομῆς τοῦ αὐλητικοῦ καλάμου Θεοφράστῳ λεχθέν· « Τέμνουσι γὰρ δὴ νῦν, » φησί, « τοῦ Σκιροφοριῶνος καὶ Ἑκατομβαιῶνος, ὡσπερεὶ πρὸ τροπῶν μικρὸν, ἢ ὑπὸ τροπάς· » καὶ τὸ πρότερον δὴ παρατεθὲν, ὅτι τροπὰς θερινὰς, τοῦ Μεταγειτνιῶνος μηνός· εἴ γε μετὰ Ἑκατομβαιῶνα Μεταγειτνιὼν ἐφεξῆς. A festat historia. « Quædam, inquit, pariunt hieme » alia æstate: hieme, lupus, mugilis; æstate, atque adeo Hecatombæone mense, circiter solstitium, thunnæ. » Item: « Cocunt thunni et scombri, inquit, sub finem Elaphebolionis, pariuntque Hecatombæonis principio. » Quod namque circiter æstivum solstitium prius dixit, id postea dicit initio Hecatombæonis, tanquam scilicet æstivo solstitio exsistente circa ineuntem Hecatombæonem. Jam ab iis non alienum, quod de amputatione tibialis calami Theophrastus retulit: « Cædunt, inquit, hac tempestate mensibus his, Scirophorione, et Hecatombæone: paulo videlicet ante solstitium, vel sub ipso; » nec non id ipsum, quod ante ex eodem auctore de sementе citavimus, puta mense Metagitnione post æstivum solstitium, primam sementem fieri; siquidem post Hecatombæonem proxime est Metagitnion.

Ὅτι ἀρχὴ ἐνιαυτοῦ Ἀθηναίοις ὁ Ἑκατομβαιών. B *Quod principium anni Attici sit Hecatombæon.*

Ε'. Καὶ Ἀθηναῖοι δὲ τοῦ ἐνιαυτοῦ ἦρχοντο ἀπὸ Ἑκατομβαιῶνος, διὰ τὸ τὰς τροπὰς γίνεσθαι περὶ αὐτόν. Ἀπὸ γὰρ θερινῶν τροπῶν ἡ ἀρχὴ ἦν ἐκείνοις τοῦ ἔτους· ὥσπερ Ῥωμαίοις ὕστερον ἀπὸ τῶν χειμερινῶν. Ἀρχὴν μὲν οὖν εἶναι τοῦ ἔτους τὸν Ἑκατομβαιῶνα δῆλον Δημοσθένης ποιεῖ ἐν τρίτῳ τῶν *Ὀλυνθιακῶν*, λέγων· « Μετὰ δὲ ταῦτα, διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, Ἑκατομβαιών, Μεταγειτνιών, Βοηδρομιών· τούτου τοῦ μηνὸς μόγις μετὰ μυστήρια δέκα ναῦς ἀπεστείλατε. » Ἐπιδείκνυσι γὰρ τὴν Ἀθηναίων ἀμέλειαν καὶ εἰς τρεῖς ἔτι μῆνας τοῦ ἐπιόντος ἐνιαυτοῦ προσπαρατετάσθαι· ὡς δ' ἀπὸ θερινῶν τροπῶν εἶναι τὴν ἀρχὴν, Σιμπλίκιος, ἐξηγούμενος Ἀριστοτέλους τῆς *φυσικῆς ἀκροάσεως* τὸ πέμπτον, ὧδε περὶ τοῦ φύσει προτέρου καὶ ὑστέρου λέγων πιστοῦται· « Ἃς δὲ ἡμεῖς ποιούμεθα ἀρχὰς, ἐνιαυτοῦ μὲν περὶ θερινὰς τροπὰς, ὡς Ἀθηναῖοι· ἢ περὶ μετοπωρινὰς, ὡς οἱ περὶ τὴν νῦν καλουμένην Ἀσίαν· ἢ περὶ χειμερινὰς, ὡς Ῥωμαῖοι· ἢ περὶ ἐαρινὰς, ὡς Ἄραβες καὶ Δαμασκηνοί· μηνὸς δὲ, ὥς τινες, ἀρχὴν τὴν πανσέληνον λέγουσιν ἢ τὴν νέαν· ἔσονται θέσει αὗται. » Πάλιν εἰ ἀρχὴ μὲν τοῦ ἔτους ἀπὸ τροπῶν θερινῶν Ἀθηναίοις, ὡς Σιμπλίκιος λέγει· θέρους δὲ περὶ τὸν Ἑκατομβαιῶνα περὶ τροπὰς τίκτουσι θυννίδες, ὡς Ἀριστοτέλης· συμπέρασμα, ὅτι ἀρχὴ τοῦ ἔτους ὁ Ἑκατομβαιών, τροπικὸς ὢν θερινός. Ἀλλὰ μὴν καὶ ἑορτὴν Ἀθηναῖοι τότε ἦγον δημοτελῆ, καὶ ἔθυον μεγαλοπρεπῶς τῷ Ἡλίῳ, ὡς περὶ τροπὰς ὄντι· ὅθεν καὶ τοὔνομα τῷ μηνὶ Ἑκατομβαιών, Κρονίῳ πρότερον, ὡς Πλούταρχός φησι, καλουμένῳ. C D

V. Et annum quidem Athenienses ab Hecatombæone incipiebant, quod eo mense perageretur solstitium. Ab æstivo enim solstitio iis erat anni principium, quemadmodum Romanis posterius ab hiberno. Principium itaque anni esse Hecatombæonem, ex Demosthene in tertia *Olynthiacarum* compertum habemus: « Deinde vero, » inquit, « hoc anno exacto labitur Hecatombæon, Metagitnion, Boedromion. Hoc mense vix tandem post mysteria decem naves misistis. » Demonstrat enim Atheniensium socordiam in tertium usque mensem ineuntis anni protractam fuisse; nam quod ab æstivo solstitio sit anni principium, Simplicius exponens quintum physicæ auscultationis Aristotelis, ita de eo, quod est natura prius et posterius edisserens, his verbis fidem facit: « Quæ, » inquit, « facimus initia, anni quidem, vel ad æstivum solstitium, ut Attici; vel ad autumnale æquinoctium, ut terræ, quæ nunc Asia dicitur, incolæ; vel circa brumam, ut Romani; vel circa æquinoctium vernum, ut Arabes et Damasceni: mensis vero, ut quidam volunt, plenilunium aut novilunium: hæc erunt positione. » Rursum si Atheniensibus anni principium est, ut refert Simplicius, ab æstiva solis reciprocatione, et æstate circa eamdem thunnæ pariunt, mense Hecatombæone, ut vult Aristoteles: inde fit, ut Hecatombæon sit anni initium; æstivus cum sit et solstitialis. At vero ferias etiam tum agebant publicas Athenienses, et splendide sacrificabant Soli: ut qui in solstitio esset: unde et mensi Hecatombæoni **157** nomen, Cronio prius, ut Plutarchus inquit, nuncupato.

Κέκος δὲ, Πρόκλου γλευάζων, γελοίως τὰς Ἡσιόδου ἐξηγεῖται ἡμέρας, ἕτερον εἶναι μῆνα Ἑκατομβαιῶνος τὸν Κρόνιον ὑπολαμβάνων, καὶ τρίτον συντάττων ἀπὸ Ἑκατομβαιῶνος· καὶ Θαργηλιῶνα μὲν καὶ Μεταγειτνιῶνα μηδαμῶς ὀνομάζων ὑπ' ἀμαθίας, Ληναιῶνα δὲ (ὃν καὶ αὐτὸς ἴδοι Ἰανουάριον ὄντα) καταλέγων ἐν τοῖς τῶν Ἀθηναίων μησὶ, καὶ δεύτερον τιθεὶς ἀπὸ Ἑκατομβαιῶνος. Ἑκατομβαιῶνα μὲν οὖν εἶναι μετὰ Σκιροφοριῶνα εὐθὺς, καὶ περὶ Ἑκατομβαιῶνα τὰς θερινὰς εἶναι τροπὰς, φανερὸν δὴ ἐνθένδε· Μεταγειτνιῶνα δ' ἑξῆς εἶναι, εἶτα Βοηδρομιῶνα, δήλωσις μὲν καὶ τὰ Δημοσθένους ἄρτι εἰρη- Porro Cecus Proclum irridens, dies Hesiodi ridicule interpretatur, alium mensem ab Hecatombæone Cronion esse existimans, et tertium ab illo constituens: et Thargelionem quidem, ac Metagitnionem, præ imperitia, nullo modo nominans; Lenæonem vero (quem idem Januarium esse sciebat) inter Atticos menses recensens, et propinqua sede Hecatombæoni collocans. Hecatombæonem igitur esse statim a Scirophorione, et circa Hecatombæonem æstivum solstitium confici, hinc constat dilucide. Cæterum Metagitnionem esse deinceps, postea Boedromionem, declarant quidem

Digitized by Google

ea quæ nuper ex Demosthene protulimus. Metagitnionem autem esse proximum Hecatombæoni, etiam illud Theophrasti de satu antedictum suffragatur. Hiberni enim satus initium esse dicit, post æstivum solstitium, mense Metagitnione ; solstitium vero æstivum erat circa Hecatombæonem ; et illud quoque Aristotelis de locustarum graviditate. Nam post Hecatombæonem statim Metagitnionem numerat. Boedromionem autem esse post Metagitnionem, ex eo quod dixit Aristoteles de locustarum partu, colligere est. Sub arcturum enim ait locustas excludere ; tribus vero mensibus, quæ conceperunt ova, in utero ferre, Scirophorione, Hecatombæone, Metagitnione. Arcturusque circa Boedromionem oritur. Nam cervas saliri ab Arcturo, mense Boedromione refert. Et Theophrastus tempestivam esse calami cæsuram sub arcturo. Porro Suidas ille dictionarii scriptor, recte hoc quidem dixit, Metagitnionem secundum esse mensem Atheniensibus. At post Boedromionem deinceps est Mæmacterion : idque in promptu est. Nam Aristoteles eodem quo de cervis loco, hunc proximum illi ordine constituit, cum dixit : « Coitus vero fit post Arcturum, circa Boedromionem et Mæmacterionem. » Animalia quoque imbecilliora prius migrare ad temporum mutationes docet, coturnices quidem Boedromione, grues autem Mæmacterione, ut scilicet videmus grues sequente mense post coturnices ex frigidis locis ad apricos et tepidos discedere. Simul autem hinc quoque compertum est, quod operæ pretium sit statuere mensem, in quo sit autumni æquinoctium, quartum quidem ab Hecatombæone, circa quem æstivum solstitium agebatur. Mæmacterion vero est, in quo fit æquinoctium. Nam circa Arcturum æquinoctium est ; porro Mæmacterione est Arcturi ortus. Harum autem positionum partim auctor Theophrastus, florere siliquam ceroniam circa Arcturum, æquinoctiumque memoriæ prodens; et præterea Galenus medicus ita scribens in libris de salubribus : « Est maturrimum, » inquit « tempestivissimumque abietis semen circiter Arcturi ortum, quod tempus Romæ Septembrem vocant ; » partim etiam auctor est Aristoteles : « Post Arcturum, » inquit, « Boedromione, et Mæmacterione, » ut ante explicatum est. Alioquin mensium propinquitatem nequaquam significaret, qui hoc modo scribit. Id vero absurdum, quandoquidem certis anni tempestatibus ad coitus partusque animantia natura incitat, et vel toto utitur tempore, vel maxime ejusdem medio, præsertim si jam principium occuparit. Argumentum vero hujus cohærentiæ non parvum illud quoque, quod de bubus sic dictum est : « Incipiunt coire boves Thargelione et Scirophorione plurimæ. At vero etiam aliquæ tempus coeundi usque ad autumnum deducunt. » Tempus enim plurimarum contrahens ad duos illos menses Thargelionem et Scirophorionem, a nonnullarum tempore distinxit. In summa, ubi eo ordine interpretatur, nihil præcidens, definiensve, temporis

μένα· ἐπιμαρτυρεῖ δὲ καὶ τὸ Θεοφράστου περὶ ἀρο- A
τοῦ λεχθὲν πρότερον, Μεταγειτνιῶνα ἐφεξῆς εἶναι
Ἑκατομβαιῶνι. Τοῦ γὰρ χειμερινοῦ ἀρχὴν μετὰ τρο-
πὰς θερινὰς τοῦ Μεταγειτνιῶνος μηνὸς εἶναί φησιν·
αἱ δὲ θερινὰι τροπαὶ περὶ Ἑκατομβαιῶνα ἦσαν· καὶ
ἔτι τὸ Ἀριστοτέλους περὶ κυήσεως τῶν καράβων.
Μετὰ γὰρ Ἑκατομβαιῶνα Μεταγειτνιῶνα κατ-
αριθμεῖ ἐφεξῆς. Βοηδρομιῶνα δὲ ἐπὶ Μεταγειτνιῶνι
εἶναι συλλογίσασθαι δεῖ, καὶ ἐκ τοῦ ῥηθέντος Ἀριστο-
τέλει περὶ τόκου τῶν καράβων ἐστί. Πρὸ Ἀρκτούρου γάρ φησι τοὺς καράβους ἐκτίκτειν· κυοῦσι δὲ
περὶ μῆνας τρεῖς, Σκιροφοριῶνα, Ἑκατομβαιῶνα,
Μεταγειτνιῶνα· Ἀρκτοῦρός τε περὶ Βοηδρομιῶνα
ἐπιτέλλει. Ὀχεύεσθαι γὰρ τὰς ἐλάφους φησὶ μετ'
Ἀρκτοῦρον περὶ Βοηδρομιῶνα. Καὶ Θεόφραστος
ὡραίαν εἶναι τὴν τοῦ καλάμου τομὴν ὑπ' Ἀρκτούρῳ, B
Βοηδρομιῶνος. Καὶ Σουΐδας δὲ δὴ ὁ λεξικὸς ὑγιὲς
εἴρηκε τοῦτό γε, δεύτερον εἶναι Ἀθηναίοις μῆνα τὸν
Μεταγειτνιῶνα εἰπών· μετὰ δὲ Βοηδρομιῶνα ἐφ-
εξῆς Μαιμακτηριών. Δῆλον δέ· Ἀριστοτέλης γὰρ ἐν
τοῖς αὐτοῖς περὶ ἐλάφων, τοῦτον ἑξῆς τέταχεν εἰπών·
« Ἡ δ' ὀχεία γίνεται μετ' Ἀρκτοῦρον, περὶ τὸν Βοη-
δρομιῶνα καὶ Μαιμακτηριῶνα. » Καὶ τῶν ζώων δὲ
τὰ ἀσθενέστερα πρότερον ποεῖσθαι τὴν μετάστασιν
πρὸς τὰς μεταβολὰς τῶν ὡρῶν ἐπιδεικνὺς, ὀρτυγας
μὲν Βοηδρομιῶνος, γεράνους δὲ Μαιμακτηριῶνος
μεταβάλλειν φησί· καθάπερ ἀμέλει δὴ καὶ ὁρῶμεν
τὰς γεράνους τοῦ ἐπιόντος μηνὸς μετὰ τοὺς ὀρτυγας
ἀπαίρειν ἐκ τῶν ψυχρῶν τόπων εἰς τοὺς ἀλεεινούς.
Ἅμα δὲ δῆλον καὶ ἐκ τοῦ μῆνα δεῖν τάξαι, περὶ ὃν C
ἡ φθινοπωρινὴ ἰσημερία· τέταρτον γὰρ ἀπὸ Ἑκα-
τομβαιῶνος, περὶ ὃν ἡ θερινὴ ἦν τροπή. Μαιμακτη-
ριὼν δὲ, περὶ ὃν ἡ ἰσημερία. Περὶ Ἀρκτοῦρον γὰρ
ἡ ἰσημερία. Περὶ Μαιμακτηριῶνα δὲ ὁ Ἀρκτοῦρος.
Τῶν δὲ θέσεων τῇ μὲν αὐθέντης Θεόφραστος, ἀνθεῖν
ἱστορῶν τὴν κερωνίαν περὶ Ἀρκτοῦρόν τε καὶ ἰσημε-
ρίαν· καὶ προσέτι Γαληνὸς ὁ ἰατρὸς, γράφων ἐν τοῖς
περὶ ὑγιεινῶν λόγοις ὧδε· « Ἔστι μὲν ὡραιότατον
τῆς ἐλάτης τὸ σπέρμα περὶ τὴν ἐπιτολὴν τοῦ Ἀρ-
κτούρου, ὅστις καιρὸς ἐν Ῥώμῃ ὁ καλούμενος μὲν
Σεπτέμβριός ἐστι· » τῇ δ' αὐθέντης Ἀριστοτέλης·
« Μετ' Ἀρκτοῦρον » γάρ, φησὶ, « περὶ Βοηδρομιῶνα
καὶ Μαιμακτηριῶνα, » ὡς εἴρηται. Ἢ οὐ τὸ πάρεγ-
γυς ἂν σημαίνοι ὁ οὕτω φράζων. Τοῦτο δὲ ἄτοπον·
ἐπεὶ καὶ ἡ φύσις πρὸς τὰς ὥρας ποιεῖται τὰς ὀχείας D
καὶ τοὺς τόκους τῶν ζώων· καὶ ἤτοι ὅλῃ χρῆται τῇ
ὥρᾳ, ἢ τῷ μέσῳ που μάλιστα τῆς αὐτῆς, ἄλλως τε
καὶ εἰ τῇ ἀρχῇ χρησαμένη ἤδη τυγχάνοι. Σημεῖον
δ' οὐ μικρὸν τοῦ προσεχοῦς καὶ τὸ περὶ βοῶν οὕτω
ῥηθέν· « Ἄρχονται τῆς ὀχείας αἱ βοῦς περὶ τὸν Θαρ-
γηλιῶνα μῆνα καὶ τὸν Σκιροφοριῶνα. Οὐ μὴν ἀλλ'
ἕνιαι καὶ μέχρι τοῦ μετοπώρου κυΐσκονται. Τὸν γὰρ
τῶν πλείστων χρόνον ἑνώσας περὶ τοὺς δύο μῆνας
Θαργηλιῶνα καὶ Σκιροφοριῶνα, διεστείλατο πρὸς τὸν
τῶν ἑνίων. Ὅλως τε ὅπου ποτ' ἂν οὕτως ἑρμηνεύῃ
συντάξας, μηθὲν προσδιορίζων, τὸ ἑφεξῆς τοῦ χρόνου
λαμβάνει· δῆλον δὲ τὰ καθ' ἕκαστα μετιόντι. Ἀλλὰ
μὴν καὶ τῶν γαλεῶν ἀστερίαν ἄρχεσθαι μὲν ὀχεύεσθαι
μηνὸς Μαιμακτηριῶνός φησι, λῆξαι δὲ τοῦ μηνὸς ἀπο-

Digitized by Google

τίκτειν. Ταῦτα δὲ συμβαίνειν εὐθὺς ἀπὸ ἰσημερίας φθινοπωρινῆς οἱ περὶ Τάραντα ἁλιεῖς λέγουσιν. Εἰκὸς δὲ καὶ τῷ λόγῳ· τῶν γὰρ ἰχθύων ὀλίγοι τίκτουσι μετοπώρου, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ, οἷον σάλπη, σαργὸς, καὶ ὅσα ἄλλα τοιαῦτα· καὶ νάρκη, καὶ ῥίνη, μικρὸν πρὸ ἰσημερίας τῆς φθινοπωρινῆς. Εἰ δὲ ἀστερίας Μαιμακτηριῶνος τίκτει, εἰκὸς τὸν μῆνα τοῦτον μὴ εἶναι δεύτερον ἀπὸ τῆς ἰσημερίας, ἀλλὰ πρῶτον· καὶ περὶ ἰσημερίαν δὴ τίκτειν, καὶ ἀστερίαν τῶν σελαχωδῶν ὄντα, καὶ ὁμογενῆ τῇ νάρκῃ καὶ ῥίνῃ. Ἰσημερία μὲν οὖν διὰ ταῦτα περὶ Μαιμακτηριῶνα· καὶ ἑξῆς ὅδε Βοηδρομιών ἐστι. Πυανεψιὼν δὲ μετὰ Μαιμακτηριῶνα εὐθύς. Τὸ δὲ πιστὸν καὶ παρὰ Πλουτάρχου ληπτέον, λέγοντος ἐν τῷ Θησέως βίῳ ἄγειν Ἀθηναίους τὴν τῶν Ὀσχοφορίων ἑορτὴν Πυανεψιῶνος, Θησέως καταστήσαντος· φέρειν τε τοὺς ὄσχους, ὅτι συγκομιζομένης ὀπώρας ἐπανῆκε Θησεὺς μετὰ τῶν ἡβώντων ἐκ Κρήτης, Πυανεψιῶνος ὀγδόῃ ἱσταμένου. Δῆλον γὰρ, ὅτι ἀμπελικῆς ὀπώρας ἡ κομιδὴ ἦν. Ἡ δὲ ὀψιαιτέρα μετ' Ἀρκτοῦρον· ἢ εἰς τρίτον μῆνα οὐκ ἂν γένοιτο περὶ Ἀττικήν. Τρίτος δ' ἡμῖν Πυανεψιὼν ἀπὸ Βοηδρομιῶνος, καὶ μετ' Ἀρκτοῦρον. Ἀλλὰ μὴν καὶ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν ἱστορεῖ κόμαρον ἀνθεῖν Πυανεψιῶνος. Ὁρᾶται δὲ τοῦτο γινόμενον περὶ Ἀττικὴν, καὶ τὰς ὁμοίας τὴν κρᾶσιν χώρας δευτέρῳ μηνὶ ἀπ' ἰσημερίας φθινοπωρινῆς· τρίτῳ δ' ἀπανθεῖν, καὶ τὸ μεμαίκυλον ἤδη ἀδρυνόμενον ἴσχειν. Πυανεψιῶνος δὲ καὶ τὴν ἐν Αἰγύπτῳ κοκκυμηλέαν ἀνθεῖν φησι· τοῦτο δὲ περὶ δεύτερον γίνεσθαι μῆνα ἀπὸ ἰσημερίας Αἰγύπτιοι λέγουσι. Καὶ ἄλλως δὲ δόξειεν ἂν ἀμφισβητοῦντι μάλιστα τῶν ἄλλων ἁπάντων μηνῶν ὁ Πυανεψιὼν εὐθὺς εἶναι μετὰ Βοηδρομιῶνα, εἴ γε περὶ αὐτὸν ἡ κομιδὴ τῆς ὀπώρας, ὡς Πλούταρχος ἔφη. Οὐκ ἔστι δέ· Μαιμακτηριῶνα γὰρ εἶναι ἀποδέδεικται δή. Ὁ ἄρα μετ' ἐκεῖνον εὐθὺς δ' ἐστίν. Ὕστατος δὲ τῷ καταλόγῳ τῷδε ἡμῖν Ἀνθεστηριών· τῷ γὰρ ὑπολειπομένῳ τὴν λοιπὴν ἀπονεῖμαι χώραν δὴ ἀναγκαῖον. Καὶ πίστις ἱκανὴ τέως γε τοῦτο ἂν εἴη. Ἅμα δὴ δῆλον, καὶ ὅτι περὶ Ποσειδεῶνα αἱ χειμερινὰι τροπαὶ ἀκριβέστερον, ὅπερ κατ' ἀρχὰς ἀπελίπομεν τοῖς ὑστέροις. Ἑβδομος γὰρ ὅδε ἀπὸ Ἑκατομβαιῶνος καὶ τροπῶν θερινῶν. Φιλόστρατος δὲ πάμπολυ διέστηκε, φάμενος Ἀθηναίοις νόμιμον εἶναι τοὺς παῖδας τριετεῖς γενομένους στεφανοῦσθαι τῶν ἀνθέων μηνὸς Ἀνθεστηριῶνος. Δῆλος γὰρ ἐστιν ἐαρινὸν τόνδε μῆνα καταριθμῶν. Εἰ μὲν οὖν οἱ ἐπ' αὐτοῦ Ἀθηναῖοι, τὴν τῶν προγόνων περὶ τοὺς μῆνας σύνταξιν ὑπαλλάξαντες, ἄλλως ἐχρῶντο, ἀληθὲς ἀντιλέγοι· πλὴν ἡμῖν, οὐχ ὅ τι οἱ ἐπὶ Φιλοστράτου Ἀθηναῖοι ἦγον, ἐπιμελὲς εἰδέναι τε καὶ λαβεῖν, ἀλλ' ὅ τι οἱ ἐπ' Ἀριστοτέλους καὶ Θεοφράστου. Εἰ δὲ δὴ τὸ μὲν περὶ τοὺς παῖδας αὐτὸς λογοποιεῖ τε καὶ πλάττεται, ὡς καὶ ἄλλα πολλὰ, σοφιστὴς ὤν· τὸν δὲ μῆνα ἀπὸ τῶν ἀνθέων ἐτυμολογῶν ὑπείληφεν ἐαρινὸν εἶναι· οὕτω δὲ καὶ πολλῷ μᾶλλον εὐκαταφρονητότερα τὰ κατ' αὐτὸν γίνεται. Οὐδὲ γὰρ δὴ τὰ τῆς ἐτυμολογίας πιθανώτερα ἀπὸ τῆς ἕξεως τῶν ἀνθέων ἢ ἀπὸ τῆς στερήσεως φαίνοιτ' ἄν. Ὅτι γὰρ στέρεσθαι τότε ἀνθέων συμβαίνει τὴν ὥραν, Ἀνθεστη-

A seriem intelligit : id quod singula persequenti est perspicuum. Verum enimvero e mustelorum quoque genere stellarem coitum inire Mæmacterione, et bis mense partum absolvere dicit. Id autem contingere ab autumnali æquinoctio, piscatores Tarentini asseverant. Quod et rationi consentaneum, cum piscium pauci autumno pariant, ut idem auctor est Aristoteles, ut salpa, sargus, et id genus alia, et torpedo, et squatina paululum ante autumnale æquinoctium. Quod si stellaris Mæmacterione parit, consentaneum est hunc mensem non esse alterum ab æquinoctio, sed certe primum, et stellarem quoque circa æquinoctium parere, generis cum sit cartilaginei, et ejusdem, cujus testudo et squatina. Ex his itaque circa Mæmacterionem æquinoctium
B est, et continuus Boedromioni Mæmacterion. Pyanepsion autem protinus a Mæmacterione est, fidemque faciant Plutarchi verba, in *Theseo* dicentis, Athenienses Pyanepsione Ramorum diem festum agere in memoriam **153** Thesei tum e Creta cum juvenibus reducis facti; et ramos gestare, quod tum redierit, cum fructus legerentur die octavo Pyanepsionis. Constat enim fuisse vindemiæ tempus : quæ in Attica nequaquam fiat serior ab Arcturo, quam tertio mense. Tertius vero nobis est a Boedromione, et ab Arcturo Pyanepsion. Atqui etiam Theophrastus in iisdem libris de plantis, Pyanepsione arbutum florere scribit; quod in Attica conspicitur, et similis temperiei regionibus, mense
C ab autumnali æquinoctio secundo; tertio vero deflorere, et jam crescentia arbuta habere. Pyanepsione quoque in Ægypto prunum florere dicit : verum id fieri secundo mense ab æquinoctio Ægyptii asseverant. At cuiquam fortasse de his ambigenti videri possit Pyanepsion Boedromioni omnium proximus, si eo mense fiebat autumni fructuum comportatio, ut Plutarchus inquit. At non ita est, cum Mæmacterionem continuo esse demonstratum sit. Mæmacterioni igitur Pyanepsion contiguus. Ultimus nobis hac enumeratione est Anthesterion; reliquo enim sedem eam, quæ superest ascribi oportet. Et hæc quidem interim probatio sufficiat. Simul vero constat, circa Posideonem brumam esse, idque ratione exactiore,
D quod a principio rejecimus ad posteriora. Septimus namque est ab Hecatombæone æstivoque solstitio. Sed Philostratus longe in alia stetit sententia, dicens Atheniensibus morem fuisse pueros trimos floribus coronari, mense Anthesterione. Is enim, ut apparet, hunc mensem aperte inter vernos enumerat. Si igitur Philostrati æquales, Athenienses dico, mensibus aliter utebantur, ac ipsorum majores, eorum scilicet ordine turbato, verum aliquid diceret. Tametsi nobis curæ non est, cognoscere quid Philostrati tempore agerent Athenienses, sed quid Aristotelis et Theophrasti. Quid vero si hoc quoque de pueris comminiscitur, ut pleraque alia, ex iis unus, quos sophistas dixere : eumque mensem vernum esse credit, a floribus ducta nominis

Digitized by Google

ratione? Nempe sic quæ dixit fiunt contemptiora. Neque enim fide dignior videri queat notatio a florum copia, quam ab eorum inopia. Nam quod id temporis contingit floribus orbari, Anthesterionem dixerimus postremum autumnalium mensium si quo forte modo in nominibus rationem sequi oporteat.

A ριῶνα τὸν τελευταῖον τῶν φθινοπωρινῶν μῆνα ὠνομάσθαι φαίημεν ἂν ἡμεῖς· εἴ τι δέοι καὶ τοῖς ὀνόμασι κατακολουθεῖν.

Ordo et series Atticorum mensium.

VI. Series igitur Atticorum mensium a nobis hoc pacto ex supradictis causis ducenda est.

Hecatombæon,
Metagitnion,
Boedromion,
Mæmacterion,
Pyanepsion,
Anthesterion,
Posideon,
Gamelion,
Elaphebolion,
Munychion,
Thargelion,
Scirophorion.

Τὸ ἐφεξῆς τῶν Ἀττικῶν μηνῶν.

Ϛ'. Τὸ μὲν οὖν ἐφεξῆς τῶν Ἀττικῶν μηνῶν ὧδε ἡμῖν διὰ τὰς εἰρημένας αἰτίας ὑφηγείσθω·

Ἑκατομβαιών,
Μεταγειτνιών,
Βοηδρομιών,
Μαιμακτηριών,
Πυανεψιών,
Ἀνθεστηριών,
Ποσειδεών,
Γαμηλιών,
Ἐλαφηβολιών,
Μουνυχιών,
Θαργηλιών,
Σκιροφοριών.

Causa mensium ignorationis.

VII. Harum autem rerum ignorationis, quæ majorum nostrorum ingenia antehac obcæcavit, causa hæc est: quod Romani et annum emendarint, et ut aliis populis, ita Græcæ genti imperarint. Ad imperium enim externum, puritate elegantiaque sermonis amissa, Græci, ut fere fit, ad imperitantium linguam transierunt, et Latina nomina cum in aliis multis, tum in mensium propriis vocabulis permiscentes, in usum suum verterunt: acceptisque Romanorum coloniis, se etiamnum Romanos, non Hellenas vocant, et nominibus mensium Romanis tanquam suis utuntur.

Αἴτιον τῆς περὶ τοὺς μῆνας ἀγνοίας.

Ζ'. Τῆς δὲ περὶ ταῦτα ἀγνοίας τοῖς πρὸ ἡμῶν αἴτιον τὸ Ῥωμαίους ἅμα καὶ διορθῶσαι τὰ περὶ τὸν ἐνιαυτὸν, καὶ ἄρξαι, ὥσπερ τῶν ἄλλων ἐθνῶν, καὶ τοῦ Ἑλληνικοῦ. Πρὸς γὰρ τῷ ἄρχειν ἑτέρων καὶ τὸ τῆς φωνῆς δὴ καθαρὸν καὶ κομψὸν Ἕλληνες ἀπολωλεκότες, πρὸς τὴν τῶν ἀρχόντων φωνὴν, ᾗ φιλεῖ γίνεσθαι, ἐξίσταντο, καὶ τῶν Ῥωμαϊκῶν ὀνομάτων ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ταῖς τῶν μηνῶν προσηγορίαις τοῖς σφετέροις ἀναμιγνύντες ἐχρῶντο· δεξάμενοί τε ἀποικίας Ῥωμαίων, αὐτούς τε ἄχρι καὶ νῦν Ῥωμαίους ἀντὶ Ἑλλήνων καλοῦσι· καὶ ὥσπερ οἰκείαις ταῖς τῶν Ῥωμαίων ἀμφὶ τοὺς μῆνας χρῶνται ὀνομασίαις.

De mensium interpretatione.

VIII. Ut vero interpretemur ad rationem Romanorum mensium, si sumpto certo indubitatoque principio unum aliquem mensium rite designaverimus juxta Atticum morem, et eumdem etiam, ut Romani appellare consueverint: sic utique non inepte fuerit traditum, ut vertendi singuli, quove modo eorumdem nominibus quolibet anni tempore sit utendum. Nam de Romanorum ordine a nemine **159** ambigitur, primum esse Januarium, deinde Februarium, postea Martium, et ita alios deinceps, ut nominantur. Capiendus itaque e tropicis unus. Estoque, si videtur, Hecatombæon. Si igitur Atheniensibus mense Hecatombæone solstitium est, certum est circa quemcunque Romanum mensem fuerit idem solstitium, hunc esse Athenis Hecatombæonem. Dico autem juxta proportionem, ut sepium, os, spinam. Non solum enim menses, ut proportione inter se respondeant, sed cætera quoque omnia simpliciter interpretanda sunt, si quid ex interpretatione fructus ad nos speremus perventurum. Jam vero mense Junio æstivum solstitium est, ut omnibus compertum est. Ergo Junius est Hecatombæon. Cæterum ponenti-

D

Περὶ ἑρμηνείας τῶν μηνῶν.

Η'. Ἑρμηνείας δ' ἕνεκα πρὸς τοὺς τῶν Ῥωμαίων μῆνας, εἰ λάβοιμεν ἀρχὴν ὁμολογουμένην ἕνα τινὰ τῶν μηνῶν, ὀνομάσαντες ὀρθῶς, ὡς Ἀθηναῖοι ἦγον, καὶ ὡς Ῥωμαῖοι τὸν αὐτὸν προσαγορεύειν εἰώθασιν· ἔσται δὴ οὕτω καλῶς ἀποδεδομένον, ὡς ἑκάστους γε μεθερμηνευτέον, καὶ ὡς περὶ ἑκάστην δήπου τῶν ὡρῶν χρηστέον τοῖς Ἀθηναίων ὀνόμασι τούτοις. Περὶ γὰρ τάξεως τῶν Ῥωμαϊκῶν γε ἀμφισβητεῖ οὐδείς, εἰ πρῶτος Ἰανουάριος, εἶτα Φεβρουάριος, εἶτα Μάρτιος, καὶ οἱ λοιποὶ, καθάπερ καὶ λέγονται ἐφεξῆς. Εἰλήφθω δὴ οὖν τις τῶν τροπικῶν. Ἔστω δὲ, εἰ δοκεῖ, Ἑκατομβαιών. Εἰ τοίνυν περὶ Ἑκατομβαιῶνα αἱ θερινὰι τροπαὶ Ἀθηναίοις, δῆλον, ὅτι περὶ ὃν ἂν ποτε ὦσι Ῥωμαίοις τῶν οἰκείων μηνῶν αἱ αὐταὶ τροπαὶ, οὗτός ἐστιν Ἑκατομβαιών. Λέγω δὲ κατ' ἀναλογίαν, ὥσπερ σήπιον, καὶ ἄκανθαν, καὶ ὀστοῦν. Ἀνάλογον γὰρ, καὶ πάντα ἁπλῶς ἑρμηνεύειν δεῖ, μὴ ὅτι τοὺς μῆνας, εἰ μέλλοι τι ὄφελος εἶναι τῆς ἑρμηνείας. Περὶ Ἰούνιον δὲ Ῥωμαίοις ἀεὶ αἱ θερινὰι τροπαὶ, ὡς ἴσασι πάντες· ὁ ἄρα Ἰούνιός ἐστιν Ἑκατομβαιών. Θεμένοις δὲ δὴ Ἰούνιον εἶναι τὸν Ἑκατομβαιῶνα, ἔργον οὐδὲν τῶν ἄλλων ἕκαστον ἑρμηνεῦσαι. Ὁ γὰρ ἀεὶ ἐπιὼν τῶν Ἀττικῶν κατὰ τὴν ὑποτεθεῖ-

Digitized by Google

σαν σύνταξιν. τῷ ἀεὶ ἐπιόντι τῶν Ῥωμαϊκῶν ἐφαρμόττων, καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ συμφωνῶν ὑπάρξει. Ἀπορήσειε δ' ἄν τις, εἴ γε τοὺς χρόνους Ἀθηναῖοι ἦγον κατὰ τὴν σελήνης φοράν, Ῥωμαῖοι δὲ κατὰ τὴν ἡλίου λογίζονται, πῶς ἂν οἱ τῶν Ἀθηναίων ἐφαρμόζοιντο τοῖς μὲν Ῥωμαίων μησὶν, ὥστε καὶ ἀπαρτίζειν ἀεὶ, καὶ Ἰούνιον μὲν τὸν Ἑκατομβαιῶνα, Ἰούλιον δὲ τὸν Μεταγειτνιῶνα ἑρμηνεύειν ὀρθῶς· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Οὐ γὰρ ἰσοταχὴς ἡ σελήνη τῷ ἡλίῳ· οὐδ' ἅμα τελευτῶσι καὶ ἄρχονται, ὡς εἰπεῖν, περὶ τὸν τοῦ ζωδιακοῦ μερισμόν. Ἀνάγκη δὴ ἐπαμφοτερίζειν τοὺς τῶν Ἀθηναίων μῆνας. Εἰ δὲ δή ἕκαστος ἐπαμφοτερίζων ἀμφοῖν, ἐπιλήψεται τοῦ τε προτέρου, ὡς Ῥωμαῖοι ἄγουσι, καὶ τοῦ ὑστέρου μηνὸς, τί μᾶλλον ἀπὸ τοῦ προτέρου μεθερμηνευόμενος ὀνομάζοιτο ἂν καλῶς ἢ ἀπὸ τοῦ ὑστέρου; Ὃν δὴ τρόπον καὶ Γαληνὸς περὶ τοῦ τῆς ἐλάτης σπέρματος γράφων, « Ὅστις καιρὸς, φησὶν, ἐν Ῥώμῃ μὲν ὁ καλούμενος μὴν Σεπτέμβριός ἐστιν, ἐν Περγάμῳ δὲ παρ' ἡμῖν Ὑπερβερεταῖος, Ἀθήνησι δὲ Μυστήρια. » Τὰ γάρ τοι μυστήρια Βοηδρομιῶνος ἦν. Περὶ εἰκάδα γὰρ τοῦ Βοηδρομιῶνος ὁ μυστικὸς Ἴακχος ἐξήγετο, ὡς καὶ Πλούταρχος ἱστορεῖ. Ἔοικε δὲ καὶ ὁ Ῥωμαῖος Πλίνιος, παντοδαπῆς ἱστορίας συγγραφεὺς, οὕτω μεταφέρων Ἀριστοτέλους τὸ περὶ τόκου τῶν ἰχθύων, ὡς οἱ πλεῖστοι τίκτουσιν ἐν τρισὶ μησὶ, Μουνυχιῶνι, Θαργηλιῶνι, Σκιροφοριῶνι, φάναι ἐν τρισὶν, Ἀπρίλι, Μαΐῳ, Ἰουνίῳ, τίκτειν τοὺς πλείστους. Ἔτι τοῦ ἐνιαυτοῦ, ὡς μὲν Ῥωμαῖοι ἄγουσι, τριακόσιαι καὶ ἑξήκοντα καὶ πέντε ἡμέραι εἰσίν· ἀκριβολογεῖσθαι δ' εἰς τὸ παρὸν οὐ δεῖ· ὡς δὲ Ἀθηναῖοι, κατὰ μὲν Ἀριστοτέλη, τριακόσιαι καὶ ἑξήκοντα. « Ἕνιαι δὲ, φησὶ, κύουσι τῶν κυνῶν πέμπτον μέρος τοῦ ἐνιαυτοῦ, τοῦτο δέ ἐστιν ἡμέρας ἑβδομήκοντα καὶ δύο· » καθ' Ἡρόδοτον δὲ καὶ ἄλλους, τριακόσιαι πεντηκοντατέσσαρες. Ὡς τοσούτων δὴ γινομένων, εἰ τῶν μηνῶν οἱ μὲν πλήρεις τε καὶ τριακονθήμεροι, οἱ δὲ κοῖλοί τε καὶ μιᾷ τῶν ἑτέρων ἡμέρᾳ λειπόμενοι ἐναλλὰξ εἶεν παρ' ἕνα, ὁποτέρως δ' ἂν ἔχῃ. τὸ ἐπιὸν δὴ ἔτος ἀεὶ προτερήσει, καὶ ἐκ προσαγωγῆς εἰς ἐναντίας ὥρας ἐκπεσοῦνται οἱ μῆνες ὑποφερόμενοι. Πάλιν εἰ τὸ Ἴλιον ἅλω τελευτῶντος τοῦ ἔαρος, ὀγδόῃ φθίνοντος Θαργηλιῶνος μηνὸς, ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς, ὡς ὁ Ἁλικαρνασσεὺς Διονύσιος ἀρχαιολογῶν τὰ Ῥωμαϊκά φησι· πῶς τροπικὸς θερινὸς ὁ Ἑκατομβαιών; Ὅδε γὰρ ὁ λόγος ἀποφαίνει Σκιροφοριῶνα εἶναι τροπικὸν θερινόν. Ἀνομόλογον δὲ καὶ τὸ Θεοφράστου, ὅτι ἄκρου ἔαρος εὐθὺς, ἱσταμένου τοῦ Θαργηλιῶνος. Εἰ γὰρ ἄκρου ἔαρος ὁ Θαργηλιών, οὐκ ἂν τροπικὸς ὁ Ἑκατομβαιὼν εἴη· πολὺ δ' ἧττον ὁ Μουνυχιὼν ἐαρινός τε καὶ ἰσημερινός. Ἔοικε δ' ἀπεμφαῖνον καὶ τὸ τοῦ Πλουτάρχου· « Συγκομιζομένης ὁπώρας Πυανεψιῶνος ὀγδόῃ ἱσταμένου. » Δοκεῖ γὰρ ὁ Πυανεψιὼν μᾶλλον εἶναι ἰσημερινὸς φθινοπωρινὸς ἢ ὁ Μαιμακτηριὼν, εἴ γε ἀμπελικῆς ὁπώρας ἡ κομιδὴ ἦν.

bus Junium esse Hecatombæonem, jam nullus est labor reliquos interpretandi. Semper enim sequenti Attico juxta suppositum ordinem cum subinde sequenti Romano conveniet, et eadem ad anni partes erit consonantia. Sed forte quis dubitaverit, cum Athenienses ad lunæ, ad solis vero cursum Romani calculum temporum subducerent: qua ratione fieri possit, ut utriusque gentis menses alteri cum alteris sic competant, ut invicem dierum summa semper quadrans sit, et nihil in alterutris excurrat: utque Hecatombæon recte transferatur Junius, et Metagitnion Julius, ita quoque de aliis. Neque enim soli eadem, quæ lunæ, est celeritas: neque una desinunt incipiuntve ad significri, quod prope dixerim, partitionem. Ergo necesse est Atticos menses variare, et ambiguo plerumque esse inter priorem Latinum, et posteriorem loco. Quod si ambiguus quisque amborum fiat particeps, cur potius a priore vertendo, quam a posteriore nominetur? Quo sane modo Galenus fecit, de abietis semine: « Quod tempus, » inquit, « Romæ est September, Pergami apud nos mensis Hyperberetæus, Athenis vero Mysteria. » Ea namque erant Boedromione. Nam circa Boedromionis vicesimum diem mysticus Bacchus ab urbe transferebatur; ut etiam Plutarchus scribit. Videtur quoque Plinius omnifariæ scriptor historiæ, sic interpretari illud Aristotelis de piscium partu, nimirum pisces plurima sui parte tribus his mensibus fetificare, Munychione, Thargelione, Scirophorione, ut dicat his tribus, Aprili, Maio, Junio. Insuper trecenti sexaginta quinque dies sunt anni Romani; subtilius enim in præsens supputare minime oportet. Atheniensis vero anni, ex Aristotelis quidem sententia, trecenti sexaginta sunt: « Pars, » inquit, « canum fert ventrem quintam partem anni, id est dies duos et septuaginta; » at secundum Herodotum aliosque, trecenti quatuor et quinquaginta. Tot igitur cum sint, si menses alii pleni et tricenarii; alii mutili, cavi, et uno die cæteris impares in numero alternant, quocunque modo res se habeat, sequens annus semper prævertet, et paulatim ex accessione in contrarias tempestates menses incident, loco diebusque statis emoti. Item si Ilium captum est abeunte vere, octavo die, sub finem Thargelionis, septemdecim diebus ante æstivum solstitium, ut Dionysius Halicarnasseus ait, res priscas Romanorum historiæ mandans: quo pacto Hecatombæon solstitialis æstivus sit? Nempe hic sermo ostendit, Scirophorione esse solstitium. Dissentaneum etiam est illud Theophrasti, cum dicit summo, ineunteque vere, Thargelionis principio. Si enim est summum ver Thargelion, nequaquam esse queat solstitialis Hecatombæon, et multo minus vernus et æquinoctialis Munychion. Illud quoque Plutarchi dissentire videtur, dicentis: « Dum fructus leguntur, et vindemia comportatur, octavo die Pyanepsionis incipientis. » His enim verbis videtur Pyanepsion in se continere autumni æquinoctium potius, quam Mæmacterion, siquidem erat vindemiæ collectio.

Digitized by Google

Solvendi igitur sunt hi dubiorum nodi, ut rite fiat hæc nostra commentatio, et majorem fidem dicta nostra accipiant. Quocirca vetustissimos illos homines nulla ratione, nulloque ordine mensibus usos, atque aliter alios annum ipsum partitos esse, cum ab aliis, tum vel maxime a Plutarcho, viro undecunque doctissimo, licet intelligere. Nam barbarorum nonnulli trimestrem annum habebant, et ex Græcis Arcades quadrimestrem; Acarnanes semestrem. Ægyptiis autem menstruus erat annus, deinde quadrimestris, ut aiunt. Idcirco antiquissimi videntur immensam annorum multitudinem sibi annumerantes; ut qui certe annum mense definirent. Romani vero prius decem mensium annum agebant, et menses alios neque vicenum dierum, alios tricenum quinum, alios etiam plurium: illudque solum considerabant, ut trecentorum et sexaginta dierum suus esset annus, nec quæ esset solis et lunæ inæqualitas quidquam pensi habebant. Sed postea **160** rex Numa Pompilius duos menses adjecisse fertur, et discrimen hujus inæqualitatis undecim dierum esse reputans: utpote anno lunari trecentos quinquaginta quatuor dies, solari autem trecentos sexaginta quinque habente; undecim hos dies duplicatos alternis annis intercalatione facta (quæ duorum et viginti dierum esset) in Februarium induxisse: verique simile est, hæc illum ex imitatione quadam Græcorum fecisse. Primum enim Solonem aiunt Athenis hanc mensium vagam et adhuc incertam inconstantiam deprehendisse: et diem quo luna solem assequitur et transmittit, ἕνην καὶ νέαν, id est, antiquam et novam lunam, sive extremam et primam, hoc est, interlunium vocari instituisse: et sequentem νουμηνίαν id est, novilunium, sive Kalendas appellavisse, mensemque triginta dierum constituisse: et in genere annum ipsum in concinniorem ordinem digessisse. Intercalaris vero mensis usum antiquitus fuisse Græcis, declarat Herodotus: « Græci, » inquit, « tertio quoque anno intercalationem interserunt, temporum gratia: Ægyptii vero tricenis diebus, quibus duodecim menses anni taxant, auctario facto ad eum numerum, dies quinque quotannis superaddunt: et iis ratio circuli temporum constat eodem redeuntis. » Quod si Numa quidem intercalationem duorum et viginti dierum ordinavit; Herodotus vero triginta dierum recenset, nihil hoc ad disceptationem præsentem. Verum ex his datur illud intelligi, Athenienses mense intercalario utentes anni sui defectum supplevisse, ut temporum ratio facilius solis itineri congrueret.

Λῦσαι δὴ δεῖ τὰ ἀπορούμενα ταῦτα, ἵν' ἥ τε σκέψις γίνηται κατὰ τρόπον, καὶ τὸ πιστὸν μᾶλλον ἔχῃ τὰ εἰρημένα. Τοὺς μὲν οὖν πάνυ ἀρχαίους ἀλογίστως τε καὶ ἀτάκτως κεχρῆσθαι τοῖς μησὶ, καὶ ἄλλοις ἄλλως τὸν ἐνιαυτὸν ὡρικέναι, παρά τε ἄλλων καὶ Πλουτάρχου ἀνδρὸς πολυμαθεστάτου πυθέσθαι ἔστιν. Ἔνιοι γοῦν τῶν βαρβάρων τρισὶν ἐχρῶντο μησὶν εἰς τὸν ἐνιαυτόν· καὶ τῶν Ἑλλήνων Ἀρκάδες μὲν τέτταρσιν, Ἀκαρνᾶνες δὲ ἕξ. Αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτὸς, εἶτα τετράμηνος, ὥς φασι. Διὸ καὶ ἀρχαιότατοι εἶναι δοκοῦσι, πλῆθος ἐτῶν καταριθμοῦντες σφίσιν ἀμήχανον, ἅτε δὴ τοὺς μῆνας τιθέμενοι εἰς ἐτῶν ἀριθμόν. Καὶ Ῥωμαῖοι δὲ πρότερον δεκάμηνον ἦγον τὸν ἐνιαυτὸν, καὶ τῶν μηνῶν τοὺς μὲν οὐδὲ εἴκοσιν ἡμερῶν, τοὺς δὲ πέντε καὶ τριάκοντα, τοὺς δὲ καὶ πλειόνων· ἐκεῖνό τε μόνον ἐσκόπουν, ὅπως ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται· ἔννοιαν δὲ τῆς γινομένης περὶ τὴν σελήνην καὶ τὸν ἥλιον ἀνωμαλίας οὐκ εἶχον. Ὕστερον δὲ Νομᾶς Πομπίλιος βασιλεύων λέγεται δύο τε προσθεῖναι μῆνας, καὶ τὸ παράλλαγμα τῆς ἀνωμαλίας ἡμερῶν ἕνδεκα γίνεσθαι λογιζόμενος· ὡς τοῦ μὲν σεληνιακοῦ ἔτους τριακοσίας πεντηκοντατέσσαρας ἔχοντος ἡμέρας, τοῦ δὲ ἡλιακοῦ τριακοσίας ἑξηκονταπέντε· τὰς ἕνδεκα ταύτας διπλασιάσας, ἐπαγαγεῖν παρ' ἐνιαυτὸν ἐπὶ τῷ Φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον, εἴκοσι καὶ δυοῖν ἡμερῶν ὄντα. Εἰκὸς δ' ἐκεῖνον ταῦτα πρὸς ὁμοίαν τινὰ Ἀθηναίων χρῆσιν πεποιηκέναι. Σόλωνα γὰρ πρῶτον Ἀθήνησι τὴν περὶ τοὺς μῆνας ἀνωμαλίαν συνιδεῖν φασι· καὶ τὴν μὲν ἡμέραν, καθ' ἣν ἡ σελήνη καταλαμβάνει τε καὶ παρέρχεται τὸν ἥλιον, τάξαι ἕνην καὶ νέαν καλεῖσθαι· τὴν δ' ἐφεξῆς νουμηνίαν προσαγορεῦσαι· ἄχρι τε τριακάδος τὸν μῆνα ἠριθμηκέναι· καὶ ὅλως ἐπὶ τὸ βέλτιον διαθέσθαι τὰ περὶ τὸν ἐνιαυτόν. Χρῆσιν δ' ἐμβολίμου μηνὸς καὶ Ἕλλησιν ἀνέκαθεν εἶναι δηλοῖ καὶ Ἡρόδοτος, λέγων· « Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν· Αἰγύπτιοι δὲ, τριακονθημέρους ἄγοντες τοὺς δώδεκα μῆνας, ἐπάγουσιν ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας παρὲξ τοῦ ἀριθμοῦ· καί σφιν ὁ κύκλος τῶν ὡρέων εἰς ταυτὸ περιιὼν παραγίνεται. » Εἰ δὲ Νομᾶς μὲν εἴκοσι καὶ δυοῖν ἡμερῶν τὸν ἐμβόλιμον ἔταξεν, Ἡρόδοτος δὲ τριακονθήμερον καταριθμεῖ· οὐθὲν τουτὶ πρὸς τὸν νῦν λόγον. Ἀλλ' ἐκεῖνο δῆλον κἀκ τούτων, ὡς Ἀθηναῖοι χρώμενοι ἐμβολίμῳ προσανεπλήρουν τὸ ἔλλειπον πρὸς τὴν ὅλην περίοδον τοῦ ἡλίου τῶν ὡρῶν ἕνεκα.

De anno.

IX. Bifariam ergo annum considerabant, ut qui partim a sole trecentis sexaginta diebus definiretur, propter sectionem obliqui signiferi in totidem gradus. Et hujus certe quintam partem Aristoteles dicit esse duos et septuaginta dies: partim a luna diebus quatuor et quinquaginta supra trecentos. Eadem etiam ratione mensibus partim ad solem, partim ad lunam deductis, aliisque annis dies triginta adjiciebant; aliis quinque: et si quid am-

Περὶ ἐνιαυτοῦ.

Θ'. Διχῶς οὖν ἐθεώρουν τὸν ἐνιαυτὸν, οἷον τὸν μὲν ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις ὁριζόμενον τῷ ἡλίῳ, διὰ τὴν εἰς τοσαύτας μοίρας κατατομὴν τοῦ λοξοῦ· καὶ τούτου δὴ μέρος πέμπτον Ἀριστοτέλης εἶναί φησιν ἡμέρας ἑβδομήκοντα καὶ δύο· τὸν δὲ τέτταρσι καὶ πεντήκοντα καὶ τριακοσίαις τῇ σελήνῃ. Ἀνάλογον δὲ καὶ τοὺς μῆνας ἦγον, τοὺς μὲν κατὰ τὸν ἥλιον, τοὺς δὲ κατὰ τὴν σελήνην· ἐπέβαλλόν τε τοῖς μὲν τριάκοντα ἡμέρας, τοῖς δὲ πέντε, καὶ εἴ του

Digitized by Google

πλείονος δέοι διὰ τετάρτου ἐνιαυτοῦ. Τὰ δ' ἄρα βοή- A
θεια ἦν, διατείνουσα μὲν οὐ πόρρω, ἱκανὴ μέντοι εἰς
τὸ αὐτὸ ἀντικαθιστάναι, καὶ εἴργειν ἐν τοῖς αὐτοῖς
που ὅροις τοὺς μῆνας· ἰαμά τε τῆς ἀνωμαλίας ἐτύγ-
χανεν ὄν, ὡς καὶ Πλούταρχος λέγει, μειζόνων ἰαμά-
των δεήσεσθαι μέλλον. Καῖσαρ οὖν ὁ πρῶτος μονορ-
χήσας Ῥωμαίων, τοῖς ἀρίστοις τῶν μαθηματικῶν
πρόβλημα περὶ τούτου προθεὶς, ἐκ τῶν ὑποκειμένων
ἤδη μεθόδων ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον
ἐπανόρθωσιν ἔμιξε. Δοκοῦσι δ' Αἰγύπτιοι πρῶτοι
μησὶ χρήσασθαι καθ' ἥλιον τριακονθημέροις δώδεκα,
καὶ πέντε ἡμέρας ἐπαγαγεῖν κατ' ἐνιαυτὸν ἕκαστον·
τό τε ἐπιτρέχον μόριον τῆς ἡμέρας εἰς ἐκπλήρωσιν
τοῦ ὅλου ἐνιαυτοῦ ἐκ περιόδων πλειόνων ἐτῶν ἀπο-
λαβόντες, συνθέσθαι μίαν ἡμέραν. Ἕλληνες δὲ παρ' B
ἐκείνων ἄλλα τε πλείω τῶν οὐρανίων θεωρημάτων,
καὶ ταῦτα παρέλαβον, τὰ μὲν μεθερμηνευθέντων εἰς
τὸ Ἑλληνικὸν τῶν ὑπομνημάτων, τὰ δὲ καὶ συνδια-
τρίψαντες τοῖς ἐκεῖ ἱερεῦσι, περιττοῖς οὖσι τὴν τῶν
οὐρανίων ἐπιστήμην. Πλάτωνα γοῦν φασί τινες καὶ
Εὔδοξον, ἀποδημήσαντας εἰς Αἴγυπτον, ὁμιλῆσαι τοῖς
ἱερεῦσι τρισκαίδεκα ἔτη. Μυστικοὺς γὰρ ὄντας καὶ
δυσμεταδότους, ἕδει τῷ χρόνῳ καὶ ταῖς θεραπείαις
ἐλλιπαρῆσαι, ὥστε τινὰ τῶν θεωρημάτων ἱστορῆσαι.
Ταῦτα μὲν οὕτω διαιρεῖν ἴσως οὐ χεῖρον· τό τε δι-
ηπορημένον φανεὶς ὁ ἐμβόλιμος λύει. Καὶ εἴ τι διὰ
πλείονος ἔτι χρόνου παραλλάττει, εἰκὸς καὶ τοὺς πά-
λαι συνορῶντας καὶ τοῦτο δήπου ἐπανορθοῦσθαι, ὁτὲ
μὲν μακρότερον, ὁτὲ δὲ βραχύτερον τὸν ἐμβόλιμον
ποιουμένους. Τὸ δ' ἀκριβέστατον, καὶ μηδὲ παρ' ὀλί- C
γον τι πλημμελεῖν, οὐκ ἐπιζητεῖν δεῖ· ὁπότε καὶ νῦν,
ἐπίδοσιν τῆς ἀστρολογίας τοσαύτην λαβούσης, ὅμως
ἡ τῆς κινήσεως ἀνωμαλία διαφεύγει τὸν λόγον, περι-
γινομένη τῆς τῶν μαθηματικῶν ἐμπειρίας. Τὰς μέν-
τοι τῶν μηνῶν περιόδους ὁμολογεῖν ταῖς ὥραις ἀεὶ
ποιεῖ ὁ ἐμβόλιμος τῷ τρίτῳ ἀεὶ ἐπαγόμενος τῶν
ἐτῶν. Τὸ δὲ πρὶν ἐμβολάσαι, καὶ περὶ τὸ ἐμβολάζον
αὐτὸ ἔτος ὑπενεχθέν τε καὶ ἐπαλλάξαν τῶν μηνῶν,
ἔτι δεῖται λόγου, πῶς ἂν ἑρμηνευόμενον τυγχάνοι
τοῦ ἱκανοῦ. Δῆλον γὰρ, ὅτι τὸ ἐμβολάζον συχνὰ παρ'
ἕνα που ἕξει τοὺς μῆνας ἀνομολόγους ταῖς ὥραις.
Διὸ καὶ Θεόφραστος, « Ἔαρος εὐθὺς ἱσταμένου τοῦ
Θαργηλιῶνος, » φησὶν, ὡς τοῦ Μουνυχιῶνος χειμερι-
νοῦ δὴ γενομένου· τοῦ δ' ἐμβολίμου θερινοῦ τροπι-
κοῦ, ἢ καὶ περιστήσαντος τὴν τροπὴν εἰς ἱστάμενόν D
που τὸν Ἑκατομβαιῶνα· τοῦτο μὲν οὖν μὴ συμβαί-
νειν οὐχ οἷόν τέ ἐστι. Διὰ γὰρ τοῦτο καὶ ὁ ἐμβόλιμος
ἐπάγεται, ἀναπληρῶν τὸ ἐνδεὲς, καὶ εἰς Ἑκατομ-
βαιῶνα τὰς τροπὰς ἀποκαθιστάς. Τὴν δ' ἑρμηνείαν
ποιητέον ἐπὶ τῶν οὕτω χρονολογούντων, στοιχεῖῳ
χρωμένους τῷ παρόντι ἀεὶ τροπικῷ μηνὶ καὶ τῷ ἑξῆς
τῶν μηνῶν κατὰ τὰ ὑποτεθέντα. Οἷον ἐπειδὴ Θεό-
φραστος, « Ἄκρου ἔαρος, εὐθὺς ἱσταμένου τοῦ Θαρ-
γηλιῶνος, » φησὶ, μεθερμηνευτέον Μαρτίου, καὶ μὴ
Ἀπρίλιος. Πάλιν ἐπειδὴ Θουκυδίδης Ἐλαφηβολιῶνα
τελευταῖον μῆνα τῶν χειμερινῶν εἶναί φησι, τοῦτον
μὲν Φεβρουάριον ἑρμηνευτέον· τὸν δ' ἐπιόντα Μου-
νυχιῶνα θετέον ἔαρος εἶναι ἀρχὴν, καὶ Μάρτιον μετα-
φραστέον Λατίνοις. Ὥστε δὴ καὶ συμβαίνει δύο

plius opus erat, quarto quoque anno. Hæcque erant subsidia, quæ non latius quidem paterent, sufficientia tamen restituere menses sibi, et iisdem fere finibus eos coercere; eaque inæqualitatis curatio, ut majoribus olim remediis indigeret, futurum erat, quemadmodum refert Plutarchus. Cæsar itaque, is qui primus imperium invasit et ad cujus unius arbitrium res Romana devoluta est, quæstione hac de re optimis mathematicis proposita, ex substratis jam viis rationibusque, propriam quamdam et accuratiore cura excogitatam emendationem confecit. Primi autem omnium Ægyptii ad solem duodecim mensibus usi videntur, et iis quidem tricenariis, et quinque dies quotannis adjecisse, particulamque diei excurrentem ad supplementum totius anni, ex multis annorum circuitibus acervatam, in unum diem integrum conjecisse. Græci vero ab illis, cum alia permulta rerum cœlestium; tum hæc præcipue mutuo acceperunt; partim traductis in linguam Græcam commentariis; partim cum eorum sacerdotibus versati, egregie divinarum cœlestiumque scientiarum peritis. Ferunt itaque Platonem, et Eudoxum peregre in Ægyptum profectos, annis tredecim apud Ægyptios sacerdotes mansisse; tanta enim consuetudine, tamque diutino obsequio erant exorandi, et quasi eblandiendi, ut qui rerum arcanarum tenaces, avarique elargitores essent disciplinarum suarum; quo aliquid cœlestium contemplationum impertirent. Hæc vero ita distinguere, ut opinor, non improbabile est: tum quod inest dubii, quæ postea emersit intercalatio solvit. Atque etiam si quid longiore temporis intervallo adhuc evariaret, credibile est vel antiquos ipsos perspicientes, id quoque quodammodo correxisse; modo longiorem, modo breviorem intercalationem facientes. Neque vero exactam in his diligentiam, et ab omni errore vel levissimo tutam exigere oportet, quandoquidem hoc quoque sæculo, quo astrologia tantum incrementi præstantiæque adepta est, tamen motus disparilitas mathematicorum rationes fugit: quippe quæ superior sit eorum peritia. Sed tamen mensium cursus, ut cum anni temporibus semper congruant, facit post tertium quemque annum introducta intercalatio. Cæterum confusio illa, et mensium inconstantia vaga (quæ fuit prius inventa intercalatione, atque etiam post inventam) adhuc explicatione indiget, quonam pacto transferri commode possit. Constat enim ipsam intercalationem alternos fere menses cum temporibus anni non competentes sæpe habituram. Ex quo etiam Theophrastus inquit, « vere statim Thargelionis initio: » quasi Munychioni hibernus fuerit: intercalaris vero æstivus tropicus, vel certe in instantem **161** Hecatombæonem solstitium circumagens: quod interdum non contingere non potest. Nam propterea intercalatio inducta est, ut defectum dierum suppleat, et in Hecatombæonem solstitia restituat. Porro in his qui sic indicem temporum notationem

Digitized by Google

scribunt, interpretatio hoc pacto facienda est, ut præsenti semper tropico pro fundamento utamur, et mensium serie illa quam supra posuimus. Verbi gratia : quando Theophrastus « summo vere, statim instante Thargelione » : dicit, mense Martio, et non Aprili, interpretandum est. Rursum quando Thucydides Elaphebolionem esse dicit ultimum hiemalium mensium, hunc quidem Februarium oportet interpretari; secundum quem veris initium Munychion constituendus, et Latinis Martius est transferendus. Ex quo sane contingit duos esse vernos æquinoctiales, Munychionem et Thargelionem; et duos autumnales, Boedromionem et Mæmacterionem : similiterque solstitiales duos æstivos, Hecatombæonem et intercalarem; brumalesque, Posideonem et Gamelionem. Quam ob rem Aristoteles inquit : « Gallina quidem parit omnibus anni temporibus, exceptis duobus mensibus in hieme tropicis. » Et in *Meteorologicis* scribit crinitam stellam ad Ursam apparuisse mense Gamelione, sole circa brumam exsistente. Atque etiam Anthesterionis postremam partem aliquando solstitium hibernum potest attingere. Sed quos tropicos hiemales nominant, sunt hi quidem duo ante explicati. Sumendum est tamen simpliciter, Hecatombæonem esse æstatis principium, et solstitialem æstivum, et reliquos simili deinceps ratione. De rebus enim contingentibus nulla ratio ineunda est, sed de spectatis et solitis. Nam in *Physicis* dictum est, quemque oportere dicere id esse, quod natura esse expetit et est; non quod vi et præter naturam.

A ἰσημερινοὺς εἶναι ἐαρινούς, Μουνυχιῶνά τε καὶ Θαργηλιῶνα· καὶ φθινοπωρινοὺς δύο Μαιμακτηριῶνα καὶ Βοηδρομιῶνα· ὡς δ' αὕτως καὶ τροπικοὺς δύο θερινούς, Ἑκατομβαιῶνα καὶ τὸν ἐμβόλιμον· καὶ χειμερινούς, Ποσειδεῶνα καὶ Γαμηλιῶνα. Διόπερ Ἀριστοτέλης, « Ἡ ἀλεκτορὶς, » φησὶ, « τίκτει ὅλον τὸν ἐνιαυτὸν, ἔξω δύο μηνῶν τῶν ἐν τῷ χειμῶνι τροπικῶν· » καὶ τὸ ἐν τοῖς *Μετεωρολογικοῖς* ὅτε ἐγένετο κομήτης ἀστὴρ πρὸς Ἄρκτον, μηνὸς Γαμηλιῶνος, περὶ τροπὰς ὄντος τοῦ ἡλίου χειμερινάς. Καὶ Ἀνθεστηριῶνος δὲ ἅψαιτ' ἂν ποτε ἡ τροπὴ λήγοντος. Ἀλλ' οἵ γε ὀνομαζόμενοι τροπικοὶ χειμερινοὶ δύο οἱ εἰρημένοι εἰσίν. Ἁπλῶς μέντοι θέρους ἀρχὴν ὑπολητπτέον εἶναι τὸν Ἑκατομβαιῶνα, καὶ τροπικὸν θερινόν· ἀνάλογον δὲ καὶ τοὺς ἄλλους. Δεῖ γὰρ μὴ B τὸ συμβαῖνον, ἀλλὰ τὸ σκοπούμενον λαμβάνειν τῷ λόγῳ. Εἴρηται γοῦν καὶ ἐν τοῖς *Φυσικοῖς* τῶν λόγων, ὡς δεῖ ἕκαστον λέγειν τοῦτο εἶναι, ὃ φύσει βούλεται εἶναι, καὶ ὃ ὑπάρχει· ἀλλὰ μὴ ὃ βίᾳ καὶ παρὰ φύσιν.

Dionysius vero ab Ephoro mutuatus, dicit Thargelione expugnatum Ilium. Quin et Plutarchus in Furii Camilli vita, Ephorum hæc scripsisse refert; nec vero « septemdecim diebus ante æstivum solstitium » C dicit : et tamen Thargelione etiam ille dicit. Si Ephorus igitur, cum apud se non esset, alioqui dicturus Scirophorione, scripsit Thargelione; quemadmodum item in aliis pro Iberia non pœnitenda regione Europæ, civitatem quamdam Iberiam esse dicit; boni consulat, quod non reprehendatur qui sui reprehendendi ansam dederit, eamque amplissimam. Quod si forte nescio quis ineptus scriptor mendose scripserit, « Thargelione, » pro « Scirophorione, » ut fere fit in aliis, et præsertim in iis quæ quæstus gratia scribuntur a bibliopolis (nam qui hujusmodi operas conducunt, imperitis, oblatitiisque et trivialibus scriptoribus utuntur); sic insons quidem fuerit Ephorus : et jure culpandi, qui exemplaria non emendarint, sed inconsiderate dixerint, « Thargelione septemdecim diebus ante æstivum solstitium. » Sed idem etiam dicit, dies (qui annum illum explerent) superabundantes fuisse post solstitium numero viginti : quod prorsus incompositum et pugnans, si pro instituta Atheniensium ratione sermonem facit. Nam si supererant viginti post solstitium, certum est solstitium fuisse abeunte anno, Thargelionis ultimo die, ut ille quidem vult : ut nos vero, Scirophorionis. Impræsentia autem nihil intersit. Sed esto ex ejus sententia Thargelionis; profecto sequente anno solstitium erit novilunio Scirophorionis : quod erat ipsi nono die incipientis. Nam si octavo sub finem die Thargelionis captum est Ilium, septemdecim diebus æstivo prius solstitio;

Διονύσιος δὲ παρ' Ἐφόρου εἰλῆφὼς λέγει, Θαργηλιῶνος ἁλῶναι τὸ Ἴλιον. Πλούταρχος γοῦν ἐν τῷ Φουρίου Καμίλλου βίῳ Ἔφορον ἀναγεγραφέναι τοῦτό φησιν· οὐ μὴν δὲ καὶ « πρότερον ἑπταικαίδεκα ἡμέραις τῆς θερινῆς τροπῆς » λέγει· ἀλλ' οὖν Θαργηλιῶνος κἀκεῖνός φησιν. Εἰ μὲν οὖν Ἔφορος, Σκιροφοριῶνος φάναι βουλόμενος, εἶπε (μὴ ἐντὸς ὢν αὐτοῦ) Θαργηλιῶνος, ὥσπερ ἐν ἄλλοις αὖ ἀντὶ Ἰβηρίας τῆς κατὰ τὴν Εὐρώπην μεγίστης χώρας, πόλιν εἶναί τινα τὴν Ἰβηρίαν φησίν· ἀγαπάτω μηδὲν ἐπιτιμώμενος, σκῆψιν ἐπιτιμήσεως καὶ ταῦτ' οὐ μικρὰν δεδωκώς· εἰ δ' ἄρα τις τῶν φαύλων γραφεὺς διήμαρτεν, ἀντὶ « Σκιροφοριῶνος »—« Θαργηλιῶνος » μεταβαλών, καθάπερ καὶ ἐπ' ἄλλων συμβαίνει, καὶ μάλιστα ἐπὶ τῶν εἰς πρᾶσιν γραφομένων τοῖς βιβλιοπώλαις (χρῶνται γὰρ φαύλοις καὶ τοῖς τυχοῦσι γραφεῦσιν)· Ἔφορος μὲν ἀναίτιος ὡς ἂν εἴη· αἰτιάσαιτο δ' ἄν τις τοὺς μὴ ἐπανορθωσαμένους τὴν γραφὴν, ἀλλ' ἀνεπισκέπτως D εἰρηκότας, « Θαργηλιῶνος ἑπταικαίδεκα ἡμέραις πρὸ τῆς θερινῆς τροπῆς. » Φησὶ δὲ, καὶ ὡς αἱ τὸν ἐνιαυτὸν ἐκεῖνον ἐκπληροῦσαι περιτταὶ ἡμέραι, εἴκοσι τὸν ἀριθμὸν ἦσαν μετὰ τὰς θερινὰς τροπάς· τὸ δ' ἀσύντακτον παντελῶς καὶ μαχόμενον, εἰ ὡς Ἀθηναῖοι ἦγον ποιεῖται τὸν λόγον. Εἰ γὰρ περιτταὶ εἴκοσι μετὰ τὰς τροπὰς, δῆλον, ὅτι ἡ τροπὴ ἦν τῷ οἰχομένῳ ἔτει, ἔνῃ καὶ νέᾳ Θαργηλιῶνος μὲν, ὡς ἐκεῖνος λέγει, Σκιροφοριῶνος δὲ, ὡς ἡμεῖς. Διαφερέτω δὲ μηθὲν πρός γε τὸ νῦν. Ἀλλ' ἔστω Θαργηλιῶνος αὐτῷ· οὐκοῦν τῷ ἐπιόντι ἐνιαυτῷ ἡ τροπὴ ἔσται, Σκιροφοριῶνος νουμηνίᾳ. Ἦν δ' αὐτῷ ἐνάτῃ ἱσταμένου. Εἰ γὰρ ὀγδόῃ φθίνοντος τοῦ Θαργηλιῶνος ἑάλω τὸ Ἴλιον, ἑπταικαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς, δῆλον, ὅτι ἐνάτῃ ἱσταμένου τοῦ ἐπιόντος μηνὸς ἦν ἡ τροπὴ

Digitized by Google

ἑνάτῃ ἱσταμένου, τρεῖς εἶναι τὰς περιττὰς ἀναγκαῖον. Φανερὰ δὲ μᾶλλον ταῦθ' ὕστερον ἔσται, ἐπειδὰν περὶ χρήσεως ἐμβολίμου μηνὸς λέγωμεν. Εἶτ' οὖν Ἐφόρου ἁμάρτημα τοῦτ' ἔστιν, εἴτε γραφέως, καὶ τοῦτο εἰς κοινὸν ἐκκείσθω σκοπεῖν. Ἀπαρτίζειν δ' ἀεὶ τοὺς τῶν Ἀθηναίων μῆνας τοῖς τῶν Ῥωμαίων δηλονότι οὐκ ἂν εἴη. Ἐπαμφοτερίζειν οὖν τι συμβαίνει. Οἷον, φέρε εἰπεῖν, Ἑκατομβαιὼν τὸ μὲν Ἰουνίου ἐπιλαμβάνει, τὸ δὲ Ἰουλίου· καὶ Μεταγειτνιὼν τὸ μὲν Ἰουλίου, τὸ δ' Αὐγούστου· καὶ Βοηδρομιὼν τὸ μὲν Αὐγούστου, τὸ δὲ Σεπτέμβριος. Ὡσαύτως δὲ καὶ οἱ λοιποὶ πάντες ἀμφιλαφεῖς εἰσι τὰ πολλά· ἐπεὶ ἐνίοτέ γε καὶ ἰσάζειν συμβαίνει· οἷον καὶ τῆτες συμβέβηκε, νουμηνίαν ἅμα Ἀπρίλιος μηνὸς ἡλιακοῦ, καὶ σελήνης ἄγειν. Ἑρμηνεύειν μέντοι ἁπλῶς χρεὼν ἀπὸ τοῦ προτέρου· οἷον, Αὔγουστον τὸν Βοηδρομιῶνα, ἀλλὰ μὴ Σεπτέμβριον, ἵνα θερινὸς ᾖ· τρίτος γὰρ ἀπὸ Ἑκατομβαιῶνος· τροπικὸς δὲ θερινὸς ὁ Ἑκατομβαιών, ὡς δεδειγμένον ἐστί. Γαληνῷ δὲ διέφερεν οὐθὲν πρός γε τὸ τῆς ἐλάτης σπέρμα καὶ τὴν σύνθεσιν τοῦ ἀκόπου, εἴτ' ἀπὸ τοῦ ἑπομένου Σεπτέμβριος, εἴτ' ἀπὸ τοῦ ἡγουμένου Αὔγουστος ἑρμηνεύοιτο ὁ τῶν μυστηρίων μήν· ἄλλως τε καὶ τῶν ἰσημερινῶν τε καὶ τροπῶν περί που εἰκοστὴν τετάρτην τοῦ μηνὸς ἡμέραν, ὡς Ῥωμαῖοι ἄγουσι, λαμβανομένων τοῖς τότε οὖσιν ἀνθρώποις· καὶ προσέτι ἰσημερινοῦ γινομένου ποτὲ καὶ τοῦ Βοηδρομιῶνος, ἐπειδὰν πλείους ὦσιν αἱ μετὰ τὴν τροπὴν περιτταὶ ἡμέραι. Ὅθεν δὴ καὶ Ἀριστοτέλης, « μετ' ἀρκτοῦρον περὶ Βοηδρομιῶνα, » φησὶν, ὥσπερ αὖ ἀνάπαλιν, περὶ λήγοντά που τὸν Ἑκατομβαιῶνα τῆς τροπῆς γενομένης, συμβαίνει τρυγᾶν τὰς ἀμπέλους περὶ ἱστάμενον τὸν Πυανεψιῶνα· καθὰ Πλούταρχος ἐπισημαίνει συμβῆναι, ὅτε Θησεὺς ἐπανῆκεν ἐκ Κρήτης. Ἡ ἰσημερία μέντοι περὶ λήγοντά που τὸν Μαιμακτηριῶνα ὑπῆρξε. Πλίνιον δὲ οἰητέον, μὴ ὡς Ἀριστοτέλους λέξιν μεταφέροντα, ὧδε ποιεῖσθαι τὸν λόγον, ἀλλ' ἰδίαν αὐτῷ δόξαν περὶ τόκου τῶν ἰχθύων ἀποφαινόμενον. Θαυμαστόν τε οὐθὲν, εἰ καὶ ταῖς χώραις διαφορὰ περὶ τὰς γενέσεις ἐστίν. Ἀλλὰ δῆλον, ὅτι καὶ τῶν ζώων, ὥσπερ τῶν φυτῶν, πολλὴν ποιοῦσι διαφορὰν οἱ τόποι, οὐ μόνον κατὰ μέγεθος καὶ εὐτροφίαν, ἀλλὰ καὶ κατὰ τοὺς τόκους, τοῦ τὰ μὲν ὀψιαίτερον γεννᾶν, τὰ δὲ πρωϊαίτερον. Ὧδε μὲν τοίνυν ἁπλῶς τε καί πη ἑρμηνεύοντες, οὐκ ἂν διαμαρτάνοιμεν τοῦ ἱκανοῦ.

A manifestum est nono mensis sequentis die æstivum solstitium fuisse. Si itaque solstitium nono ineuntis, tres esse dies abundantes est necesse. Hæc autem planius postea elucidabuntur, ubi de usu mensis intercalarii disseremus. An igitur Ephori sit iste error, an amanuensis potius, in medio considerandum relinquo. Jam certum est Atticos menses æquali dierum numero, simulque finiente, Romanos semper æquiparare non posse. Ergo fit ut singuli menses Græcorum inter binos semper Romanorum ambigant. Exempli gratia : Hecatombæon partem Junii, et partem Julii attingit ; Metagitnion Julii et Augusti ; Boedromion Augusti et Septembris. Similiter vero reliqui omnes non raro sese præbent ancipites, quandoque etiam æquales, ut vel superiore anno lunam novam cum Aprilis Kalendis solaribus contigit emergere. Operæ tamen pretium est simpliciter a priore mense interpretari. Verbi gratia : Boedromionem Augustum potius quam Septembrem, ut æstivus sit ; tertius enim est ab Hecatombæone : in quo, ut demonstratum est, æstivum solstitium conficitur. Nihil porro Galeni intererat, ad abietis semen et compositionem acopi, sive a sequente September, sive a præcedente Augustus verteretur ille mysteriorum mensis ; præsertim cum solstitia et æquinoctia **162** circiter quartum, et vicesimum diem mensis Romani ab illius sæculi hominibus signarentur : et præterea æquinoctialis interdum foret Boedromion, cum plures supererant dies post solstitium. Unde etiam Aristoteles dicit, « post arcturum circiter Boedromionem, » quemadmodum contra peracto circa desinentem Hecatombæonem solstitio evenit vindemias fieri, circa incipientem Pyanepsionem : ut Plutarchus accidisse significat, quando Theseus e Creta rediit. Æquinoctium enim fuerat sub finem Mæmacterionis. Pliniusque æstimandus est sic loqui, non qui verba Aristotelis interpretetur, sed qui suam de piscium partu exprimat sententiam. Nihilque mirum est, si etiam in generationibus a regionum diversitate oritur differentia. Verum illud constat, multam, ut plantarum, ita quoque animalium, non in magnitudine solum habituque vegetiore, sed et in partu ipsa loca efficere differentiam, ut alia serius, alia gignant maturius. Sic igitur simpliciter et quadantenus vertentes, nequaquam ab idonea explicatione aberraverimus.

Περὶ χρήσεως τῶν μηνῶν.

Ι'. Ἐπεὶ δ' ἔστι μὲν χρῆσθαι μησὶ καὶ κατὰ τὴν ἡλίου περιφοράν, ὡς Ῥωμαῖοι ἄγουσιν· ἔστι δὲ καὶ τὴν τῆς σελήνης, ὡς Ἀθηναῖοι ἦγον· πότερον Ἀθηναίοις ἑπόμενοι χρησόμεθα, ἢ Ῥωμαίοις, κατονομάζοντες μὲν ὡς Ἀθηναῖοι, τὴν δέ γε τοῦ ἐνιαυτοῦ εἰς μῆνας διαίρεσιν κατὰ ταὐτὰ Ῥωμαίοις τιθέντες; Πλήθων μέν φησιν, ὅτι κατὰ φύσιν δὴ ἄγοιτ' ἂν ἔτος μὲν κατὰ τὸν ἥλιον, μὴν δὲ κατὰ τὴν σελήνην· διὰ τί δὲ, οὐ λέγει. Ἄλλοι δέ τινες, καὶ αἰτίαν ἀποδιδόντες, πάντα πρὸς τῶν οὐρανίων κοσμεῖσθαι τὰ τῇδέ φασι, καὶ μεγάλα εἶναι τὰ τῆς σελήνης ἔργα.

De mensium usu.

X. Sed quoniam mensibus uti possumus vel ad solis motum, ut Romani, vel ad lunæ, ut Athenienses : utrum Atticum usum, an Romanum sequemur, more quidem Atheniensium denominantes, anni vero in menses eamdem cum Romanis constituentes divisionem? Plethon quidem refert natura esse comparatum, ut ad solem deducatur annus, mensis vero ad lunam : sed quamobrem, non dicit. Verum alii hujus quoque dicti rationem afferentes, asseverant, quæ hic in terris sunt, omnia a cœlestibus illis corporibus ordinari, magnosque esse

Digitized by Google

lunæ effectus. Nam mutari aiunt manifeste ab illa terrestria cuncta, idque recte. Signum tamen nullum est, menses ad lunam, non ad solem agere oportere. Hæc enim inferiora superioribus illis motibus esse continua non inficias imus, et omnem eorum vim et potentiam illinc gubernari, ipsumque decorum (quodcunque apud nos decorum) et rerum ordinem a superna illa natura consistere; quod vero indigestum et suo errore indecens, id esse ab ea (quæ est hic) materia. Detur vero multa quædam a luna alterari variarique, cum plena, cum dimidio orbe cæsa, cum gibbosa et utrinque convexa; cum in cornua flexa, atque etiam de cœlo ipso et ambiente aere judicium fieri; hæcque terrestria mutari per semisses, et quadrantes, et certas quasdam ipsius stationes: non tamen idcirco convenit, ut supersedentes solis annum in menses distinguere, eaque divisione uti, et ad lunam divertentes, ultro sponteque dissideamus. Nec enim secundum naturam est totum soli quadrare; partes autem alteri, quam soli magis convenire. Nam partes sunt totius anni, qui menses nominantur, vel quomodocunque libeat illam in duodecim spatia solaris revolutionis partitionem appellare. Quod enim causa est efficiens totius, id certe partium necessario efficiens est, cum ex partibus totum consurgat, et ipso toto partes sint generatione priores. Est autem etiam inæqualius, inordinatiusque annum ad lunæ curriculum ducere: quod qui ita agunt, mensem frequenter inserunt; nec parum habent negotii, dum alios annos mensium duodecim, alios tredecim efficiunt. Itaque præter naturam quidem id potius. Nam ordo quidam natura est, et præter naturam, quidquid inconditum, et incompositum, et quod ordinem suum non servat. Cæterum ut solem damnemus inutilitatis propter lunæ vim, et ea quæ vulgo apparent, postulatio nimis magna est, et quæ videatur esse ejus qui se magis sensui quam rationi applicet. Effectus enim lunæ, et opera a sole quidem (quod prope dixerim) omnia sunt: et hæc inferiora idem sol imprimis describit, modulatur, et in numerum ordinemque digerit. Et aliorum quidem siderum temperationis solem esse causam, cum multis aliis præclaris viris, tum vel maxime Straboni geographo videtur. Evidentiora tamen sese nobis offerunt, quæ contingunt circa lunam, propter differentes ejus species, ex variis solis intercapedinibus proficiscentes. Quapropter observanda sunt hæc, sive per septimanas, sive per alterum mensem lunarem videtur. Neque vero his solis utendo solares deserere oportet, qui sint longe æquabiliores, et partes temporum divinitus constitutorum, totiusque anni propriæ et nativæ. Secundum naturam enim id simpliciter est: quandoquidem a causa, et priore, et magis necessaria. Quod vero est a luna, notius nobis cum sit et apertius, viam ad ea quæ sunt notiora natura, et perfectiora, munit. Quamobrem Cæsar cognomento apud Romanos Divus, ingressus hanc viam ad id, quod erat cer-

A Ἀλλοιοῦσθαι γὰρ σαφῶς τὰ ἐπίγεια πάνθ' ὑπ' ἐκείνης. Τοῦτο μὲν οὖν εὖ λέγεται. Σημεῖον δ' οὐδέν ἐστι τοῦ χρῆναι ἄγειν κατὰ σελήνην, καὶ μὴ καθ' ἡλιόν γε τοὺς μῆνας. Συνεχῆ μὲν γάρ πως τὰ τῇδε ταῖς ἄνω φοραῖς εἶναί φαμεν καὶ ἡμεῖς, καὶ πᾶσαν αὐτῶν τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν· καὶ τὸ μὲν καλὸν ἅπαν, ὅσον ἂν ᾖ ἐνθάδε καλόν, καὶ τὸ τεταγμένον, ἄνωθεν ἐγγίνεσθαι φύσει· τὸ δ' ἄτακτον καὶ πεπλανημένον, ὑπάρχειν ἐκ τῆς ἐνθάδε ὕλης· ἔστω δὲ καὶ πόλλ' ἄττα ἀλλοιοῦν τὴν σελήνην πλήρη τε οὖσαν, καὶ διχότομον, καὶ ἀμφίκυρτον, καὶ μηνοειδῆ, κρίνεσθαί τε τὸ περιέχον, καὶ μεταβάλλειν τὰ τῇδε κατὰ διαμέτρους, καὶ τετραγώνους, καὶ ὅλως ποιάς τινας στάσεις αὐτῆς· οὐ μὴν δὲ καὶ εὔλογον διὰ ταῦτα ἐῶντας διαιρεῖν τὸν τοῦ ἡλίου ἐνιαυτὸν εἰς μῆ- B νας, καὶ χρῆσθαι, ἑτερορρέπειν ἐπὶ τὴν σελήνην, καὶ ἑκόντας εἶναι διΐστασθαι. Οὐδὲ δὴ κατὰ φύσιν τὸ μὲν ὅλον προσήκειν τῷ ἡλίῳ, τὰ δὲ μέρη ἑτέρῳ τῳ μᾶλλον ἐπιβάλλειν ἢ τῷ ἡλίῳ. Μέρη γὰρ τοῦ ὅλου ἐνιαυτοῦ οἱ καλούμενοι μῆνες, ἢ ὅ τι δήποτε καλεῖν φίλον τὸν εἰς δώδεκα μερισμὸν τῆς τοῦ ἡλίου περιφορᾶς. Τὸ δὲ τοῦ ὅλου ποιητικὸν, καὶ τῶν μερῶν ταὐτὸ ποιητικὸν ἐξ ἀνάγκης ἐστίν. Ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον, καὶ τῇ γενέσει πρότερα τοῦ ὅλου τὰ μέρη. Ἔστι δὲ καὶ ἀνωμαλώτερόν τε καὶ ἀτακτότερον τὸ πρὸς τὴν φορὰν τῆς σελήνης ἄγειν· δι' ὃ καὶ συχνὰ ἐπιβάλλουσι μῆνα οἱ οὕτως ἄγοντες, καὶ πράγματα ἔχουσι, τὰ μὲν δωδεκάμηνα, τὰ δὲ τρισκαιδεκάμηνα ποιούμενοι τῶν ἐτῶν. Οὐκοῦν παρὰ φύσιν γε μᾶλλον. Τάξις γάρ τις ἡ φύσις, καὶ παρὰ φύσιν C πᾶν τὸ πλημμελές τε καὶ ἄτακτον. Τὸ δ' ἀχρηστίαν τοῦ ἡλίου καταγινώσκειν διὰ τὴν τῆς σελήνης δύναμιν καὶ τὰ φαινόμενα, αἴτημα λίαν μέγα ἐστὶ, καὶ προσέχοντος αἰσθήσει μᾶλλον ἔοικεν εἶναι ἢ λογισμῷ. Τά τε γὰρ τῆς σελήνης ἔργα διὰ τὸν ἥλιον, ὡς εἰπεῖν, ἅπαντ' ἐστί· τό τε μάλιστα κοσμοῦν τὰ τῇδε, καὶ ῥυθμίζον, καὶ διατάττον, ὁ ἥλιός ἐστι. Καὶ μὴν καὶ τῆς περὶ τοὺς ἄλλους ἀστέρας εὐκρασίας αἴτιον εἶναι τὸν ἥλιον ἄλλοις τε τῶν ἐνδόξων καὶ Στράβωνι τῷ γεωγράφῳ δοκεῖ. Ἐναργέστερα μέντοι τὰ περὶ τὴν σελήνην συμβαίνοντα κατὰ διαφόρους φάσεις ἐκ τῶν πρὸς τὸν ἥλιον ἀποστάσεων ἡμῖν ἁπανταχᾷ. Ὥστ' ἐπιτηρητέα μέντοι καὶ ταῦτ' ἐστὶν, εἴτε καθ' ἑβδομάδας εἴτε καθ' ἕτερον μῆνα δοκεῖ σεληνιακόν. Οὐ μὴν δὲ D καὶ μόνοις τοῖσδε χρωμένους ἑατέον τοὺς καθ' ἥλιον μῆνας ὁμαλεστέρους ὄντας παρὰ πολὺ, καὶ μέρη τῶν ἐκ Θεοῦ ὡρῶν, καὶ τοῦ ὅλου ἐνιαυτοῦ οἰκεῖά τε καὶ αὐτοφυῆ. Κατὰ φύσιν γὰρ τοῦθ' ἁπλῶς· εἴπερ καὶ ἐξ αἰτίου, καὶ προτέρου, καὶ ἀναγκαιοτέρου. Τὸ δὲ ἀπὸ τῆς σελήνης, γνωριμώτερον ὂν ἡμῖν καὶ σαφέστερον, ὁδός ἐστιν ἐπὶ τὰ τῇ φύσει γνωριμώτερά τε καὶ τελειότερα. Δι' ὃ καὶ οἱ περὶ Καίσαρα τὸν ἐπωνομασμένον τοῖς Ῥωμαίοις θεὸν, ταύτην ἰόντες, ἐπὶ τἀκριβέστερον ἐληλύθασι μηνῶν τε καὶ ἐνιαυτοῦ διατάξεως πέρι. Οἱ δ' ἄρα τοῖς ἐν ποσὶ καὶ ἡμῖν σαφεστέροις ἐπιμένοντες διὰ τέλους ἐοίκασιν οὐ καλῶς κρίνειν, τί τὸ δι' αὐτὸ, καὶ τί τὸ δι' ἕτερον αἱρετέον. Ὅλως τε δεῖ νομίζειν τὰ ὕστερον χρόνῳ μακρῷ διηκριβωμένα περὶ ἀστρολογίαν πολύ τι τῶν ἀρχαίων

Digitized by Google

διαφέρειν· ἀλλὰ μὴ ἐκόντας ὑπ' αὐθαδείας πρὸ τῶν τελεωτέρων τὰ ἀτελέστερα ἐπαινεῖν, ὥσπερ ἐν γήρᾳ τὰ τῶν νέων φρονεῖν ἔτι προαιρουμένους. Ἐπεὶ καὶ Γαληνὸς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν λόγοις τὸν ἐνιαυτὸν ἐπὶ ταῖς πέντε καὶ ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις, ἐπικείμενον ἔχειν τι μόριον ἡμέρας μεῖζον ἢ ὡς τέταρτον λέγει. Τὸ δ' οὐ μεῖζον, ἀλλ' ἔλαττον εἶναι, ταῖς ὕστερον ἐπιτηρήσεσιν εὕρηται. Εἰ δ' ἄρα που μηδὲ τὰ περὶ τὴν ἡλίου κίνησιν τἀκριβὲς παντάπασιν ἴσχοι ἡμῖν· ἀλλ' οὖν γε πολὺ τῶν περὶ τὴν σελήνην ἀκριβέστερ' ἐστὶ, καὶ τὸ πλημμελούμενον εὐδιορθωτότερον· εἴ γε μίαν μὲν διὰ τετραετηρίδος ἡμέραν ἐμβόλιμον, μίαν δὲ σχεδὸν διὰ διακοσαετηρίδος ἐκβόλιμον ποιεῖσθαι, ἀποχρώντως ἂν ἔχοι, ἢ ὁπόσον ἂν διὰ πλείστου οἱ περιόντες ἀεὶ τῷ χρόνῳ ἀστρονομίας ἐμπειρότατοι κρίνωσιν. Οὐδὲν γὰρ τῷ παρόντι προσίσταται λόγῳ, εἴ τινες ἀμφισβητοῦσι περὶ τοῦ τῶν ἐτῶν πλήθους. Ἀναμφισβητήτως γὰρ ἡ ἐπανόρθωσις ἔσται διὰ πλείστου, ὅπως ἂν ἔχῃ.

A tius exactiusque de anni mensiumque dispositione **163** propius accessit. Qui ergo in medio positis, et nobis manifestioribus assidue insistunt, non videntur recte dignoscere quid per se et quid propter aliud sumendum sit. Semelque existimare oportet astrologiæ commentationes, quæ multo post tempore diligentiore cura absolutæ sunt, non parum ab antiquis illis præstare; non autem præ pervicacia decens est imperfectiora perfectioribus anteponere, quasi volentes in senectute adhuc retinere pueritiæ ineptias. Quando vel ipse Galenus in libris de diebus decretoriis dicit, anno supra trecentos et sexaginta quinque dies, particulam quamdam accedere diei quadrante majorem. Atqui non majorem esse, sed minorem, posteris observationibus annotatum B est. Quod si forte ne solis quidem motus ratio satis nobis constet; at quam lunæ certe multo certior est, ejusque error levior, et minus errori propinquus. Siquidem satis est unum diem quarto quoque anno intercalari; post vero ducentos ferme annos unum exemptilem fieri, vel quam longo temporis intervallo judicabunt, qui assidue succedent experientia excellentes astronomi. Neque enim præsentis est instituti, si quibus controversa est in hac re annorum multitudo. Haud dubie enim plurimo temporis interstitio emendabitur, utcunque se habeat.

Ὅτι καὶ τοῖς σοφοῖς δοκεῖ βέλτιον τὰ κατὰ ἥλιον ἄγειν.

ΙΑ'. Ἐπαινεῖ δὲ διαφερόντως καὶ Πλούταρχος τὴν Καίσαρος ἐπανόρθωσιν, δεινὸς ὢν κρῖναι, ὧδε λέγων· « Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ, καὶ τέλος λαβοῦσα, γλαφυρωτάτην παρέσχε χρείαν. » Ἡρόδοτος δὲ καὶ σοφωτέρους οἴεται εἶναι Αἰγυπτίους Ἕλλήνων, παρ' ὅσον οἱ μὲν διὰ τρίτου ἔτους ἐμβάλλουσι μῆνα· οἱ δὲ, τριακονθημέρους ἄγοντες τοὺς μῆνας, πέντε ἡμέρας ἐπάγουσιν ἀνὰ ἕκαστον ἔτος. Οὐ χεῖρον δὲ καὶ πάλιν τὴν λέξιν αὐτοῦ παραθέσθαι· « Ἄγουσι δὲ τοσῷδε σοφώτερον Ἑλλήνων, ἐμοὶ δοκέειν, ὅσῳ Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκε· Αἰγύπτιοι δὲ, τριηκοντημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας, ἐπάγουσι ἄνα πᾶν ἔτος πέντε ἡμέρας παρὲξ τοῦ ἀριθμοῦ. » Τὸ δὲ τριακονθημέρους ἄγειν τοὺς μῆνας, κατὰ ἥλιον ἄγειν εἶναι, δηλοῖ Στράβων οὕτωσὶ λέγων· « Αἰγυπτίων δ' ἐστὶ καὶ τὸ τὰς ἡμέρας μὴ κατὰ σελήνην ἄγειν, ἀλλὰ κατὰ ἥλιον, τοῖς τριακονθημέροις δώδεκα μησὶν ἐπαγόντων πέντε ἡμέρας κατ' ἐνιαυτὸν ἕκαστον. » Πλήθων μὲν οὖν πολὺ τούτων ἀπᾴδει λέγων κατὰ φύσιν εἶναι μᾶλλον τὸ κατὰ σελήνην ἄγειν τοὺς μῆνας, καὶ τὸν μὲν ἐνιαυτὸν τῷ ἡλίῳ, τοὺς δὲ μῆνας διαιτῶν τῇ σελήνῃ.

Quod viris prudentibus commodius videtur annum ad solem agere.

XI. Impense vero laudat Cæsaris emendationem Plutarchus, præstanti vir judicio, sic dicens: « Fastorum autem dispositio, et inconstantiæ illius C vagæ, et incertæ correctio, eleganter ab ipso philosophica ratione explicata, finemque sortita, jucundissimum usum præbuit. » Herodotus autem sapientiores Græcis existimat Ægyptios, quatenus Græci tertio quoque anno unum mensem intercalant, Ægyptii vero mensibus tricenariis quinque dies quotannis adjiciunt. Sed nec abs re fuerit auctoris ipsius verba reponere [80*]: « Agunt, inquit, eo prudentius Græcis, ut mihi quidem videtur, quod Græci tertio quoque anno mensem intercalarem faciunt, idque temporum gratia: verum Ægyptii duodecim mensibus (quibus tricenos dies adnumerant) singulis annis quinque dies adsciscunt. » Tricenis autem diebus menses taxare, quod sit ad solis cursum agere, ostendit Strabo ita inquiens: D « Ægyptiorum vero est et illud, dies non ad lunam, sed ad solem agere, tricenariis mensibus duodecim quinque dies quotannis adjicientium. » Plethon igitur multum ab iis discrepat, dicens secundum naturam magis esse menses ad lunam agere; annum quidem soli pro arbitrio attribuens, menses vero lunæ.

Πῶς χρηστέον μησὶ καὶ ἐνιαυτῷ.

ΙΒ'. Ἡμεῖς δὲ ὀνόμασι μὲν τοῖς εἰρημένοις καὶ τάξει χρησόμεθα τῶν μηνῶν, πράγμασι δὲ κατὰ τὴν Καίσαρος ἐπανόρθωσιν, ᾗ χρώμενοι Ῥωμαῖοι ἄχρι καὶ νῦν, ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν δοκοῦσι χιλιοστὸν καὶ πεντακοσιοστὸν ὀλίγου δεῖν τόδε ἔτος. Λαμβάνειν τε ἀξιοῦμεν, εἴ τινες χρή-

Quomodo utendum mensibus et anno.

XII. Nos autem et ordine mensium et nominibus utemur explicatis; rebus vero juxta Cæsaris emendationem, qua hactenus utentes Romani minus reliquis in hac confusione falli videntur: millesimus et prope quingentesimus jam hic annus est. Neque vero si quid a quibusdam excogitatum,

[80*] *Euterpe*, n. 4.

Digitized by Google

et in communem vitæ utilitatem collatum est, sive Latini, sive barbari sint hujusmodi inventores, dedignamur ab iis id inventum utendum accipere, omnesque domesticos et familiares existimare, homines qui sint, et ejusdem nobiscum naturæ participes, iisque inventionis gratiam habere, non autem præ invidia contentiose rixari, et sponte deteriora capessere. Diebus itaque trecentis sexaginta quinque ad solis cursum nobis distribuetur annus, addita quoque huic numero particula quapiam diei quarta parte minore. Et menses quidem complentes dierum numerum, alii triginta erunt dierum, alii uno die abundabunt; unus vero continuo quidem triennio duobus deficiet de triginta; quarto autem anno, uno die tantum. Quandoquidem hi septem, Posideon, Gamelion, Munychion, Scirophorion, Metagitnion, Boedromion, Pyanepsion, uno die excedent tricenarios; reliqui vero tricenis constabunt, præterquam Elaphebolion. Hic enim per tres annos diebus octo et viginti taxabitur, sed quarto anno undetriginta, propter diem intercalarem. Porro cur a Cæsare menses ita distributi sint, ut hic esset triginta dierum, ille non; huic excessus, illi defectus : alterius est considerationis.

A σιμόν τι ἐφεῦρον τῷ βίῳ, ἐάν τε Λατῖνοι ὦσιν οἱ εὑρόντες, ἐάν τε βάρβαροι· οἰκείους τε πάντας νομίζειν, ἀνθρώπους γε ὄντας, καὶ μετειληφότας τῆς αὐτῆς ἡμῖν φύσεως· καὶ χάριν ὁμολογεῖν τοῖς εὑροῦσιν, ἀλλὰ μὴ φθονοῦντας ἐρίζειν, καὶ ἐθελοκακεῖν. Ἡμέραις τοιγαροῦν τριακοσίαις καὶ ἑξήκοντα καὶ πέντε ὁριζόμενος ἡμῖν ὁ ἐνιαυτὸς ἔσται, κατὰ τὴν ἡλίου περίοδον, προστιθεμένου τοῦ καὶ μορίου ἡμέρας ἐπ' ἔλαττον ἢ ὡς τεταρτημόριον τῷ ἀριθμῷ τῷδε. Καὶ μῆνες συμπληροῦντες τὸν τῶν ἡμερῶν ἀριθμὸν οἱ μὲν τριακονθήμεροι, οἱ δὲ μιᾷ ὑπερβάλλοντες τοὺς ἑτέρους ἡμέρᾳ· εἷς δὲ καὶ δυοῖν μὲν ἐλλείπων τῶν τριακονθημέρων ἑξῆς τριῶν ἐτῶν, μιᾷ δὲ τῷ τετάρτῳ. Ἑπτὰ γὰρ οἵδε, Ποσειδεών, Γαμηλιών, Μουνυχιών, Σκιροφοριών, Μεταγειτνιών, Βοηδρομιών, Πυανεψιών, μιᾷ ὑπερβαλοῦσι τοὺς τριακονθημέρους· οἱ δὲ λοιποὶ τριακονθήμεροι, πλὴν Ἐλαφηβολιῶνος. Ὅδε γὰρ ἡμέρας ἕξει εἴκοσι μὲν καὶ ὀκτὼ ἑξῆς τριῶν ἐτῶν, εἴκοσι δὲ καὶ ἐννέα τῷ τετάρτῳ, διὰ τὴν παρεμβαλλομένην ἡμέραν. Διὰ τί δὲ τοῖς περὶ Καίσαρι οὕτω τὰ περὶ τὰς ἡμέρας διῄρηται, ὡς τονδὶ μὲν τριακονθήμερον εἶναι, ἀλλὰ μὴ τονδί, τονδὶ δ' ὑπερβάλλειν, τονδὶ δ' ἐλλείπειν, ἑτέρας ἐστὶ θεωρίας.

B

De intercalari die.

XIII. Mensem quidem nullum unquam, sed unum diem per singulos annorum quaterniones mense Elaphebolione intercalabimus, quemadmodum Romani Februario bissextum, sic vocantes, quod bis ipsum diem inscribant **164** sextum Kalendas Martias. Ita enim Cæsari Augusto visum est. Nos vero tali vocabulo nequimus uti; nam intercalarem solum et sextum rite appellare possumus. Cæterum de exemptili die consideratio suscipienda est, et quod visum fuerit Latini admonendi sunt, ut idem amplexantes, annum sibi corrigant. Sic enim inter nos conveniet. Exemptilis enim diei jam longo tempore nulla ratione inita, solstitia, nostra ætate, multo antevertunt diem mensis ab initio solstitialem constitutum. Sic itaque menses agantur nobis, utentibus nominibus traditis.

Περὶ τῆς ἐμβολίμου ἡμέρας.

ΙΓ'. Μῆνα μὲν οὖν οὐδένα ἐπεμβαλοῦμεν οὐδέποτε· μίαν δὲ διὰ τετραετηρίδος ἡμέραν τῷ Ἐλαφηβολιῶνι, καθάπερ τῷ Φεβρουαρίῳ Ῥωμαῖοι δίσεκτον· οὕτω καλοῦντες ἐκ τοῦ δὶς τὴν αὐτὴν ἡμέραν προγράφειν ἕκτην πρὸ Καλενδῶν Μαρτίων, δόξαν οὕτω Καίσαρι Σεβαστῷ. Ἡμεῖς δ' ὀνόματι χρῆσθαί τῳ οὐ δεόμεθά γε τοιούτῳ· ἐμβόλιμον γὰρ μόνον καὶ ἔνην προσαγορεύειν καλῶς ἔχει ἡμῖν. Περὶ δὲ τῆς ἐκβολίμου σκεπτέον καὶ ὅ τι ἂν δοκῇ παρακαλεῖν δέον καὶ Λατίνους ταὐτὸ δεχομένους ἐπανορθοῦσθαί σφισι τὸν ἐνιαυτόν, ἵνα συμφωνῶμεν. Ἐκβολίμου γάρ τοι ἡμέρας χρόνου ἤδη μακροῦ διελθόντος μὴ γενομένης, πολύ τι δὴ προτεροῦσιν αἱ τροπαὶ ἐφ' ἡμῶν τῆς ἐξ ἀρχῆς τροπικῆς ἡμέρας γε τοῦ μηνός. Οὕτω μὲν οὖν ἀκτέον τοὺς μῆνας, χρωμένους ὀνόμασι τοῖς ἀποδοθεῖσιν.

C

De anni principio.

XIV. Porro anni principium Athenienses Hecatombæonem constituebant, ab æstivo solstitio incipientes, sicut est prius demonstratum : Romani vero Januarium, inchoantes ab hiberno. Et certe magis proprium videtur esse principium, jureque hoc Plethon laudat. Nam lege et instituto aliis aliud anni principium agentibus, natura quodammodo idem ut sit principium suadere videtur : quando sol generationis auctor ultra progredi desinens, reflecti ad nos incipit, et lucis auget tempus, tenebrarum vero minuit. Recte igitur et Numa principium hujusmodi Romanis ordinavit, cum prius Martium mensem Romulus anni fecisset initium. Nobis igitur idem esto anni principium, et novus anni mensis Gamelion : ut consonemus cum Romanis, sicut in mensibus, ita etiam in anni exordio, qui est Janua-

Περὶ ἀρχῆς τοῦ ἐνιαυτοῦ.

ΙΔ'. Ἀρχὴν δὲ τοῦ ἐνιαυτοῦ οἱ μὲν Ἀθηναῖοι τὸν Ἑκατομβαιῶνα ἦγον μῆνα, ὡς δέδεικται πρότερον, ὡς ἀπὸ τροπῶν θερινῶν· Ῥωμαῖοι δὲ τὸν Ἰανουάριον, ὡς ἀπὸ τροπῶν χειμερινῶν, ἢ δὴ καὶ οἰκειότερα δοκεῖ εἶναι ἀρχή. Καὶ εὖ τήνδε ἐπαινεῖ Πλήθων. Νόμῳ γὰρ ἄλλων ἄλλην τοῦ ἔτους ἀγόντων ἀρχήν, φύσει πως ἔοικεν αὕτη οὖσα ἀρχὴ· ἡνίκα δὴ ἥλιος, ὁ τῆς γενέσεως κύριος, τοῦ πρόσω ἰέναι λήγων ἀνακάμπτειν ἄρχεται ὡς ἡμᾶς, καὶ τὸν μὲν τοῦ φωτὸς αὔξει χρόνον, τὸν δὲ τοῦ σκότους μειοῖ. Ὀρθῶς οὖν καὶ Νουμᾶς ἀρχὴν τοιαύτην Ῥωμαίοις τέταχε, Ῥωμύλου πρότερον τὸν Μάρτιον προτάξαντος μῆνα. Καὶ ἡμῖν δὴ ἀρχὴ αὕτη ἔστω, καὶ νέος τοῦ ἐνιαυτοῦ μὴν Γαμηλιών· ἵνα καὶ συμφωνῶμεν Ῥωμαίοις, ὥσπερ καὶ τὰ περὶ τοὺς μῆνας, καὶ τὰ περὶ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ. Ὅδε γὰρ Ἰανουάριος

D

Digitized by Google

ἦν. Νῦν δ' Ἕλλησιν, ἀρχὴν ἐνιαυτοῦ τε καὶ Ἰνδικτιῶνος ποιούμενοι ἀπὸ ἰσημερίας φθινοπωρινῆς, τὰ μὲν περὶ Ἰνδικτιῶνα (δηλοῖ δὲ διάταγμα ἡ λέξις) συνᾴδουσι Ῥωμαίοις, τὰ δὲ περὶ τὸν ἐνιαυτὸν οὔ. Καίτοι συμφέρεσθαι ἔδει καὶ ταῦτα, ἄλλως τε καὶ Χριστοῦ νόμοις χρωμένους. Οὐ γὰρ οἶμαι Ῥωμαίους τούς γε νῦν ὄντας διὰ τὴν ἡλίου τροπὴν μᾶλλον, ἢ τὸ τότε γεννηθῆναι Χριστὸν, οὕτως ἄγειν· ἀλλὰ τὴν μὲν τροπὴν συμβεβηκέναι, αὐτοὺς δὲ τὴν γένεσιν πρεσβεύοντας τοῦ Θεοῦ, ᾗ θέμις, ἀρχὴν ποιεῖσθαι τὴν εἰρημένην. Ἐνιαυτοῦ μὲν ταύτην θετέον ἀρχήν.

A rius. Nunc vero Græcis principium anni, indictionisque agentibus ab autumnali æquinoctio, indictionis quidem ratione (significat autem edictum hæc dictio) cum Romanis concordia est, anni vero non. Quanquam et de his sane inter illos convenire oportebat, præsertim Christi legibus communiter utentes. Neque enim puto Romanos hujus sæculi magis propter solstitium, quam quod tunc Christus natus sit ita agere; sed tum solstitium esse forte contigisse : ipsos vero natali Christiano primum honorem tribuentes, ut fas est, prædictum initium facere. Anni quidem idem initium faciendum est.

Πῶς ἀριθμητέον τὰς τοῦ μηνὸς ἡμέρας.

ΙΕ'. Ἀριθμεῖν δὲ τὰς μηνὸς ἑκάστου ἡμέρας Πλήθωνι μὲν δοκεῖ εἰς τέτταρα διαιροῦντας τὸν μῆνα, τὸ μὲν ἱστάμενον, τὸ δὲ μεσοῦν, τὸ δὲ φθῖνον, τὸ δὲ ἀπιόν· λαμβάνοντι, ὡς ἔοικε, τὸ μὲν παρὰ Πολυδεύκους, τὸ δέ τι καὶ αὐτῷ καινοτομοῦντι. Εὐμαρέστερον γὰρ, οἶμαι, διατίθεσθαι τὰ περὶ τὰς ἱερομηνίας οὕτω συνέβαινε, καίν' ἄττα καθισταμένῳ ἱερά· ἡμῖν δὲ διαφερέτω μηθὲν διαριθμεῖν, ὡς Ἀθηναῖοι, τριχῇ διαιροῦντες, τὸ μὲν ἱστάμενον ἔλεγον, τὸ δὲ ἐπὶ δέκα, τὸ δὲ φθῖνον. Ἐπειδὴ καὶ συνῳδά πως οὕτω μᾶλλον Ῥωμαίοις ἔσται τὰ περὶ τὴν διαίρεσιν ἡμῖν. Τριχῇ γὰρ καὶ οὗτοι διαιροῦντες, τὸ μὲν Καλένδας προσαγορεύουσι, τὸ δὲ Νώνας, τὸ δὲ Εἰδούς. Ἀριθμητέον οὖν ὧδε· νουμηνίαν μὲν τὴν πρώτην, εἶτα δευτέραν ἱσταμένου, καὶ τρίτην, καὶ ἑξῆς εἰς τὸ πρόσω ἰόντι ἄχρι δεκάτης· μεθ' ἣν πρώτην ἐπὶ δέκα· εἶτα δευτέραν ἐπὶ δέκα, καὶ ἑξῆς ἄχρι εἰκοστῆς. Ἡ αὐτὴ δὲ καὶ εἰκάς· μεθ' ἣν ἐνδεκάτην φθίνοντος, ᾗ δεκάτην, ᾗ ἐννάτην, ᾗ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μὴν, καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. Οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες, ἀλλ' ἀφαιροῦντες, καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. Καὶ Ἀριστοφάνης δὲ ὁ κωμικὸς οὕτως ἀριθμεῖ·

XV. Quomodo mensis dies sunt numerandi.

XV. Numerare vero cujusque mensis dies Plethoni sic placet, ut quadripertito mensem dividat in principium, medium, præcipitium, et recessum. Idque partim a Polluce videtur mutuari; partim per se quodammodo comminisci. Ita enim, puto, facilius illi erat suas ferias disponere, nova quædam sacra constituenti. At nos nihil impediat quominus supputemus, ut Athenienses, mense trifariam partito, partem unam ἱστάμενον, id est, instantem, sive ineuntem vocantes : ἐπὶ δέκα, id est, supra decem alteram : ultimam φθῖνον, id est, præcipitem, vel desinentem. Quandoquidem hæc quoque divisio nostra sic nescio quomodo fiet cum Romana consonantior. Hi namque tres etiam in partes mensem tribuentes, Kalendas, Nonas, et Idus appellant. Sic itaque numerandum est, ut Neomenia (quod novilunium significat) mensis primus dies sit : deinde secundus instantis, tertius instantis, et ita deinceps usque ad decimum : post quem primus supra decem, secundus supra decem, et sic per ordinem usque ad vigesimum, qui et eicas dicitur, quasi vicenionem ausis appellare. Post quem undecimus præcipitis, vel decimus, vel nonus, vel octavus, pro mensis cujusvis superante dierum numero : et deinceps ordine præpostero subducendum, numeri quidem seriem retexendo usque ad secundum præcipitis. Ita enim Athenienses numerabant, non addentes, sed auferentes, resolventesque usque ad tricesimum diem : et id quidem Solonis instituto, ratione lunæ ita sensim lumen suum minuentis. Et hoc certe modo Aristophanes comicus supputat :

Πέμπτη, τετρὰς, τρίτη· μετὰ ταύτην δευτέρα·
Εἶθ' ἥν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
Δέδοικα, εὐθὺς ἔσθ' ἕνη τε καὶ νέα.

Quintus, deinde quartus, hincque tertius;
Post quem secundus, omnium, et quem maxime
Metuo, sequens est continuo vetus et novus.

Μετὰ δὲ δευτέραν ἀκτέον ἕνην. Χρεία δ' ἕνης καὶ νέας οὐκ ἔσται ἡμῖν, διὰ τὸ μὴ κατὰ σελήνην ἄγειν. Ἕνην δὲ τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν καλεῖν καὶ ἡμᾶς κωλύει οὐθὲν, ὅτι καὶ νέα ἡ πρώτη, πλείους τε αἱ φθίνοντος γίνονται ἡμέραι, καὶ ἔσθ' ὅτε ἐλάττους τῶν Ἀττικῶν, διὰ τὸ τοὺς μὲν τριακονθημέρους τῶν μηνῶν ἡμῖν εἶναι, τοὺς δὲ μιᾷ· ὑπερβάλλειν τῶν ἑτέρων ἡμέρᾳ, ἕνα δὲ καὶ δυεῖν μὲν ἐλλείπειν τῶν τριακονθημέρων ἑξῆς τριῶν ἐτῶν, μιᾷ δὲ τῷ τετάρτῳ, ὡς εἴρηται πρότερον. Οἱ μὲν οὖν ἑνδεκάφθινοι, οἱ δὲ δεκάφθινοι, εἷς δὲ καὶ ὀκτάφθινος, καὶ ἑνάφθινος· ἑπτὰ μὲν γὰρ οἶδε, Ποσειδεών, Γαμηλιών, Μουνυχιών, Σκιροφοριών, Με-

Itaque post secundum præcipitis, nobis collocandus est vetus. Nam veteris et novi, id est, extremi et primi, seu intermenstrui, nobis usus exolevit : quod non ad lunam tempora deducamus. Sed diem mensis ultimum appellare veterem quid nos vetat, cum primus quoque novus sit? Jam vero præcipitis dies interdum plures habemus, nonnunquam pauciores diebus Atticis. Quandoquidem menses alii tricenum dierum, alii tricenum singulorum, unus modo duodetricenum, modo undetricenum, nimirum quarto quoque anno uno die addito, quod prius est dictum. Quapropter menses alii ab undecim dierum reliquo supra

Digitized by Google

viginti numero Hendecaphthini vocentur, alii Decaphthini, quibus decem dies supersunt : unus vero Octaphthinus, et Enaphthinus, cui nunc octo, nunc novem superant ultra viginti. Ili enim **165** septem, Posideon, Gamelion, Munychion, Scirophorion, Metagitnion, Boedromion, Pyanepsion, undecim dies præcipitis habebunt : at reliqui decem tantum, præter Elaphebolionem, qui continuo triennio octo habebit, novem autem anno quarto. At si quis φθίνειν, id est, *præcipitare*, seu *desinere*, et ἵστασθαι, id est, *instare* sive inire propria lunæ esse dicat, mente animoque complectatur, quod in aliis etiam compluribus aliunde translatus improprii sermonis usus evicit, ut in his quoque verbis χαλκεύειν, et χορηγεῖν, et δημιουργεῖν, id est, *cudere*, *suppeditare*, *procreare*. Quondam etiam βυβλία solum dicebantur, quæ fierent ex junco papyro, quæ in Ægypto producitur. Nunc vero ex lini panniculis et linteolorum ramentis versis in opificium, constipatæ chartæ quædam, et conglutinatæ (in quibus scribimus) id nominis sortitæ sunt. Et σχοινίον olim funis erat, ex schœno junco (quæ ex palustribus planta est) confectus, sed nunc ex lino et lanis in eumdem usum convolutus contortusque funis, schœnion appellatur. Et præterea αὐθέντης ab antiquis « cædis patrator » tantum vocabatur : nunc vero quisquis auctor est, artifex, opifex, curator rei cujusvis, authentes nuncupatur. Et nimirum vicit invaluitque supra mille annos hujusmodi significatio, posteaquam Græci cum Romanis versantes perceperunt suam linguam adhuc indigere nomine huic nomini Latino « auctor » respondente, quod majorem haberet usus proprietatem. Ita enim coacti, ut verisimile est, rei crebro in usum venientis magis proprium nomen imponere, hoc certe nomen authentes in illud transmutarunt, imitantes alienam legem. Basilius itaque unus e nostris pontificibus, tempore imperatoris Juliani, vir non minus eloquio quam sacri cogitatione præditus, dona Spiritus sancti dicit non fieri per ministerium, sed « authentice : » id est, non a ministro dari, sed ab auctore. Et Synesius philosophus eruditissimus qui fuit paulo post Theodosio imperante, interrogans patriarcham Theophilum, an oporteat Alexandrum quemdam existimare episcopum, in episcoporum ordinem adoptatum ab Joanne, qui postea inter divos relatus, et Chrysostomus cognominatus est : sed tunc propter quamdam contentionem et seditionem ab Ecclesiis de concilii sententia exclusus erat : sic infert : « Ad quod opus est authentiam, » id est, « auctoritatem successionis apostolicæ simpliciter, et aperte sententiam ferre. » Enimvero etiam Romani, ut scribit Plutarchus, illam mensis divisionem tripartitam ad tres maximas lunæ differentias fecerunt, Kalendas novilunium appellantes, quod tum luna in coitu exsistens, quasi occulta sit penitus defecta lumine. « clam » enim Romanis latenter significat, unde Kalendas dicit

A τἀγειτνιών, Βοηδρομιών, Πυανεψιών, ἕνδεκα ἔξουσι φθίνοντος ἡμέρας· δέκα δὲ οἱ λοιποί, πλὴν Ἐλαφηβολιῶνος. Οὗτος γὰρ ὀκτὼ μὲν ἔξῃς τριῶν ἐτῶν, ἐννέα δὲ τῷ τετάρτῳ. Καὶ μὴν εἴ τις τὸ φθίνειν, καὶ ἵστασθαι ἴδιον εἶναι λέγοι σελήνης, ἐνθυμείσθω, διότι καὶ ἐπ' ἄλλων πολλῶν χρῆσις ἀπ' ἄλλων μεταληφθεῖσα κεκράτηκεν ἀκυρόλογος· οἷον καὶ τὸ χαλκεύειν, καὶ χορηγεῖν, καὶ δημιουργεῖν. Ὠνομάζετο δέ ποτε καὶ βυβλία μόνον, τὰ ἐκ τῆς βύβλου τῆς ἐν Αἰγύπτῳ φυομένης παπύρου γινόμενα. Νῦν δὲ καὶ τὰ ἐκ λίνου ῥάκους κατεργασθέντος πιλήματα διάκολλα, ἐν οἷς γράφομεν, τοὔνομα ἔχει τοῦτο. Καὶ σχοινίον πρόσθεν τὸ ἐκ σχοίνου τῶν ἑλείων φυτοῦ· νῦν δὲ καὶ τὸ ἐκ λίνου καὶ ἐρίων πρὸς τὴν αὐτὴν χρείαν κλωθόμενον σχοινίον προσαγορεύεται. Καὶ αὐθέντης δὲ ὁ αὐτόχειρ B μόνον ἐλέγετο πάλαι. Νῦν δὲ καὶ ὁστισοῦν αἴτιος, καὶ δημιουργός, εἶτ' οὖν αὐτουργός, καὶ ἐπιστάτης πράγματος οὑτινοσοῦν, αὐθέντης καλεῖται· ὑπὲρ τὰ χίλια δὴ ἔτη κεκρατηκότος τοῦ τοιοῦδε σημαινομένου· ἐπειδὴ, Ῥωμαίοις, θαμὰ δὴ ὁμιλοῦντες Ἕλληνες, συνίδοιεν τὴν σφετέραν αὐτῶν φωνὴν ἔτι δεομένην τοῦ γε ἀνάλογον ἂν τῷ « αὖτορ » ὀνόματι τῶν Ῥωμαίων ἀκριβέστερον προσοικειουμένου ταῖς χρείαις. Οὕτω γὰρ βιαζόμενοι, ὡς εἰκὸς, πράγματι συχνὰ ἥκοντι εἰς χρείαν ὄνομα ἰδιαίτερον θέσθαι, τὸ αὐθέντης δὴ εἰς τοῦτο ἀλλοτριονομοῦντες μετενηνόχασι. Βασίλειος οὖν τῶν ἡμετέρων ἱεροφαντῶν ἐπὶ Ἰουλιανοῦ αὐτοκράτορος γενόμενος ἀνὴρ, καὶ τὴν φωνὴν οὐχ ἧττον ἢ τὴν διάνοιαν κεκοσμημένος, τὰ τοῦ θείου Πνεύματος χαρίσματα οὐ λειτουργικῶς, ἀλλ' « αὐθεντικῶς » γίνεσθαι λέγει. Καὶ Συνέσιος φιλόσοφος τῶν λογιωτάτων μικρὸν ὕστερον ἐπὶ Θεοδοσίου, πυνθανόμενος πατριάρχου Θεοφίλου, εἰ χρὴ νομίζειν ἐπίσκοπον Ἀλέξανδρόν τινα, χειροτονηθέντα ὑπὸ Ἰωάννου τοῦ μετὰ ταῦτα νομισθέντος ἁγίου, καὶ ἐπονομασθέντος Χρυσοστόμου, τότε διά τινα συμβᾶσαν διαφορὰν καὶ στάσιν τῶν Ἐκκλησιῶν ἀφωρισμένου γνώμῃ συνοδικῇ, ὧδ' ἐπιφέρει· « Πρὸς δ δεῖ τὴν αὐθεντίαν τῆς ἀποστολικῆς διαδοχῆς ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς. » Οὐ μὴν ἀλλὰ καὶ Ῥωμαῖοι, ὡς Πλούταρχος ἱστορεῖ, τὴν εἰς τρία διαίρεσιν τοῦ μηνὸς πρὸς τὰς μεγίστας τρεῖς διαφορὰς τῆς σελήνης τυγχάνουσι πρότερον πεποιηκότες· Καλένδας μὲν τὴν νουμηνίαν καλέσαντες, ὅτι περὶ τὴν D σύνοδον οὖσα τόθ' ἡ σελήνη ὥσπερ λέληθεν, ἐπιλειποτός δὴ παντελῶς τοῦ φωτός· τὸ γὰρ « κλὰμ » Ῥωμαίοις τὸ λάθρα διασημαίνει, ὅθεν τὰς Καλένδας ὠνομάσθαι φησί. Νώνας δὲ, ὅταν καταφανὴς πρῶτον ἐπὶ δυσμῶν γίνηται νέα· Εἰδοὺς δὲ, ὅταν, πανσέληνος οὖσα, εὐειδεστέρα τὴν ὄψιν ᾖ. Ἀλλ' ὅμως ὕστερον· καίτοι, καθ' ἥλιον ἄγοντες τοὺς μῆνας, ὁμοίως ὁρίζοντες τὸν χρόνον, Καλένδας, καὶ Νώνας, καὶ Εἰδοὺς ἔτι καλοῦσιν, ὀνόμασι καταχρώμενοι οἷς πρότερον ἄγοντες κατὰ σελήνην ἐχρῶντο κυρίως. Οὐθὲν δὴ ἄτοπον οὐδ' ἡμῖν, εἰ ἱστάμενον λέγοιμεν, καὶ φθίνοντα, μὴ κατὰ σελήνην ἔτι, ἀλλὰ κατὰ ἥλιον ἄγοντες. Ἀνάλογον τοίνυν ἡμῖν ἕξει νουμηνία μὲν ταῖς Καλένδαις, τὸ δὲ ἱστάμενον τῷ πρὸ Νωνῶν, τὸ δὲ ἐπὶ δέκα τῷ πρὸ Εἰδῶν, τὸ δὲ φθίνον τῷ πρὸ Καλεν-

Digitized by Google

δῶν. Ὡς δ' ἡμῖν οὐκέτι χρήσιμος ἔνη καὶ νέα, οὕτως οὐδὲ Ῥωμαίοις τὸ Ἰντερλούνιον· τὴν γὰρ ἡμέραν, ἧς τὸ μὲν τῷ λήγοντι μηνὶ, τὸ δὲ τῷ ἀρχομένῳ προσήκει κατὰ σελήνην, Ῥωμαῖοι οὕτω καλοῦσι. Ταῦτα μὲν δὴ οὕτω λαμβανόμενα εὖ ἂν ἔχοι. Οὐκ ἂν ἀφαιρεῖται δ' ὁ λόγος οὐδὲ ἰδιώτας τὴν τῶν ἡμερῶν τῆς σελήνης γνῶσιν, ὁπόσαι ἑκάστοτε. Πολὺ γάρ τι συμβάλλεται εἰς τοῦθ' ἡ τῶν ἡμερῶν τοῦ καθ' ἥλιον μηνὸς εἴδησις· καὶ ῥᾴδιον προστιθέντι ταῖς ἐπακταῖς εὑρίσκειν τὸν ἀριθμόν. Τὸ δ' ἀκριβὲς οὐκ ἀπαιτητέον ἐν τούτοις. Ἐπακταὶ ἐφ' ᾧ α' ἀριθμὸς ἡμερῶν ἐπαγομένων ἡλιακοῦ μηνὸς, ἐφ' ᾧ β'. Ἀριθμὸς μηνῶν ἐπαγομένων ἐνιαυτοῦ, ἀπὸ Μουνυχιῶνος ἀρχομένου, ἐφ' ᾧ γ'. Γινόμενος ἀριθμὸς ἐκ τῶν α', β', γ' ὁμοῦ ληφθέντων, ἐφ' ᾧ δ'. Ὑπερέχων τῶν τριάκοντα, ἐφ' ᾧ ε'. Ὑπεροχὴ ἐφ' ᾧ ζ'. Σελήνης ἡμερῶν ἀριθμὸς ἐπαγομένων, ἐφ' ᾧ η'. Τὸ δὴ δ' ἔσται ἴσον τῷ η', ἐὰν μὴ τὸ ε' ὑπάρχῃ τῷ δ'. Ἐὰν δ' ὑπάρχῃ, τὸ ζ' ἔσται ἴσον τῷ δ'. Τὸ δὲ α' ληπτέον ὅ τι ἐστίν. Ἱκανὸν γὰρ ὡς πρὸς τοὺς πολλοὺς τὸ ὅ τι. Ἔστι δ' ἄρα εἴκοσι καὶ ὀκτὼ τοῦ νῦν παρόντος ἡραρχικοῦ ἔτους. Ἐπαυξέσθω δὲ καθ' ἕκαστον ἔτος ἡραρχικὸν προσθέσει τῶν ἑνδεκα. Καὶ ἐπειδὰν τῶν τριάκοντα ὑπερέχῃ, εἰλήφθω ἡ ὑπεροχὴ α'. Καὶ οὕτω δὴ ἐπαύξοντι αἰεὶ καὶ λαμβάνοντι ληπτέον τὸ α'. Πρόσθεσις ἐφ' ᾧ θ'. Ἑτέρα ὑπεροχὴ ἐφ' ᾧ ι'. Προσληφθέντος δὴ τοῦ θ' τῷ α', ἔσται τὸ α', ὡς ἐννέα τοῦ ἐπιόντος ἡραρχικοῦ ἔτους· καὶ πάλιν προσληφθέντος, ἔσται ὡς εἴκοσι τοῦ ἐφεξῆς ἔτους· εἶτα ὡς μία τοῦ μετὰ ταῦτα. Τὸ γὰρ ι' δὴ ὡς μία. Καὶ οὕτως ἀεί· ἐπιστημονικώτερον δὲ ὧδε.

A appellatas. Nonas autem, quando primum ad occasum conspicua nova fit. Idus, quando jam pleno orbe facies formosior conspicitur. Sed tamen postea etiam, quamvis menses ad solem deducant, tempus similiter dividentes, Kalendas, Nonas, Idus, etiamnum vocant, nominibus abutentes: quibus antea ad lunæ cursum proprie utebantur. Non igitur absurdum fuerit, si nos quoque instantem et præcipitem dixerimus, non ad lunæ amplius, sed ad solis curriculum tempora digerentes. Proportione itaque apud nos respondebit neomenia Kalendis Romanis; instans vero, et supra decem, et præceps, seu desinens, illis dicendi modis Latinis, ante Nonas, ante Idus, ante Kalendas. Ut vero nobis non amplius usus extremi et primi, sic B ne Romanis quidem interlunii; diem enim (cujus pars desinenti mensi, pars incipienti competit secundum lunam) Romani ita vocant. Hæc igitur sic accepta bene quidem habeant. Neque vero hic sermo privat rudes, et idiotas dierum lunæ cognitione, quotnam scilicet quotidie sint. Multum enim ad id conducit dierum solaris mensis peritia; faciliusque est eos dies epactis adjicienti hujusmodi lunarem numerum invenire. Atque hic non requirenda subtilis exactaque diligentia. Epactæ sint A; numerus dierum solaris mensis seriatim continuatorum sit B; numerus mensium anni consequentium a Martio quidem incipientis C; conflatus ex A, B, C numerus, sit D; numerus excedens triginta sit E; excessus ille vocetur F; numerus die- C rum lunæ consequentium sit G. Cæterum D erit qualis G, nisi E sit D. Quod si sit, F erit qualis D. A vero, id est epactarum summa, quæcunque sit, sumenda est. Sufficit enim vulgo illa quæcunque sit. Sunt itaque viginti octo epactæ præsentis anni a vere incipientis. Verum augeantur per singulos annos similiter a vere inchoantes, additione undecim. Et quando hic numerus triginta excesserit, sumatur ille excessus A. Et sic semper augenti et accipienti sumendum est A. Fiat additio H. Alter excessus sit I, additione H, simul sumpta cum A, id est, cum viginti octo epactis præsentis anni A, excrescens summa erit dierum novem sequentis anni a vere inchoativi: et rursus facta additione, erunt viginti **166** epactæ sequentis anni; deinde una epacta anni qui succedet. I enim excessus secundus una duntaxat epacta est. Et ita assidue fiat; peritius vero sic.

Εὕρεσις τῶν ἐπακτῶν.

ΙϚ'. Διῃρήσθω παρὰ ἑνεακαίδεκα τὰ ἀπὸ γενέσεως τοῦ Θεοῦ ἀπαγόμενα ἔτη, προσκειμένου τούτοις καὶ ἑνὸς ἔτι ἑτέρου ἔτους. Εἰλήφθωσαν δὲ αἱ ὑπὲρ τὰς ἑνεακαιδεκάδας περιττεύουσαι ἡμέραι, καὶ πολυπλασιασθήτωσαν ἐπὶ τὸν ἕνδεκα· εἶτα διαιρεθήτωσαν παρὰ τριάκοντα. Αἱ γὰρ ὑπὲρ τὰς τριακοντάδας πλεονάζουσαι τὸ α' αἱ ἐπακταί εἰσιν. Οἷον, χίλια μὲν καὶ τετρακόσια καὶ ἑβδομήκοντα νῦν τὰ ἀπὸ Θεογονίας ἔτη. Προσκείσθω δὲ τούτοις καὶ ἕν. Διαιρεθέντων δὴ τούτων παρὰ ἑνεακαίδεκα, δῆλον ὅτι ὀκτὼ αἱ πλεονάζουσαι. Ληφθεισῶν δὲ τῶν ὀκτὼ ἐπὶ τὸν ἕνδεκα, ὀγδοήκοντα καὶ ὀκτὼ γίνεται τὸ ἐκ τούτων. Διαιρεθέντος δ' αὖ τούτου εἰς τριακοντάδας, τὸ πλεονάζον ἔσται εἴκοσι καὶ ὀκτώ. Τοῦτο δ' ἦν α' τοῦ νῦν παρόντος ἐνιαυτοῦ· ἀνάλογον δὲ καὶ τὸ λοιπὸν αἰεὶ ἡ εὕρεσις ἔσται τοῦ α'. Πάλιν δὴ καὶ οὕτω λαβόντα τὸ α', προσθετέον αὐτῷ τὸ β' καὶ γ'· τό τε σύνολον τὸ δ'

Inventio epactarum.

XVI. Dividantur anni a natali Christiano per no- D vemdecim, his uno altero anno etiam addito. Sumantur vero dies, qui ex ea divisione (quæ fit per novemdecim) supererunt: et multiplicentur per undecim, deinde dividantur per triginta. Qui certe supra tricesimas illas dies remanebunt, sunt A epactæ. Verbi gratia, nunc a natali Christiano sunt mille quadringenti septuaginta anni. Adjiciatur his unus. His ergo per novemdecim distributis, certum est octo superare. Sumptis vero his octo, et per undecim multiplicatis, qui conficitur inde numerus, continet octoginta octo. Hoc rursum diviso per triginta, excurrens summa capit duodetriginta. Id autem est A epacta præsentis anni: similique ratione in posterum erit epactarum inventio. Sic igitur iterum sumptis epactis, A scilicet, adjiciatur et B, et C, tum D: summa ex iis conflata dicenda

Digitized by Google

est C, nisi excesserit triginta. Nam si excesserit, A hic excessus erit dicendus. Neque vero horum quidquam festis diebus impedimento est. Anno enim toto in duas et quinquaginta septimanas distributo, ex quatuor septimanis singuli menses a nobis constituerentur, et præter id numeri quatuor dies habebunt sanctissimos, singulos per septimanam: nisi si forte antevertentes aliqui a Dominico die incipiant, vel tardius incedentes intra mediam septimanam. At mensis Plethonis sex festos dies continens, aufert plus justo necessariorum civitati operum. Ignavos enim atque inertes esse necesse est eos, qui festa agitant. Et simul tres dies festos esse deinceps ex Plethonis institutione usuvenit: mensis quidem ultimum (quem veterem vocat) Plutoni: veterem et novum, id est, intermenstruum sui cujusque recognitioni: novilunium autem Jovi. Verum id ita evenire fastidiosum sit. Itaque per intermissionem agere (eorum enim quæ intervallo fiunt, si jucunda quidem sunt, jucundior est sensus: sin autem molesta, tolerabilior), et quam paucissimas ferias celebrare melius sit. Unum enim hoc civile institutum perniciosum, multas scilicet agere: ac signum est non pietatis, sed voluptatis. Cæterum qui dies forent celebres feriatique, Plethoni quidem non erat indecens recensere, ut qui alios dies festos, quam qui a nobis recepti sint, constituat. Nobis vero id minime opus est: cum de his in præsentia sermo susceptus non sit. Nam certum est, Christo resurgenti rituales et legitimos quatuor dies mensem quemlibet habiturum. Commodius enim, quam possumus minimo res divinas contrahere. At diem festum nobis ipsis spectandis singulis mensibus præscribendum, et rerum a nobis patratarum inspectionem semel in mense faciendam, ut censet Plethon, nos quidem negamus. Verum pium sanctumque sit id quotidie, nedum feriis, actitare, nocte scilicet a somno sufficienti, et cibi concoctione prima, nobiscum reputantes, quidnam piaculi pridie admissum sit, quod expiatum iri oporteat postridie: tum hoc statim ab aurora correcto, purifica piacularia oracula auscultare, factosque sanctissimorum sacrorum spectatores, et bonis interdum avibus illo sacrificio, sanctificaque hostia delibata, a tali principio ad operas nostras abire. Sed de his alias.

ρητέον εἶναι τὸ η', ἐὰν μὴ ὑπερέχῃ τῶν τριάκοντα. Ἐὰν δ' ὑπερέχῃ, τὴν ὑπεροχὴν εἶναι λεκτέον. Ἀλλὰ μὴν οὐδὲ ταῖς ἱερομηνίαις ἐμποδὼν καθίσταται τούτων οὐθέν. Τοῦ γὰρ ὅλου ἐνιαυτοῦ διαιρουμένου εἰς πεντήκοντα καὶ δύο ἑπτάδας, ἐκ τεττάρων δὴ καὶ ἡμῖν τῶν μηνῶν ἕκαστος ἔσται ἑπτάδων, ἔξω τῶν ὑπεραρίθμων γε ἡμερῶν· καὶ τέτταρας ἕξει τὰς ἁγιωτάτας τῶν ἱερομηνιῶν δι' ἑβδόμης μίαν· πλὴν εἰ ἄρα ἀπὸ κυρίας ἄρχοιτο προτερῶν, ἢ μεταξὺ τῆς ἑπτάδος που ὑστερῶν. Ἐξ δὲ ὁ τοῦ Πλήθωνος ἔχων, πλέον τι τοῦ δέοντος ἀφαιρεῖται τῶν ἀναγκαίων ἔργων τῇ πόλει. Ἀργεῖν γὰρ ἀνάγκη τοὺς ἄγοντας ἱερομηνίαν. Καὶ ἅμα τρεῖς ἐφεξῆς ἱερομηνίας συμβαίνει ποιεῖσθαι· ἕνην μὲν Πλούτωνι· ἕνην δὲ καὶ νέαν ἐπὶ τῇ ἑαυτῶν ἐπισκέψει· νουμηνίαν δὲ τῷ Διΐ. B Τοῦτο δὲ προσκορὲς ἂν εἴη οὕτω συμβαῖνον. Βέλτιον οὖν διαλείποντας ἄγειν (τῶν γὰρ ἐκ διαλειμμάτων, ἡδέων μὲν ὄντων, ἡδίων ἡ αἴσθησις, λυπηρῶν δὲ, εὐφορητοτέρα·) ὀλίγας τε ὡς ἔνι μάλιστα ἄγειν ἑορτάς· ἐν γὰρ τῶν φαύλων πολιτευμάτων ἐστὶ καὶ τὸ πολλὰς ἄγειν· καὶ σημεῖον οὐ θεοσεβείας, ἀλλὰ τρυφῆς ἐστι. Τίνες δ' ἂν εἴησαν ἱερομηνίαι, Πλήθωνι μὲν ἥρμοττε φάναι, ὡς δή τινας ἑτέρας τῶν ἡμῖν νομιζομένων νομοθετοῦντι· ἡμῖν δὲ ἥκιστα δεῖ, ἄλλως τε καὶ μὴ περὶ τούτου νῦν ὄντος τοῦ λόγου. Δῆλον γὰρ ὅτι τὰς νομιζομένας τέτταρας ἕξει τῶν μηνῶν ἕκαστος Θεῷ τῷ αὐτῷ ἀναστάντι. Ἄμεινον γὰρ εἰς ἐλάττω ὡς ἂν μάλιστα ἢ συναιρεῖν τὰ περὶ τὸ Θεῖον. Τῇ δ' ἡμῶν αὐτῶν ἐπισκέψει ἱερομηνίαν ὁρίσαι ἀνὰ ἕκαστον μῆνα, καὶ ἅπαξ τοῦ μηνὸς ἐπίσκεψιν ποιεῖσθαι τῶν πεπραγμένων ἡμῖν, ὡς ἀξιοῖ Πλήθων, οὐχ ἡμεῖς γέ φαμεν· ἀλλὰ καθ' ἡμέραν ἑκάστην τοῦτο ποιεῖσθαι ἄνευ ἱερομηνίας, νύκτωρ ἐπὶ ὕπνῳ ἱκανῷ, καὶ τροφῆς πέψει τῇ πρώτῃ ἀναλογιζομένους τί δήποτε πεπραχότες τῇ προτεραίᾳ ἐσμέν· κἄν τι ᾖ πεπλημμελημένον, ἑωθεν εὐθὺς, ἢ ὅσιον, ἐπανορθωσαμένων, λογίων ἀκροᾶσθαι καθαρτικῶν, καὶ ἐπόπτας τῶν ἁγιωτάτων ἱερῶν γενομένους. Ἐνίοτε δὲ μοίρᾳ ἀγαθῇ καὶ τοῦ θύματος γευσαμένους, ἐπ' ἔργον πορεύεσθαι ἀπὸ τοιαύτης ἀρχῆς. Ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις.

Quomodo septimanæ dies sunt numerandi.

XVII. Licet vero septimanæ dies numerare, vel ut Græci hujus ætatis, primum diem Dominicum vocantes: secundum vero, id quod revera est, secundum: deinde tertium, quartum, quintum, sextum, septimum: vel ut hodie Romani secundum stellas erraticas, post Dominicum lunæ diem statuentes, deinde Martis, ad hæc Mercurii, præterea Jovis, postea Veneris, demum Saturni. Parasceven enim diem sextum appellare, et septimum Sabbatum, id apud nos, ut videtur, nullam rationem habet, sed apud Judæos fortasse: nimirum ante Sabbatum illos apparatum facere oportet, ut qui superstitiosa quadam religione obstricti, nihil negotii

D *Πῶς ἀριθμητέον τὰς τῆς ἑβδομάδος ἡμέρας.*

ΙΖ'. Ὑπάρχει δὲ καὶ τὰς τῆς ἑπτάδος ἡμέρας ἀριθμεῖν ἤτοι ὡς οἱ νῦν Ἕλληνες, τὴν μὲν πρώτην κυρίαν καλοῦντας, τὴν δὲ δευτέραν, τοῦτ' αὐτὸ δευτέραν· εἶτα τρίτην, τετράδα, πέμπτην, ἕκτην, ἑβδόμην· ἢ ὡς οἱ νῦν Ῥωμαῖοι κατὰ τοὺς πλάνητας τῶν ἀστέρων, μετὰ τὴν κυρίαν σελήνης ἡμέραν, εἶτα Ἄρεος, εἶτα Ἑρμοῦ, εἶτα Διὸς, εἶτα Ἀφροδίτης, εἶτα Κρόνου. Τὸ δὲ Παρασκευὴν μὲν τὴν ἕκτην, Σάββατον δὲ ὀνομάζειν τὴν ἑβδόμην, οὐκ ἔχει, ὡς ἔοικε, λόγον ἡμῖν· ἀλλὰ Ἰουδαίοις ἴσως· παρεσκευάσθαι γὰρ ἐκείνους πρὸ τοῦ Σαββάτου δεῖ, ὡς δὴ μηθενὸς ἔργου ἁπτομένους ὑπὸ δεισιδαιμονίας τῇ ὑστεραίᾳ. Ἡμῖν δὲ οὐθὲν δεῖ. Οὔτε γὰρ τῇ ἑβδόμῃ ἀργοῦμεν

Digitized by Google

ἡμεῖς, τῇ καλουμένῃ Σάββατον Ἰουδαίοις· ἀλλὰ τῇ πρώτῃ, κυρίᾳ ἡμῖν οὔσῃ καὶ ἱερομηνίᾳ Χριστῷ ἀναστάντι· οὔθ' οὕτως ἀργοῦμεν ἄγοντες ἑορτὴν, ὡς μηδὲ ἐψῆσαί τι, καὶ τράπεζαν παραθέσθαι θεμιτὸν εἶναι· ἀλλὰ δεῖν παρεσκευάσθαι πᾶν τῇ προτεραίᾳ. Οὐκοῦν οὔτε τι χρήσιμον, οὔτ' ἄλλως εὔσχημον ἡμῖν τὰ Ἰουδαίων ταῦτα ὀνόματα εἰς καταρίθμησίν γε ἑβδομάδος τῆς ἡμετέρας λαμβάνειν. Οὐδὲ δὴ καὶ τὸ Σάββατον οὖν ὁμοίως ἔχει τῷ Ὡσαννὰ καὶ τῷ Σαβαώθ· ἅπερ ἔκφυλα μὲν καὶ ταῦτα· ἐπιφωνεῖται δ' ὅμως ἐν ταῖς ἱεροποιίαις ἑκάστοτε παρὰ τῶν ζακόρων ἐπάναγκες. Τὰ μὲν γὰρ ἐξωσιωμένα δὴ τοῖς κυριωτάτοις καὶ μεγίστοις τῶν ἱερῶν ὄντα κατά τι ἀπόῤῥητον μὴ οὐ θεμιτὸν ᾖ παραλλάττειν· τὸ δὲ περιειργάσθαι καὶ μηδεμίαν ἔχον ἀνάγκην Ἰουδαΐζειν. Ἡμεῖς μὲν τοίνυν περὶ μηνῶν τε καὶ ἡμερῶν, καὶ ἐνιαυτοῦ, οὕτω χρῆσθαι μάλιστα ἀξιοῦμεν.

A obeant postridie. Verum id nostra nihil interest. Neque enim septimo die ab omni opere feriamur inertes, qui dies a Judæis Sabbatum a quiete nuncupatur; sed ipso die primo, qui nobis est Dominicus, sacerque Deo resurgenti. Neque tamen sic otiamur, ut vel elixare, vel mensam sternere religio sit, operæque sit pretium omnia pridie præparata habere. Ergo nec utile, nec alioqui honestum, hæc Judæorum nomina in nostræ septimanæ calculum assumere. Nec enim sic se habet Sabbatum, ut **167** Hosanna et Sabaoth: quæ aliena quidem cum et ipsa sint, tamen in hunc usque diem in sacrificiis acclamatione communi ab ipsis sacrorum ministris necessario usurpantur. Quæ enim a maximis pontificibus alicujus arcani gratia sancita sunt, B nefas sit immutare. Superstitiose vero et anxie agere, quod nullum usum, cogentemque necessitatem habet: id redolet Judaismum. Nos igitur mensibus, diebus et anno sic uti maxime dignum putamus.

Πῶς δεῖ ἄγειν τοὺς χρόνους κατ' Ἀθηναίους.

ΙΗ'. Εἰ δέ τῳ διαφέροι ἄγειν ὡς Ἀθηναῖοι, τῇ μὲν τάξει χρήσεται δὴ τῇ ἐπιδειχθείσῃ, εἴ τι ὁ λόγος ὅδε διαιρεῖ· ἀρχὴν δὲ τάξας τοῦ ἔτους τὰς θερινὰς τροπὰς, ὁρᾷ τῶν μηνῶν τοὺς μὲν τριακονθημέρους καὶ πλήρεις, τοὺς δὲ μιᾷ τῶν ἑτέρων λειπομένους ἡμέρᾳ ἐναλλὰξ παρ' ἕνα, ὡς ἡμίσεώς που ἐνδέοντος μιᾶς, πρὸς τὸ τριακονθήμερον εἶναι τὸν τῆς σελήνης μηνιαῖον χρόνον. Ἀριθμήσεται δὲ τὰς ἡμέρας ἄχρι τῆς εἰκοστῆς, ὃν εἴρηται τρόπον· μετὰ δὲ ταύτην, δεκάτην φθίνοντος, εἰ πλήρης ὁ μήν· εἶτα ἐνάτην, καὶ ἑξῆς ἀναστρέφων ἄχρι δευτέρας· μεθ' ἣν ἔνην καὶ νέαν. Εἰ κοῖλος ὁ μὴν, ἐνάτην φθίνοντος, καὶ ἑξῆς τὸ ἀνάλογον, ὡς καὶ Πολυδεύκης ἀριθμεῖ· οὐχ ἱκανῶς δὲ, διότι κοίλου μόνου καταλέγει ἡμέρας. Πλήθων δὲ ἔνην μὲν τὴν εἰκοστὴν ἐνάτην, ἔνην δὲ καὶ νέαν τὴν τριακοστὴν λέγων, οὐδὲν ἀπᾴδον ἡμῶν φησι, τό γε περὶ τὸ πρᾶγμα. Ἦν γὰρ δευτέραν φθίνοντος ἡμεῖς ἀριθμοῦμεν, ἔνην καλεῖ, ἵν' ἴσως αὐτῷ ἱερομηνία οὖσα τῷ Πλούτωνι, αὐτόθεν δὴ κἀκ τῆς προσηγορίας τὸ σεμνὸν ἔχῃ καὶ τραγικόν. Δεῖ γὰρ καί τινος τοιούτου τοῖς περὶ τὰ ὅσια πραγματευομένοις. Πειρατέον δὲ κατὰ σελήνην ἀριθμεῖν τὰς ἡμέρας. Ἐπεὶ καὶ τὸ τῶν μηνῶν τοὺς μὲν πλήρεις, τοὺς δὲ κοίλους λαμβάνειν, τοῦτ' βούλεται. Οὐχ ἱκανὸν δέ· ἀλλὰ δεῖ που καὶ ἄλλ' ἅττα πραγματεύεσθαι συχνὰ, εἰ μέλλοι σώζεσθαι τὸ ὁμόλογον· χαλεπὸν δὲ διὰ τὴν πολλὴν τῆς σελήνης ἀταξίαν. Δι' ὅπερ οὐδ' Ἀθηναῖοι φαίνονται κατορθοῦντες· ὡς ἔστι τεκμήρασθαι καὶ ἐξ ὧν δὴ ὁ κωμικὸς ποιεῖ τὴν σελήνην θυμαίνειν, ὅτι οὐδὲν κατὰ σελήνην ἦγον τὰς ἡμέρας Ἀθηναῖοι ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω ἐκυδοιδόπων· οὕτω γὰρ κέχρηται τῇ λέξει. Πειρατέον μέντοι κατὰ τὸ δυνατὸν διορθοῦσθαι, χρωμένους τοῖς ἐμπειροτάτοις ἀεὶ τῶν ἀστρολογικῶν θεωρημάτων συμβούλοις.

Quomodo secundum Athenienses agenda sunt tempora.

XVIII. Quod si cujus interesset secundum Athenienses agere, ordine quidem utetur demonstrato: si quid ordinis præsenti sermone consecuti sumus. Verum postquam ab æstivo solstitio anni principium ordinaverit, mensium describet alios tricenarios et plenos, alios vero uno die minus aliis alternis vicibus censos; quasi deficiente diei certe dimidio, ut menstruum lunæ tempus sit tricenum dierum. Supputabitur autem dierum ratio, quo supradictum est modo, usque ad vicesimum: secundum quem, si mensis est plenus, dices decimum præcipitis, deinde nonum, et ita deinceps ordine præpostero usque ad secundum: post quem extremum primum, seu veterem et novum. At si mensis cavus sit, nonum desinentis post vicesimum dices, et simili deinceps ratione, ut etiam Pollux enumerat, sed non sufficienter quidem, ut qui solius cavi dies recenseat. Plethon vero vicesimum nonum veterem appellans, et tricesimum veterem et novum, nihil nobis, quantum ad hanc rem, dissonum affert. Diem enim, quem secundum præcipitis dicimus, ille veterem appellat, ut forte sacrum ipsi Plutoni exsistentem. Nam ex hujusmodi appellatione nescio quid grave, superciliosum et tragicum præ se fert: quæ res apprime opus est iis qui tractandis sacris vehementius occupantur. Enimvero periclitandum est ad lunam dies numerare. Quando etiam id sibi vult ea mensium constitutio, cum pleni alii, alii cavi sumuntur. Sed non sufficit tamen. Siquidem et alia quædam crebro commentari oportet, si consonantiam æqualitatemque servare velimus: id quod propter non parvam lunæ confusionem est difficile. Quo fit, ut neque Athenienses videantur recte atque ordine procedere, ut ex eo conjectari est, quod comicus lunam facit iis succensere, quod non recte ad suum ipsius curriculum tempora dirigerent, sed infra supra confunderent; sic enim ille loquitur. Experiendum tamen est emendare pro virili, utendo assidue peritissimis astrologiæ speculationum præceptorumque consiliariis.

Digitized by Google

De mense intercalario.

XIX. Et mense quidem intercalario Atticis annis etiam opus est, uti prius explicavimus, ut menses perseverent temporibus concordes. Inserendum itaque Scirophorioni mensi, qui respondet Maio, dies triginta. Testesque hujus rei Macrobius scriptor Romanus et Herodotus. Nam ille in *Saturnalibus*, dum Glaucippum in commentariis de sacris Atheniensium interpretatur, dicit Athenienses ultimo mensi anni superfluos dies injicere; atqui ultimus est Scirophorion. Rursum Herodotus intercalationem esse dierum tricenum abunde manifestat his verbis: « Quod si volet, inquit, alterum annum esse quam alterum, uno mense majorem, ut tempora eodem opportune recurrant, menses quidem intercalarii triginta quinque fiunt per annos septuaginta, dies vero ex his mensibus mille et quinquaginta. »

Quoto autem quoque anno intercalandum sit, si quis Herodoto fidem habendam putat, ex nuper appositis quod quærit sumere potest. Alternis enim intercalationem fieri declarat, dum dicit alterum ex duobus annis fieri altero longiorem, et dum quinque et triginta menses intercalarios per septuaginta annos enumerat. Id quod forsan adhuc indiget consideratione, quonam pacto per alternos annos intercalatis diebus triginta contingat menses tempestatibus competere. Quando sane temere per plura fiat, quod fieri possit per pauciora; atqui per pauciora fiat, si quarto quoque anno factum æque recte habeat. Sumptis quidem mensibus, ut retulimus, et intercalatis diebus triginta post tertium quemque annum, hoc est intervallo duorum annorum intercalationem fieri, nisi si ab hoc inchoativo quopiam die solstitiali annus incipiat. Sunt autem inchoativi solstitiales, primus, secundus, tertius, universæ perfectæque periodi. Primus quidem primi annorum undenarii, et imperfectæ periodi; secundus vero secundi undenarii, et imperfectæ periodi; tertius autem sequentis octonarii justum numerum universæ perfectæque **168** periodi implentis. Nam hoc genus curriculi, ut plena in his fiat annorum revolutio, ternarium illum annorum gradum expetit. Porro accidit nihil ultimo anno superfluere; sed vel deficere, ut in primo et secundo undenario; vel æquare, ut in sequente quidem octonario. Quapropter necesse est continuo illi anno, qui initialem excipit, dies abundantes adjicere. Altera tamen additione etiam opus est, propter excurrentem particulam: siquidem quarto quoque anno dies unus deest. Repleatur itaque per vices hoc modo.

Fac esse Hecatombæonis neomenia solstitium primo anno: sequente profecto erit duodecimo die Hecatombæonis; eique addito intercalario, ipsique supplementum confectum est, et sequenti anno, puta tertio, solstitium exsistit vicesimo secundo die mensis intercalarii, et superflui sunt dies octo; atqui undecim oportebat. Itaque in quartum instantis Hecatombæonis solstitium quarto anno redit; deinde in decimum quintum anno consequenti, in

Περὶ ἐμβολίμου μηνός.

ΙΘ'. Καὶ μὲν δὴ καὶ μηνὸς ἐμβολίμου δεήσει τοῖς Ἀττικοῖς ἔτεσι, καθάπερ εἴρηται πρότερον, ἵν' οἱ μῆνες συμβαίνοντες διατελῶσι ταῖς ὥραις. Ἐπεμβλητέον δ' ἄρα ἐπὶ Σκιροφοριῶνι μηνὶ τριάκοντα ἡμέρας. Μάρτυρες δὲ τούτων Μακρόβιος Ῥωμαῖος συγγραφεὺς καὶ Ἡρόδοτος· ὁ μὲν λέγων ἐν τοῖς *Κρονίοις* τῶν συγγραμμάτων, μεθερμηνευόμενος Γλαύκιππον ἐν τοῖς περὶ τῶν Ἀθήνῃσιν ἱερῶν καὶ ὁσίων ὑπομνήμασι, φάναι Ἀθηναίους τὰς περιττὰς ἡμέρας τῷ τελευταίῳ ἐπεμβάλλειν μηνὶ τοῦ ἐνιαυτοῦ· τελευταῖος δὲ Σκιροφοριὼν ἦν· ὁ δὲ αὖ ἐκ τούτων διασαφῶν τριακονθήμερον τὸν ἐμβόλιμον εἶναι· « Εἰ δὲ δὴ ἐθελήσει τοῦ θ' ἕτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι εἰς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριάκοντα πέντε, ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων χίλιαι καὶ πεντήκοντα. »

Δι' ὁπόσου δὲ χρόνου ἐπεμβλητέον, εἴ τις Ἡροδότῳ πείθεσθαι ἀξιοῖ, αὐτόθεν ἐκ τῶν νῦν δὴ παρατεθέντων ἔχει λαβεῖν τὸ ζητούμενον. Ἐναλλὰξ γάρ τοι παρ' ἕνα γίνεσθαι τὸν ἐμβολισμὸν δηλοῖ τοῦ θ' ἕτερον τῶν ἐτέων λέγων, καὶ τριακονταπέντε μῆνας ἐμβολίμους τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμῶν. Ἢ τοῦτο μὲν ἴσως δεῖται σκέψεως, πῶς ἂν, θατέρῳ ἀεὶ τῶν ἐτῶν ἐπεμβαλλομένων. τριάκοντα ἡμερῶν, συμβαίνοι τοὺς μῆνας ὁμολογεῖν ταῖς ὥραις ἀεί· ἐπεὶ δὲ μάτην ἂν γίνοιτο διὰ πλειόνων τὸ δι' ἐλασσόνων δυνάμενον γίνεσθαι· γίνοιτο δ' ἂν δι' ἐλασσόνων, εἰ διὰ τετάρτου ταύτῃ γινόμενον εὖ ἂν ἔχοι· ληφθέντων μὲν τῶν μηνῶν καθ' ἃ εἴρηται, ἐπεμβαλλομένων δὲ τριάκοντα ἡμερῶν τῷ τρίτῳ ἔτει ἀεί, τοῦτο δ' ἐστὶ παρὰ δύο γίνεσθαι τὸν ἐμβολισμόν· πλὴν εἰ ἄρα ἀπό τινος τῶν ἀρχικῶν τροπικῶν ἡμερῶν ἄρχεται ὁ ἐνιαυτός. Αὗται δ' εἰσὶ πρώτη, δευτέρα, τρίτη, τῆς ὅλης καὶ αὐτοτελοῦς περιόδου· πρώτη μὲν τῆς πρώτης ἐνδεκάδος καὶ ἀτελοῦς περιόδου· δευτέρα δὲ τῆς δευτέρας ἐνδεκάδος καὶ ἀτελοῦς περιόδου· τρίτη δὲ τῆς ἐξῆς ὀκτάδος συμπληρούσης τήν τε ὅλην καὶ αὐτοτελῆ περίοδον. Βούλεται μὲν γὰρ ἡ ἔφοδος κἀπὶ τούτων τὴν τριάδα· συμβαίνει δὲ περιττεύειν μηθὲν τῷ τελευταίῳ ἔτει· ἀλλ' ἢ τοι ἐλλείπειν, ὡς ἐπὶ τῆς πρώτης ἐνδεκάδος καὶ τῆς δευτέρας, ἢ ἰσάζειν, ὡς ἐπὶ τῆς ἐξῆς γε ὀκτάδος. Δι' ὅπερ ἀνάγκη τῷ μετὰ τὸ ἀρχικὸν εὐθὺς ἔτει ἐπάγειν τὰς περιττάς. Δεῖ μέντοι καί τινος ἑτέρας προσθήκης διὰ τὰ ἐπιτρέχοντα μόρια, εἴ γε ἡμέρας ἐλλείπει μιᾶς που διὰ τετραετηρίδος. Ἀναπληρωτέον δὲ κατὰ μέρος ὧδε.

Ὑποκείσθω Ἑκατομβαιῶνος νουμηνία τὴν τροπὴν εἶναι τῷ πρώτῳ ἔτει· οὐκοῦν τῷ δευτέρῳ δευτέρα ἐπὶ δέκα. Τούτῳ δ' ἐπαχθέντος τοῦ ἐμβολίμου, αὐτό τε συμπεπλήρωται, καὶ ἡ τροπὴ ὀγδόῃ τοῦ ἐμβολίμου φθίνοντος ὑπάρχει τῷ ἐπιόντι, καὶ περιτταὶ ὀκτώ· δεῖ δὲ ἑνδεκα. Οὐκοῦν εἰς τετάρτην ἱσταμένου τοῦ Ἑκατομβαιῶνος ἐπανήκει τῷ ἐξῆς ἡ τροπή· εἶτα εἰς πέμπτην ἐπὶ δέκα τῷ ἐχομένῳ πρόεισι. Τοῦτο δ' αὖ ἐμβολάζον εἰς πέμπτην τοῦ ἐμβολίμου φθίνοντος

Digitized by Google

καθίστησι τὴν τροπὴν τῷ ἐπιόντι, καὶ περιττὰς πέντε. Ὥστε τὸ ἐφεξῆς δὴ ἑβδόμῃ ἱσταμένου τοῦ Ἑκατομβαιῶνος τροπιάσει, καὶ ὀγδόῃ ἐπὶ δέκα τὸ μετ' αὐτό. Τούτου δὲ πάλιν ἐμβολάζοντος, ἡ τροπὴ δευτέρᾳ τοῦ ἐμβολίμου φθίνοντος ἔσται τῷ ἐπιόντι, καὶ περιτταὶ δύο. Τῷ ἄρα ἑξῆς εἰς δεκάτην τοῦ Ἑκατομβαιῶνος περιΐσταται ἡ τροπὴ, καὶ τῷ ἐπὶ τούτῳ εἰς δεκάτην δὴ φθίνοντος. Τουτὶ δ' ἐμβολάζον τελευταῖον τῆς πρώτης ἐνδεκάδος, εἰς δευτέραν ἱσταμένου τοῦ Ἑκατομβαιῶνος ἀποκαθίστησι τὴν τροπὴν, περιττὴν μὲν μηδεμίαν ὑπολεῖπον, μιᾶς δ' ἔτι δέον. Αὕτη μὲν οὖν πρώτη ἐνδεκάς, καὶ περίοδος ἐν μέρει καὶ ἀτελὴς, ἀρχομένη μὲν ἀπὸ νουμηνίας τοῦ Ἑκατομβαιῶνος, τελευτῶσα δὲ εἰς δευτέραν ἱσταμένου, δι' ἑπτάδος ἰθαγενοῦς δηλαδὴ βοηθουμένης τετράδος ἐμβολιμαίων ἐτῶν· δευτέρα δὲ ὁμοία εἰς τρίτην ἱσταμένου ἀποκαθίστησι τὴν τροπήν· τρίτην δ' ἔχουσα τάξιν ὀκτὰς, ὁμοίως ἐφοδευομένη, πληροῖ τὴν τῆς ὅλης καὶ αὐτοτελοῦς περιόδου ἀποκατάστασιν, εἰς νουμηνίαν ἀποκαθιστᾶσα τοῦ Ἑκατομβαιῶνος. Καὶ ἀεὶ οὕτως περιΐστάμεναι αἱ τροπαὶ, ὁμολόγως τοῖς μησὶν ἕξουσι, προστιθεμένων καὶ τῶν ἐπιτρεχόντων μορίων, ὅπως ἂν ἄμεινον δοκῇ προστιθέναι. Θεωρείσθω δὲ ταῦτα κἀπὶ τῆς ἐκτεθείσης διαγραφῆς. Ταῦτα μὲν ἐκ τούτων θεωρείσθω, ὅτῳ ἐπιμελές· εἰ δέ τῳ φίλον καὶ κατὰ Πλήθωνα διαιρεῖν τε καὶ ἀριθμεῖν, οὐδ' αὐτῷ τι κωλύει χρῆσθαι τῇ τάξει τε καὶ ὀνομασίᾳ τῶν μηνῶν τῇ ἀποδοθείσῃ. Κἂν Πλήθων οὕτω διονομάζων περὶ μηνῶν ἔγραφεν, εἰ παρ' ἄλλου λαβεῖν τὴν πρὸς ἀλλήλους σύνταξιν τῶν μηνῶν εἶχεν ὀρθῶς· οὐθὲν γὰρ αὐτῷ οὔτε τὰς ἱερομηνίας, οὔτε τῶν ἡμερῶν τὴν καταρίθμησιν ἐλυμαίνετ' ἂν ἡ γε τῶν μηνῶν ὀνομασία, ὡς Ἀθηναῖοι ἦγον· ἐῶ λέγειν, ὡς καὶ ἐσέμνυνεν ἂν κομιδῇ ἐπικοσμοῦσα τὸ γράμμα. Νῦν δ' ὅδε τὸ μὲν ἄτοπον ἡμῖν τῆς ἐκφορᾶς τῶν Ῥωμαϊκῶν ὀνομάτων φεύγων, Ἰανουάριον καὶ Φεβρουάριον, καὶ τὰ τοιαῦτα οὐκ ὀνομάζει· ἀπορῶν δὲ τὴν σύνταξιν τῶν Ἑλληνικῶν, καὶ τὸ περὶ τὴν ζήτησιν ταλαίπωρον εὐλαβούμενος, ἐπὶ τὸ πρόχειρον τρέπεται τοῦ ἀριθμοῦ.

A quo intercalatione facta quinto et vicesimo die mensis intercalarii sequenti anno, scilicet sexto, solstitium collocatur, et superfluunt quinque. Quapropter annus septimus sequens septimo ineuntis Hecatombæonis solstitium peraget, et decimo octavo annus octavus. Hoc rursum intercalari facto, solstitium erit vicesimo nono die mensis intercalarii anno sequente, et dies abundantes duo. Anno vero decimo, in decimum Hecatombæonis solstitium circumagitur : et proximo in vicesimum primum, qui factus intercalaris ultimus quidem primi undenarii, in secundum Hecatombæonis solstitium restituit, nullum superfluum relinquens, sed adhuc die uno indigens. Ipse igitur primus undenarius, et particularis periodus, et imperfecta, incipiens quidem a novilunio Hecatombæonis, die vero secundo ejusdem finiens, per septem scilicet annos naturales, opitulante intercalarium annorum quaternione. Secundus præterea undenarius similiter in diem tertium Hecatombæonis solstitium rejicit, at tertio loco octonarius positus pariter decursus, perficit illam universæ perfectæque periodi plenam instaurationem, solstitium in neomeniam Hecatombæonis restituens. Et sic semper circumacta solstitia cum mensibus congruent, additis etiam particulis excurrentibus quam commodissime addi posse videbuntur. Porro consideranda hæc sunt etiam in exposita descriptaque tabella, si cui id curæ est. Quod si cui placet secundum Plethonem distribuere, et numerare, nihil illum impediat, quominus et ordine utatur, et nominum ratione ante explicata. Atque etiam Plethon hac denominatione usus esset, cum de mensibus scriberet, si recte ab alio mutuari hanc mutuam mensium seriem potuisset. Neque enim ipsi suas ferias, dierumque enumerationem labefactasset Atticorum mensium nomenclatura : ut interim taceam, quantum dignitatis et splendoris attulisset, librum ipsum scripturamque abunde exornans. Nunc vero ille absurdam nobis Romanorum mensium enuntiationem refugiens, nec Januarium, nec Februarium, nec reliquos nominat : deque Græcorum mensium ordine dubitabundus, et laboris investigandi fugitans, ad numeri facilitatem divertitur.

Περὶ ἀρχῆς τῆς ἡμέρας.

Κ'. Ἡμέρας δ' ἀρχὴν (συγγενὲς γὰρ τῷ περὶ μηνῶν λόγῳ καὶ τοῦτο) Ἀθηναῖοι μὲν ἀφ' ἡλίου δυσμῶν ἦγον, τὴν νύκτα τῇ μετ' αὐτὴν ἡμέρᾳ λογιζόμενοι, καὶ τὸν μεταξὺ χρόνον μέχρι τῶν ἑτέρων δυσμῶν μίαν τιθέμενοι ἡμέραν, ὡς Αὖλος Ῥωμαίων λόγιος Μάρκον Βάρωνα ἀναγεγραφέναι φησί· Ῥωμαῖοι δὲ οἱ μὲν ἀρχαῖοι ἀπὸ μέσων νυκτῶν ἤρχοντο, οἷς καὶ Πλήθων ἑπόμενος ἀρχὴν τοιαύτην ποιεῖται· οἱ νῦν δὲ ἀφ' ἡλίου ἀνίσχοντος ἄγουσι· παραπλησίως δὲ καὶ οἱ νῦν Ἕλληνες. Καίτοι τοὐναντίον ἐχρῆν σύμπαντας τούς γε ἀπὸ Χριστοῦ ποιεῖσθαι, χαριζομένους τῷ ἀρχηγέτῃ. Οὕτω γὰρ μόνον ἔσται τριταῖον ἀναβιῶναι αὐτὸν τεθνεῶτα, ἐὰν ἡ τῆς ἡμέρας ἀρχὴ λαμβάνηται ἤτοι ἀπ' ἄκρας νυκτὸς, ὡς Ἀθηναῖοι ἦγον, ἢ ἀπὸ μέσης, ὡς Ῥωμαῖοι. Πότερον δὲ, οὐ ῥᾴδιον ἀποφήνασθαι. Οἱ μὲν γὰρ περὶ τὸν Ἄθων θεολόγοι κατὰ μέσην ἀκριβῶς

De principio diei.

XX. Principium vero diei (quandoquidem præsenti de mensibus sermoni id quoque germanum est) Athenienses a solis occasu observabant, noctem diei sequenti ascribentes, et omne in medium tempus ad alterum occidentem unum diem constituentes, ut Aulus Gellius, Latinus auctor non ineptus, Marcum Varronem scriptis mandasse tradit. At Romani priscis temporibus a media quidem nocte inchoabant : quos Plethon imitans idem principium facit. Nunc vero ab oriente sole inceptant, itidemque Græci. Quanquam contra oportebat Christianos omnes facere, id obsequii suo Principi exhibentes. Sic enim solum constabit illum mortuum tertio die revixisse, si vel a summa nocte, ut solebant Athenienses, vel a media, ut Romani, principium diei sumatur. Utrum vero potius, dictu non

Digitized by Google

est facile. Nam theologi, qui accolunt Athon montem, totis viribus contendunt circiter noctis medium resurrectionem factam esse; et sacra illa antelucana in ejus rei memoriam a media nocte incipiunt. Quorum ratio hoc habet, quod contigerit mulieres profundo quidem diluculo ad monumentum profectas, ut exsequiarum justa de more peragerent, defunctum non invenisse, ut Lucas in suo Evangelio perscripsit. Illud enim profundum diluculum proximum tempus mediæ nocti significare existimant. Simul vero sic quoque plus aliquanto tertii diei contineatur. Istudque plus **169** signum evidentius est ipsius dierum ternionis. Sed ex Italis Romani post mediam noctem id fuisse aiunt, et profundum illud sic intelligunt, ut a noctis medio sufficienter dirimant. Cum ergo nullus Evangelii scriptor doceat, qua parte noctis Christus surrexerit, tutius quidem videtur, si quis constituat a summa nocte diei principium. Nam quod mediam noctem subsequitur, accedit illi pro auctario. Quibus vero in hoc solum ratio sita est, non major est fiducia quod volunt assequendi quam periculum ab eo aberrandi. Hos enim vice versa hoc inconveniens sequetur, dum primam noctem diei principium ponunt; quod cum permissum sit carnibus vesci postridie, id quidem licebit a summa præcedente nocte: contra vero cum sit vetitum eadem die cœnam de carnibus sumere, non concedetur eadem nocte. Hac igitur de re melius diligentiusque denuo est considerandum: commodumque fuerit harum rerum peritos rogare et consulere. Hæc namque ita considerari observarique oportet, ut ex sermone nihil quidquam sacris contrarium eveniat, diemque pie ac sancte in Dei gratiam auspicemur.

A νύκτα γενέσθαι τὴν ἀναβίωσιν ἐξηγοῦνται, καὶ τῶν ἀναστατικῶν ἄρχονται ὀργίων εὐθὺς ἀπὸ μέσων νυκτῶν. Λόγος δ' αὐτῶν, ὅτι τὰς εἰς τὸ μνῆμα ἀφικομένας γυναῖκας ἐπαμείψασθαι τὰ νενομισμένα ὄρθρου μὲν ἔτι βαθέος παραγενέσθαι, μὴ εὑρηκέναι δὲ τὸν νεκρὸν, οἱ περὶ Λουκᾶν τῶν εὐαγγελιστῶν γεγράφασιν ἱστοροῦντες. Τὸ γὰρ τοῦ ὄρθρου βαθὺ τὸ ἐγγὺς που τῆς μέσης νυκτὸς μηνύειν ὑπολαμβάνουσιν. Ἅμα δὲ καί τι πλέον ἐπιλαμβάνοιτ' ἂν οὕτω τῆς τρίτης ἡμέρας. Τὸ δὲ πλέον, σημεῖον δὴ τῆς τριάδος ἐστὶν ἐναργέστερον. Τῶν δ' Ἰταλιωτῶν οἱ περὶ τὴν Ῥώμην μετὰ μέσην που νύκτα φασὶ, καὶ τὸ βαθὺ, ἀφιστάντες ἱκανῶς τοῦ μέσου, ἀκούουσι. Μηδενὸς δ' ἄρα τῶν συγγραφέων ἀποσαφοῦντος, ὁπότε τῆς νυκτὸς ὁ Θεὸς ἀναβιώῃ, ἔοικε μὲν ἀσφαλεστέρως ἂν ἔχειν, εἴ τις ἀπ' B ἄκρας νυκτὸς τιθείτο τὴν τῆς ἡμέρας ἀρχήν. Συμβαίνει γὰρ αὐτῷ ἐξ ἐπιμέτρου τὸ μετὰ τὴν μέσην. Οἷς δ' ἐπὶ τούτῳ μόνον ὁ λόγος βέβηκεν, οὐ μᾶλλόν τι θάῤῥος ἐπιτυγχάνειν, ἢ κίνδυνον παραναστατεῖν. Ἄτοπον μέντοιγε ἕτερον αὖ ἀκολουθήσει θεμένοις ἀκρόνυχον τὴν ἀρχὴν, τὸ, τῇ ὑστεραίᾳ νόμιμον ὂν ἐσθίειν κρεῶν, ἐξεῖναι κρεωφαγεῖν ἀπ' ἄκρας τῆς ἡγουμένης νυκτός· καὶ πάλιν ἀπηγορευμένον αὖ, μὴ ἐξεῖναι δεῖπνον ἐκ κρέατος τῆς αὐτῆς ταύτης νυκτός γε ἐλέσθαι. Περὶ τούτου μὲν οὖν εἰσαῦθις ἐπισκεπτέον ἐστὶ βέλτιον, καὶ τοὺς περὶ ταῦτα δεινοὺς παρακαλέσαντας συμβουλεύσασθαι, καλῶς ἔχει. Δεῖ γὰρ τὴν σκέψιν οὕτω ποιεῖσθαι, ὡς μήτε συμβαίνειν ἐκ τοῦ λόγου ἐναντίον τοῖς ὁσίοις μηθὲν, εὐαγῶς τε τῆς ἡμέρας κατάρχειν τοῦ Θεοῦ χάριν.

Unde numeranda sunt tempora.

XXI. Enimvero etiam fas est a natali Christiano tempora supputare, non ut Græci a mundi origine, nunc annum noningentesimum, octavum et septuagesimum numerantes supra sexies millesimum. Prophetis quidem sic fortasse licebat; verum melius est Christi cultores ab illo incipere. Quod etiam agunt Romani, hujus ævi millesimum quadringentesimum et septuagesimum præsentem annum computantes, quanquam prisci illi ab urbe condita numerabant, quemadmodum Athenienses a prima Olympiade; alii vero a bello Trojano.

De mensibus igitur hæc descripta sunto, ad emerendam antiquariorum disertorumque virorum hoc obsequiolo gratiam: si quid fortasse spei est Græcam linguam, ejusque studium adusque posteritatem fore: non autem, ut aliarum quondam gentium, Græci quoque nunc totius et generis, et sermonis finem esse in fatis est.

C *Ὅθεν ἀριθμητέον τοὺς χρόνους.*

ΚΑ'. Ὅσιον δὲ καὶ τοὺς χρόνους ἀριθμεῖν ἀπὸ γενετῆς τοῦ αὐτεῦ Θεοῦ· ἀλλὰ μὴ, ὡς οἱ νῦν Ἕλληνες, ἀπὸ κόσμου γενέσεως, ἑξακισχιλιοστὸν ἐνακοσιοστὸν ἑβδομηκοστὸν ὄγδοον τόδε ἔτος καταριθμοῦντες. Προφητῶν μὲν γὰρ ἴσως καὶ ταῦτα· ἄμεινον δὲ, τιμῶντας Χριστὸν, ἀπ' αὐτοῦ ἄρχεσθαι, καθάπερ οἱ νῦν ὄντες Ῥωμαῖοι ἄγουσι, χιλιοστὸν τετρακοσιοστὸν ἑβδομηκοστὸν τόδε διαριθμούμενοι ἔτος· καίτοι τῶν πάλαι Ῥωμαίων ἀπὸ κτίσεως Ῥώμης ἀριθμούντων· ὥσπερ Ἀθηναῖοι μὲν ἀπὸ Ὀλυμπιάδος πρώτης, ἄλλοι δὲ ἀπὸ τῶν Τρωϊκῶν.

Περὶ μὲν οὖν τῶν μηνῶν ταύτῃ διωρίσθω τῶν λογίων χάριν ἀνδρῶν· εἴ τις ἄρα ἐλπὶς διάλεκτον τοῖς ἐπιγινομένοις ἔσεσθαι Ἑλληνικήν· ἀλλὰ μὴ, ὡς ἄλλων πάλαι ἐθνῶν, καὶ τοῦ Ἑλληνικοῦ νῦν παντὸς καὶ γένους καὶ λόγου τελευτὴν εἱμαρτο εἶναι. D

Testes in hoc libro citati.

Basilius.
Pletho.
Aulus Romanus.
Aristoteles.
Galenus.
Macrobius Romanus.
Theophrastus.
Demosthenes.

Μάρτυρες τῷ λόγῳ.

Βασίλειος.
Πλήθων.
Αὖλος Ῥωμαῖος.
Ἀριστοτέλης.
Γαληνός.
Μακρόβιος Ῥωμαῖος.
Θεόφραστος.
Δημοσθένης.

Digitized by Google

Πλίνιος Ῥωμαῖος.	A	Plinius Romanus.
Στράβων.		Strabo.
Αἰσχίνης.		Æschines
Ἀριστοφάνης.		Aristophanes.
Πλούταρχος.		Plutarchus.
Θουκυδίδης.		Thucydides.
Πολυδεύκης.		Pollux.
Σιμπλίκιος.		Simplicius.
Ἡρόδοτος.		Herodotus.
Σουΐδας.		Suidas.
Συνέσιος.		Synesius.
Καῖσαρ ὁ θεός.		Divus Cæsar.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΞΙΜΟΥ

ΜΟΝΑΧΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

ΕΞΗΓΗΣΙΣ ΚΕΦΑΛΑΙΩΔΗΣ ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΤΟΝ ΘΕΟΝ ΗΜΩΝ ΣΩΤΗΡΙΟΝ ΠΑΣΧΑ,

Τὸ διαγραφὲν κανόνιον ἑρμηνεύουσα.

SANCTI MAXIMI

MONACHI ET MARTYRIS,

BREVIS ENARRATIO CHRISTIANI PASCHATIS,

Qua descripti laterculi ratio declaratur,

DIONYSIO PETAVIO INTERPRETE.

Τῷ πανευφήμῳ Πατρικίῳ κυρίῳ Πέτρῳ Μάξιμος ταπεινὸς μοράζων.

B **170** *Illustri, ac laudum genere omni celebrando Patricio Petro, Maximus humilis monachus.*

Α'. Ἐπειδή σε, πανεύφημε καὶ θεοφρούρητε δέσποτα, βίου τροφὴν καὶ συμβίωσιν τὴν ἀνωτάτω πεποιημένον σοφίαν ἐπίσταμαι, καθ' ἣν[81] ἀεὶ φρονήσει θείᾳ καὶ ἀρετῇ γόνιμον τήν τε περὶ τὸ νοεῖν τὰ καλὰ καὶ πράττειν θεόδοτον ἕξιν καὶ δύναμιν, ὧν βάσις ἡ εὐσεβὴς καὶ ὀρθόδοξος πίστις καθέστηκε· μόνην ὑποφαίνουσα δι' ἐλπίδος τὴν τῶν ἀοράτων, ὡς ὁρατῶν ἤδη πως κατὰ τὴν χάριν γεγενημένων, καὶ πρὸ τῆς ἐκφάνσεως ἀποκάλυψιν τοῖς κατὰ σὲ τὴν τοῦ Λόγου παρουσίαν διὰ τῆς πρὸς αὐτὸν ἀνεπιστρόφου πορείας ἐκδεχομένοις ἀεὶ καὶ προσμένουσι συνεῖδον τοῖς τε ἄλλοις ὑμῶν, καὶ μὲν δὴ τῷ ὑπὲρ τὰ ὅλα μεγίστῳ τῆς συγκαταβάσεως κατορθώματι θαρρήσας τε ἅμα, καὶ προθυμηθείς, κανόνιόν τι διαγράψαι σεμνὸν, καὶ ἀποστεῖλαι τοῖς πανευφήμοις καὶ ὑπερευφήμοις ὑμῖν· τήν τε τῶν ἁγίων νηστειῶν εἴσοδον ἐκπεριειληφός, καὶ τὴν τῆς ἱερᾶς ἀναστάσεως ἑορτήν· καὶ πρὸς ταύταις τὴν τὸ παλαιὸν ἐπίσημον, νῦν δὲ καθ' ἡμᾶς ἄσημον οὖσαν· ὡς οὐδὲν οὐδαμῶς ἐν αὐτῇ τελοῦσιν ἡμῖν, ἢ τελουμένην τὸ σύνολον, δεκάτην τοῦ καθ' Ἑβραίους ἑβδόμου μηνός· καθ' ἣν ἅπαξ τοῦ ἐνιαυτοῦ κατὰ νόμον ἐποιεῖτο τὴν εἰς τὰ Ἅγια τῶν ἁγίων εἴσοδον ὁ ἀρχιερεύς· εἰς ἣν καὶ τῷ Ζαχαρίᾳ γέγονεν ὁ χρηματισμὸς περὶ Ἰωάννου τοῦ μεγάλου τῆς ἀλη-

I. Cum te cœlesti ac divinæ sapientiæ innutritum in omni esse vita meminerim, præclare, et a Deo conservande domine, ac divinitus communicata illa facultate præditum, quæ cœlesti prudentia et virtute fecunda, ad honesta quæque cogitanda faciendaque perducit: quorum fundamentum religiosa fides est, recteque sentiens: quæ solam eorum quæ aspectabilia non sunt, velut divina quodammodo gratia jam aspectabilium, etiam antequam patefacta sint, ostensionem per spem exhibet iis qui, quod tu facis, adventum Verbi continua ad ipsum, nec interrupta progressione præstolantur ac sustinent: statui apud me, cum aliis vestris, C tum hoc singulari demissionis ad me vestræ facto, ac merito confisus, laterculum quemdam augusta religione plenum describere; et ad vos laude ac prædicatione omni superiores mittere. In quo primum jejuniorum continetur ingressus, tum solemne resurrectionis Dominicæ: item aliud festum, quod olim celebre, nunc obscurum apud nos et ignobile; ut qui nihil ex eo ad celebrandum assumimus, neque curamus omnino: decimam intelligo septimi mensis Judaici, per quam semel quotannis ex præscripto legis, in Sancta sanctorum introibat

[81] *f.* καὶ τὴν, *nisi verbi quidpiam desit.*

Digitized by Google

pontifex; qua die præterea Zachariæ de Joanne magno præcursore ac præcone veritatis editum est oraculum. Qua de causa, ut hoc genus eruditionis harum rerum studiosis aspergerem, non dubitavi hoc etiam solemne laterculo complecti meo; imo feci hoc eo libentius, quod ex eo cognovi facilius inveniri illa posse, quæ ad inquirendum jejuniorum caput, ac resurrectionis festum, ipsamque adeo mensis septimi decimam diem pertinere videntur.

Α θείας προδρόμου καὶ κήρυκος. Διὸ μάλιστα καὶ ταύτην ἐπισημήνασθαι φιλομαθείας χάριν τῶν φιλολόγων οὐκ ἀπώκνησα· μᾶλλον δὲ προεθυμήθην· ῥᾳδίαν ἐντεῦθεν εἰδὼς ἐπομένην[82] τὴν περὶ ἑκάστου τῶν ἔν τε τῇ παραβάσει[83], καὶ ἀναστασίμῳ, καὶ αὐτῇ τῇ δεκάτῃ τοῦ ἑβδόμου μηνὸς ζητουμένων[84] ὑμῖν τὴν κατάληψιν. Πεποίηκα δὲ μετὰ τῆς τοῦ λεχθέντος κανονίου διαγραφῆς καὶ σύντομον αὐτὴν τὴν ἐξήγησιν, ἔχουσαν οὕτως.

Ad hujus porro laterculi descriptionem perbrevem ejus expositionem adjeci, quæ sic habet.



Α Ἡμέραι ἐμβόλ.	Β Σελήνης ἔτη	Γ Ἔπακται	Δ Μῆνες Ῥωμαίων	Ε Ποσταῖαι	Ϛ Προσθεταί	Ζ Προσθεταί	Ϛ Ποσταῖαι	Ε Μῆνες Ῥωμαίων	Δ Προσθεταί	Γ Ποσταῖσι	Β Μῆνες Ῥωμαίων	Α Σελήνης ἔτη
Ἐμβόλ.	ΙΘ	ΚΖ	Φεβρ.	Η	Δ		Ε	Ἀπριλ.	ϚΖ	ΚΕ	Σεπτ.	Α
	Α	Θ	Ἰανου.	ΚΗ	Α	Δ	ΚΕ	Μαρτ.	Ϛ	ΙΔ	Σεπτ.	Β
	Β	Κ	Φεβρ.	ΙϚ	Δ		ΙΓ	Ἀπριλ.	Α	Γ	Ὀκτω.	Γ
Ἐμβόλ.	Γ	Α	Φεβρ.	Ε	Δ		Β	Ἀπριλ.	Ϛ	ΚΒ	Σεπτ.	Δ
	Δ	ΙΒ	Ἰανου.	ΚΕ	Α	Δ	ΚΒ	Μαρτ.	Ϛ	ΙΑ	Σεπτ.	Ε
	Ε	ΚΓ	Φεβρ.	ΙΓ	Δ		Ι	Ἀπριλ.	Ϛ	Α	Σεπτ.	Ϛ
Ἐμβόλ.	Ϛ	Δ	Φεβρ.	Β	Δ	Δ	Α	Μαρτ.	Ϛ	ΙΘ	Σεπτ.	Ζ
	Ζ	ΙΕ	Φεβρ.	ΚΑ	Δ		ΙΗ	Ἀπριλ.	Α	Η	Ὀκτω.	Η
Ἐμβόλ.	Η	ΚϚ	Φεβρ.	Ι	Δ		Ζ	Ἀπριλ.	Ϛ	ΚΖ	Σεπτ.	Θ
	Θ	Ζ	Ἰανου.	Α	Α	Δ	ΚΖ	Μαρτ.	Ϛ	ΙϚ	Σεπτ.	Ι
	Ι	ΙΗ	Φεβρ.	ΙΗ	Δ		ΙΕ	Ἀπριλ.	Α	Ε	Ὀκτω.	ΙΑ
Ἐμβόλ.	ΙΑ	ΚΘ	Φεβρ.	Ζ	Δ		Δ	Ἀπριλ.	Ϛ	ΚΔ	Σεπτ.	ΙΒ
	ΙΒ	Ι	Ἰανου.	ΚΖ	Α	Δ	ΚΔ	Μαρτ.	Ϛ	ΙΓ	Σεπτ.	ΙΓ
	ΙΓ	ΚΑ	Φεβρ.	ΙΕ	Δ		ΙΒ	Ἀπριλ.	Α	Β	Ὀκτω.	ΙΔ
Ἐμβόλ.	ΙΔ	Β	Φεβρ.	Δ	Δ		Α	Ἀπριλ.	Ϛ	ΚΑ	Σεπτ.	ΙΕ
	ΙΕ	ΙΓ	Ἰανου.	ΚΔ	Α	Δ	ΚΑ	Μαρτ.	Ϛ	Ι	Σεπτ.	ΙϚ
	ΙϚ	ΚΔ	Φεβρ.	ΙΒ	Δ		Θ	Ἀπριλ.	Ϛ	ΚΘ	Σεπτ.	ΙΖ
Ἐμβόλ.	ΙΖ	Ε	Φεβρ.	Α	Δ	Δ	ΚΘ	Μαρτ.	Ϛ	ΙΗ	Σεπτ.	ΙΗ
	ΙΗ	ΙϚ	Φεβρ.	Κ	Δ		ΙΖ	Ἀπριλ.	Α	Ζ	Ὀκτω.	ΙΘ.

[82] *f.* ἐσομένην. [83] *f.* παρεισβάσει. [84] ζητουμένην.

Digitized by Google

Τί τὸ κανόνιον, καὶ τί περιέχει ἡ τούτου δύναμις.

A **171-172** *Cujusmodi sit laterculum, et quæ vis sit illius.*

Β'. Ἡ τοῦδε τοῦ προκειμένου ὑφήγησις τοῦ κανονίου τοῦτον ἔχει τὸν τρόπον. Τριπλοῦν τοῦτο καθέστηκεν, ὡς περιέχον ἐν ἑαυτῷ τήν τε τῶν ἁγίων παρεισβάσιν νηστειῶν καὶ τὴν τεσσαρεσκαιδεκάτην τοῦ καθ' Ἑβραίους πρώτου μηνὸς, λέγω δὴ τοῦ Νισάν· εἰς ἣν τὸ κατ' αὐτοὺς Πάσχα τελεῖται· καὶ τὴν δεκάτην τοῦ ἑβδόμου μηνὸς, ἤγουν τοῦ Θερσί· καθ' ἣν ὁ ἀρχιερεὺς τὸ παλαιὸν τὴν εἰς τὰ Ἅγια τῶν ἁγίων εἴσοδον ἐποιεῖτο. Καὶ ἔστι τῆς μὲν παρεισβάσεως τῶν ἁγίων νηστειῶν ἡ σημείωσις ἐξ εὐωνύμων τοῦ αὐτοῦ κανονίου διαγεγραμμένη· ἡ δὲ τεσσαρεσκαιδεκάτη τοῦ καθ' Ἑβραίους πρώτου μηνὸς ἐκ δεξιῶν σύνεγγυς τοῦ κατὰ μέσον ἐγγεγραμμένου τροχοῦ· μετὰ δὲ ταύτην εὐθὺς δεξιώτερον ἡ λεχθεῖσα δεκάτη τοῦ B ἑβδόμου μηνός· ὡς εἶναι μόνην ἐξ ἀριστερῶν τὴν τῆς παρεισβάσεως διαγραφήν· ἐκ δεξιῶν δὲ ἀμφοτέρων τῆς τεσσαρεσκαιδεκάτης φημὶ τοῦ πρώτου μηνὸς καὶ τῆς δεκάτης τοῦ ἑβδόμου μηνός. Τῶν δὲ διαγεγραμμένων, ἐν ὅλοις ἡ δύναμις αὕτη καθέστηκεν.

II. Propositi canonis expositio ad hunc modum se habet. Est ille divisus trifariam. Continet enim introitum sacrorum jejuniorum; quartam decimam primi mensis secundum Hebræos, hoc est Nisan: in quam Pascha illorum incidit: nec non decimam septimi mensis, videlicet Thersi: qua summus sacerdos olim Sancta sanctorum adibat. Porro introitus sacrorum jejuniorum notatio ad sinistram partem canonis descripta est; quarta decima vero primi mensis Judaici ad dextram, prope inscriptam in medio rotam. Post hanc statim ad dextram magis accedit illa, quam diximus, decima dies septimi mensis, adeo ut nihil a sinistra præter jejuniorum introitum descriptum habeatur; a dextra vero parte utrumque sit, quarta decima nimirum primi mensis et decima septimi. Totius autem descriptionis illius vis est ejusmodi.

Τίς ἡ ἐξ εὐωνύμων διαγραφή.

Γ'. Ἐν μὲν τῷ εὐωνύμῳ κανονίῳ ἐν πρώτῳ στίχῳ αὐτοῦ ὀρθῶς καθιέμενοι οἱ ἑπτὰ ἐμβόλιμοι μῆνές εἰσιν· ἐν δὲ τῷ β' στίχῳ τὰ ιθ' τῆς σελήνης ἔτη, ἀπὸ ιθ' τὴν ἀρχὴν ἔχοντα· καὶ οὕτως διὰ πρώτου, καὶ δευτέρου, καὶ τῶν καθεξῆς εἰς τὸ ὀκτωκαιδέκατον λήγοντα· ἐν τρίτῳ στίχῳ αἱ τῶν τῆς σελήνης ἐτῶν ἐπακταί· ἐν τετάρτῳ στίχῳ οἱ Ῥωμαϊκοὶ μῆνες, Ἰανουάριος καὶ Φεβρουάριος· ἐν πέμπτῳ στίχῳ αἱ ποσταῖαι αὐτῶν τῶν μηνῶν, εἰς ἃς συμβαίνει γίνεσθαι τὴν C ἀποκρεώσιμον ἑορτήν· ἐν ἕκτῳ στίχῳ αἱ προσθεταὶ ἡμέραι, διὰ σηρικοῦ γεγραμμέναι. Καὶ ταῦτα μὲν ἐξ εὐωνύμων.

III. In sinistro laterculo, ejusque primo versu in directum descendente septem sunt embolimi menses. In secundo versu, XIX lunares anni; initio a nono decimo facto: unde ad primum, secundum, ac cæteros ordine progressus desinit in octavum decimum; tertio versu lunarium annorum epactæ continentur; quarto, Romani menses duo, Januarius et Februarius; quintus mensium quotas exhibet, in quas Carnisprivii festum incidit; sextus versus addititios dies, sive regulares continet serico scripto. Hæc ad sinistram habentur.

Τίς ἡ ἐκ δεξιῶν διαγραφή.

Δ'. Ἐκ δεξιῶν δὲ ἐν πρώτῳ στίχῳ τὰ εἰρημένα ιθ' τῆς σελήνης ἔτη, ἀπὸ πρώτου καθ' εἱρμὸν ἀρχόμενα, καὶ διὰ τοῦ δευτέρου, καὶ τρίτου, καὶ τῶν καθεξῆς εἰς τὸν ιθ' λήγοντα· ἐν δευτέρῳ στίχῳ οἱ Ῥωμαϊκοὶ μῆνες, Σεπτέμβριος καὶ Ὀκτώβριος· ἐν τρίτῳ στίχῳ αἱ τούτων τῶν μηνῶν ποσταῖαι, εἰς ἃς πίπτει τοῦ ἑβδόμου καθ' Ἑβραίους μηνὸς ἡ δεκάτη κατ' ἔτος ἕκαστον· ἐν τετάρτῳ στίχῳ αἱ προσθεταὶ ἡμέραι, διὰ σηρικοῦ γεγραμμέναι· ἐν πέμπτῳ στίχῳ οἱ Ῥωμαϊκοὶ μῆνες, Μάρτιος καὶ Ἀπρίλιος· ἐν ἕκτῳ στίχῳ D αἱ τούτων ποσταῖαι, καθ' ἃς γίνεται τοῦ πρώτου καθ' Ἑβραίους μηνὸς ἡ τεσσαρεσκαιδεκάτη κατ' ἔτος ἕκαστον· ἐν ἑβδόμῳ στίχῳ αἱ προσθεταὶ πάλιν ἡμέραι, διαγεγραμμέναι ἀπὸ σηρικοῦ. Ταῦτα καὶ ἐν τοῖς δεξιοῖς.

Quid ad dextram rotæ partem sitæ tabula significet.

IV. Dextræ tabulæ primus versus novemdecim, ut dixi, annus lunæ complectitur, qui a primo per secundum, tertium, ac reliquos ordine procedunt, atque in decimum nonum desinunt; secundus versus Romanos menses habet Septembrem et Octobrem; in tertio dies sunt mensium, in quas Hebraici mensis septimi decima quotannis incurrit; in quarto regulares serico scripti; in quinto Romani menses Martius et Aprilis; in sexto eorumdem mensium dies, quibus primi mensis Hebraici quarta decima quotannis tribuitur; septimus denique versus addititios dies, sive regulares rursus ostendit serico descriptos. Hæc ad dextram inscripta tabula complectitur.

Τίς ἡ τοῦ μέσου τροχοῦ διαγραφή

Ε'. Ὁ δὲ τούτων μέσος τροχὸς τοῦ ἡλίου καθέστηκεν, ἔνδον μὲν ἑαυτοῦ τὰ ἑπτὰ δίσεκτα κατὰ διαστολὴν ἀπὸ τεσσάρων εἰς τέσσαρα ἔτη κεκτημένος· μετὰ δὲ τὰ δίσεκτα, εὐθὺς κατὰ πρῶτον στίχον, ἤγουν κύκλον, τὰ κη' τοῦ ἡλίου ἔτη, ἀπὸ πρώτου

Quid in medio descripta rota contineat.

V. Media tabellarum rota soli tribuitur. Hujus in interiore area septem bisextiles sunt, quinto quoque anno positi. Post bisextiles in primo versu, sive circulo, anni solis XXVIII, primus, secundus, et ita deinceps usque ad vicesimum octavum ex-

Digitized by Google

plicantur; secundus versus, sive circulus octo et viginti annorum epactas præbet, prout anno cuique congruunt. Hæc de media rota.

A καθ' εἱρμὸν καὶ δευτέρου μέχρι τὰ κη' διαγεγραμμένα· κατὰ τὸν δεύτερον στίχον καὶ κύκλον τὰς αὐτῶν τῶν κη' ἐτῶν ἐπακτὰς, ἐφ' ἑκάστου ἔτους τὰς προσφόρους ἀναλόγως ἐπιγεγραμμένας. Ταῦτα καὶ περὶ τοῦ μέσου τροχοῦ.

Cur ab anno lunæ XIX, *non a primo tabella sinistra ducat initium.*

Τίς[78] *ἡ ἀπὸ ιθ' τῆς σελήνης ἔτους, ἀλλ' οὐκ ἀπὸ πρώτης ἐν τῷ εὐωνύμῳ διαγράμματι.*

VI. Cur autem non a primo initium habeant anni lunares ad sinistram inscripti, sed a nono decimo, ac deinde primus, secundus, et reliqui subjiciantur, causa est ejusmodi. Caput jejuniorum in penultimo mense, hoc est undecimo labentis anni perpetuo contingit, uti Paschale festum in primo succedentis. Quare cum duos annos occupent sacri jejuniorum dies, vel potius a duobus ipsi comprehendantur, ita ut initium illorum ab anno currente lunæ pendeat; finis autem ab eo qui proxime sequitur, necesse est ut jejuniorum initium ex anno decimo nono metiamur, quando salutare Pascha anno lunæ primo celebratur. Sic ex anno primo jejuniorum caput dirigitur, quoties festum Resurrectionis in secundum incidit; et ex secundo, cum in tertium cadit, et ab hoc rursus, quando in quartum incurrit: atque ita porro. Ad hunc modum se habet lunarium ad sinistram annorum descriptio.

B

Ϛ'. Ἡ δὲ αἰτία καθ' ἣν οὐκ ἀπὸ πρώτου ἔτους ἡ ἐγγραφὴ τῶν τῆς σελήνης ἐτῶν ἐξ εὐωνύμων ἐτάγη, ἀλλὰ ἀπὸ ιθ', καὶ οὕτως πρώτου, καὶ δευτέρου, καὶ τῶν καθεξῆς, αὕτη ἐστίν. Ἡ παρείσβασις ἐν τῷ προτελεύτῳ μηνὶ, τουτέστιν ἐνδεκάτῳ τοῦ ἐνεστῶτος γίνεται ἔτους ἀεί· καθάπερ καὶ ἡ Πασχάλιος ἑορτὴ ἐν τῷ πρώτῳ τοῦ εἰσιέναι μέλλοντος. Ἐπειδὴ οὖν τὰ δύο μεσολαβοῦσιν ἔτη αἱ ἅγιαι τῶν νηστειῶν ἡμέραι, μᾶλλον δὲ πρὸς αὐτῶν αὗται συλλαμβάνονται· καὶ τὰ[80] μὲν τὴν οἰκείαν ἀρχὴν ἠρτημέναι τοῦ ἐνεστῶτος τῆς σελήνης ἔτους, κατὰ δὲ τὸ τέλος αὖθις τοῦ εἰσιέναι μέλλοντος· ἀνάγκη πάντως ἀπὸ ἐννεακαιδεκάτου κανονίζεσθαι ἔτους τὴν ἀρχὴν τῶν νηστειῶν, ὅτε τὸ σωτήριον Πάσχα ἐν πρώτῳ τῆς σελήνης ἔτει ἐπιτελεῖται. Οὕτω δὲ καὶ ἀπὸ πρώτου τὴν παρείσβασιν πάλιν, ὅτε ἡ ἀναστάσιμος ἑορτὴ ἐν β' γίνεται· καὶ ἀπὸ β', ὅτε ἐν τῷ τρίτῳ· καὶ ἀπὸ τούτου, ὅτε ἐν τετάρτῳ· καὶ ἁπλῶς μέχρι τέλους. Οὕτος οὖν ὁ τῆς διαγραφῆς λόγος τῶν τῆς σελήνης ἐξ εὐωνύμων ἐτῶν.

173 *Quinam sint embolimi, et quæ lunares epactæ.*

Τίνες οἱ ἐμβόλιμοι, καὶ τίνες αἱ ἐπακταὶ τῆς σελήνης.

VII. Septem menses intercalares ex iis quas epactas lunæ dicimus, colliguntur post duos annos, vel tres, quando ad tricenarium dierum numerum perveniunt. Epactæ porro ex defectu lunaris anni ad solarem oriuntur. Nam solaris diebus constat CCCLXV; lunaris CCCLIV. Unde proprium mensem habet dierum XXIX, ac semissis. At annus lunæ quilibet uno aliquo de intercalaribus septenis præditus, tredecim omnino menses habet; adeo ut ad duodenos ultimus iste pro eo, ac nominatur, intercalaris accedat; propterea non solum dies colligat CCCLIV, uti cæteri lunares anni: sed CCCLXXXIV, tricenum dierum mense insuper addito.

C

Ζ'. Οἱ δὲ ἑπτὰ ἐμβόλιμοι μῆνες ἐκ τῶν λεγομένων ἐπακτῶν τῆς σελήνης ἀθροίζονται κατὰ διετίαν ἢ τριετίαν ἀριθμὸν λ' ἡμερῶν ἐκπληροῦντες. Αἱ δὲ ἐπακταὶ διὰ τὴν ἔκλειψιν δίδονται τοῦ τῆς σελήνης ἔτους πρὸς τὸ ἡλιακὸν ἔτος. Ἐπειδὴ τὸ μὲν ἡλιακὸν τξε' καθέστηκεν ἡμερῶν, τὸ δὲ τῆς σελήνης τνθ'. Ὅθεν καὶ τὸν οἰκεῖον μῆνα κθ' ἡμίσεος ἡμερῶν κέκτηται. Πᾶν δὲ σελήνης ἔτος, δεχόμενον ἕνα τῶν ἐμβολίμων μηνῶν, δεκατριῶν γίνεται πάντως, πρὸς ταῖς δυοκαίδεκα τοῦτον φερωνύμως ἐμβαλλόμενον ἔχον· ὡς εὑρίσκεσθαι λοιπὸν μὴ μόνον τνδ' ἡμερῶν κατὰ τὰ λοιπὰ τῆς σελήνης ἔτη, ἀλλὰ τπδ' τῇ προσθέσει τοῦ ἐμβολίμου μηνὸς λ' ἡμερῶν.

De Hebræis mensibus, qui ad sinistram canonis partem observati sunt, et ipsorum quoto die, cujusmodi sunt et quare diversi.

Περὶ τῶν ἐξ εὐωνύμων τοῦ κανονίου τετηρημένων Ἑβραϊκῶν μηνῶν, καὶ τῆς αὐτῶν ποσταίας· τίνες τέ εἰσι, καὶ διὰ τί διάφοροι.

D

VIII. Hinc igitur penultimus lunaris illius anni mensis non undecimus est, sed duodecimus, a quo sanctorum jejuniorum introitum jure metimur, ob excessum mensis unius, qui ab undecimo illorum observationem progredi vetat, ut ne plures numero, quam revera sint, dies illis imputentur: unde calculum subducentibus error obrepat. Cæterum in utroque mense, undecimo, inquam, et duodecimo, ad sinistrum latus canonis non eadem quota dies ascribitur e regione Romanorum mensium: quemadmodum in dextra parte uni mensi

Η'. Ἐντεῦθεν οὖν καὶ προτελευταῖον μῆνα τὸν πρὸ τοῦ τέλους, οὐ τὸν ἑνδέκατον, ἀλλὰ τὸν δυοκαιδέκατον τὸ τοιοῦτο τῆς σελήνης κέκτηται ἔτος· ἐξ οὗ προηκόντως καὶ ἡ παρείσβασις τῶν ἁγίων νηστειῶν κανονίζεται δι' αὐτὴν τοῦ μηνὸς τὴν περισσείαν, κωλύουσαν τὴν ἀπὸ ἑνδεκάτου γενέσθαι μηνὸς παρατήρησιν· ὡς μήτε πλείους ἢ ὧν ὑπάρχουσι κατὰ τὸν ἀριθμὸν τὰς αὐτῶν ἡμέρας ψηφίζεσθαι, κἀκ τούτων διαμαρτεῖν τοὺς ψηφίζοντας. Τετήρηται δὲ καθ' ἑκάτερον μῆνα, τὸν ἑνδέκατον λέγω καὶ τὸν δυοκαιδέκατον ἐν τῷ εὐωνύμῳ τοῦ κανονίου οὐχ ἡ αὐτὴ

[78] *Deest* αἰτία. [80] *f.* κατά.

Digitized by Google

ποσταΐα κατὰ τὴν τῶν Ῥωμαϊκῶν διαγραφήν· ὥσπερ ἐνὶ μηνὶ καὶ ὅλοις [87] τοῖς ἔτεσιν ἐν τῷ δεξιῷ τὴν ιδ' σεσημειωμένην ὁρῶμεν ὑπάρχουσαν· ἀλλ' ἄλλη καὶ ἄλλη. Οἷον εἰς μὲν τὸν ια' παρ' Ἑβραίοις Σαβὰτ λεγόμενον ἡ τούτου ἑπταικαιδεκάτη· ἐν ἐκείνοις μέντοι τοῖς ἔτεσι τοῖς οὐκ ἔχουσι τὸν ἐμβόλιμον· εἰς δὲ τὸν δυοκαιδέκατον, Ἄδαρ προσαγορευόμενον, ἡ τούτου ὀκτωκαιδεκάτη, ἐν τούτοις δηλονότι τοῖς τὸν ἐμβόλιμον ἔχουσι. Καὶ τοῦτό γε κατὰ λόγον. Ἐπειδὴ γὰρ κθ' καὶ λ' ἡμερῶν παρ' ἑκάτερον μῆνα τῶν δυοκαίδεκα τῆς σελήνης ψηφίζομεν, πρὸς τὸ μὴ τεμεῖν ἡμέρας διὰ τοῦ ἀνὰ κθ' ἡμίσεος τούτους ψηφίζειν (συμβαίνει γὰρ οὕτω τάς τε τνδ' ἡμέρας ἐντελῶς ἀριθμεῖσθαι κατὰ πᾶν ἔτος τῆς σελήνης, καὶ μηδεμιᾶς συμβαίνειν ἡμέρας διαίρεσιν· ὡς ἐντεῦθεν λοιπὸν εὑρίσκεσθαι διὰ τὴν τοιαύτην ἐκ πρώτου μηνὸς ἀκολουθίαν καὶ τάξιν τὸν μὲν ια' ἡμερῶν κθ'; τὸν δὲ δυοκαιδέκατον λ' ἡμερῶν)· προσηκόντως οὖν ἐν μὲν τοῖς οὐκ ἔχουσι τὸν ἐμβόλιμον τὸν ια' καὶ τὴν τούτου ιζ' ἐκανονίσαμεν. Ἀπὸ γὰρ ταύτης μέχρι τῆς τοῦ καθ' Ἑβραίους πρώτου μηνὸς ιδ' τοῦ εἰσιέναι μέλλοντος ἔτους ἰσάριθμοι τῶν ἁγίων νηστειῶν αἱ ἡμέραι τυγχάνουσι, τουτέστι νζ'. Τοσαῦται γὰρ αἱ τῶν η' ἑβδομάδων προδήλως εἰσίν· οἷον αἱ ὑπόλοιποι ιγ' αὐτοῦ τοῦ ια' μηνός· εἴπερ κθ', καθὼς ἔφην, οὗτος ψηφίζεται· καὶ αἱ τοῦ δυοκαιδεκάτου λ'· καὶ αἱ τοῦ πρώτου μηνὸς ιδ'. Δῆλον δέ, ὡς ιγ', καὶ λ', καὶ ιδ', ἡμέρας νζ' ποιοῦσιν. Ἐν δὲ τοῖς ἔχουσι τὸν ἐμβόλιμον ἔτεσι τὸν δυοκαιδέκατον ἐτηρήσαμεν, καὶ τὴν αὐτοῦ ὀκτωκαιδεκάτην. Ἐκ ταύτης γὰρ μέχρι τῆς τοῦ πρώτου μηνὸς ιδ' αἱ νζ' πάλιν ἀθροίζονται· οἷον αἱ αὐτοῦ τοῦ ιβ' ὑπόλοιποι ιγ', διὰ τὸ λ' ἡμερῶν τοῦτον ψηφίζεσθαι· καὶ τοῦ ἐμβολίμου, ἤγουν τρισκαιδεκάτου, λ'· τοσαύτας γὰρ πᾶς ἐμβόλιμος κέκτηται· καὶ αἱ τοῦ πρώτου μηνὸς ιδ'. Ὅθεν ἐπὶ τοῦ τελευταίου, ἤγουν τοῦ ιθ' ἔτους, καὶ τὴν ις' τοῦ κατ' αὐτὸν ια' μηνὸς ἐπεστημηνάμεθα· διὰ τὸν δυοκαιδέκατον αὐτοῦ μῆνα κθ' μόνον ψηφίζομεν ἡμερῶν, ὥσπερ οὖν καὶ τὸν τὸν ια'· τὴν δὲ αἰτίαν προϊόντες δηλώσομεν. Εὐλόγως οὖν διὰ ταῦτα καὶ τὴν μετάστασιν ἴσην ἐπιτηροῦμεν ἐπὶ τούτων τῶν δεδηλωμένων μηνῶν, ἤγουν τῶν αὐτῶν ποσταίων, τῆς πρεσβάτεως χάριν, ἐν τῷ εὐωνύμῳ τοῦ κανονίου, τῆς ἐπὶ τῆς ιδ' τοῦ πρώτου μηνὸς γενομένης ἡμῖν, ἐν τῷ δεξιῷ μέρει τοῦ αὐτοῦ κανονίου, τῆς ἀναστάσεως ἕνεκεν· ἀπὸ τῆς Κυριακῆς καὶ δευτέρας, καὶ τῶν καθεξῆς ἡμερῶν εἰς τὴν ἐπιοῦσαν ἁγίαν Κυριακὴν μεταβαίνοντες. Ταῦτα καὶ περὶ τούτων εἰπόντες, ἐπανακτέον ἡμῖν τὸν λόγον εἰς τὴν τῶν τῆς σελήνης ἐτῶν ἀπακρίβωσιν.

per annos omnes decimam quartam attributam cernimus; sed alia, atque alia. Velut in undecimo mense, quem Hebræi Sabat nominant, decima septima dies adnotatur iis annis qui embolimo carent; in duodecimo vero, qui ab illis vocatur Adar, octava decima in annis embolimo præditis. Quod quidem rationi consentaneum est. Cum enim duodenos lunæ menses alternis viginti novem, et triginta dierum putemus, ne dies partiri necesse sit, si viginti novem ac dimidium singulis imputemus (sic enim accidit, ut in quolibet anno lunari trecentos et quinquaginta quatuor dies integre numeremus, sine ulla diei fractione; quo fit ut ex instituto mensium ordine ac successione, post primum deinceps undecimus dies habeat novem et viginti, duodecimus vero triginta) : cum hæc, inquam, sic habeant, merito in annis simplicibus undecimum mensem, ejusque XVII diem ad canonem adnotavimus. Nam ab hoc die usque ad decimum quartum primi mensis Judaici in anno consequenti, totidem quot sanctis jejuniis attributi sunt, intercedunt dies, nempe LVII. Tot enim ex hebdomadibus octo confiunt. Sunt autem hi dies XIII ex undecimo mense residui; qui, ut dictum est, novem et viginti colligit; tum duodecimi mensis XXX; ac primi denique, XIV. Colliguntur ex XIII, et XXX, et XIV, perspicue dies LVII. At in annis embolimæis duodecimum mensem, ejusque diem octavum decimum adhibuimus. Ab hoc enim usque ad decimum quartum mensis primi, colliguntur iidem LVII dies, nimirum ex duodecimi mensis residuis XIII, quoniam ille triginta dies habet : et ex embolimi, sive tertii decimi, XXX, totidem enim embolimus quivis obtinet, ac demum ex mensis primi diebus XIV. Ob hanc causam in anno postremo, qui est decimus nonus, mensis undecimi XVI diem ascripsimus, quoniam duodecimum illius mensem dierum, non amplius novem ac viginti constituimus, ut et undecimum, cujus rei in consequentibus ratio reddetur. Quocirca jure in iis quos dixi mensibus, ac quotis eorum diebus, propter introitum jejuniorum, eamdem alternationem in sinistro latere canonis observamus, quam in dextro ad decimam quartam primi mensis adhibemus, propter festum resurrectionis; ubi a Dominica, et secunda feria, cæterisque deinceps ad sanctam Dominicam sequentem transitum facimus. Sed de iis hactenus; nunc ad annorum lunarium rationem accuratius explicandam convertenda est oratio.

Περὶ διαστολῆς τῶν τῆς σελήνης ἐτῶν, καὶ ὁμάδος τῶν ἡμερῶν.

Explicantur anni lunares, et summa dierum.

Θ'. Εἰσὶν οὖν τὰ ὅλα τῆς σελήνης ἔτη, καθὼς ἐρρέθη, ιθ'· ζ' μὲν τὰ τοὺς ἰσαρίθμους ἐμβολίμους ἔχοντα μῆνας, ἤγουν τὰ ἀπὸ τπδ' ἡμερῶν· ιβ' δὲ τὰ λεγόμενα κοινά, τουτέστι τὰ ἀπὸ τνδ'. Αἱ δὲ πᾶσαι τῶν αὐτῶν ιθ' τῆς σελήνης ἐτῶν ἡμέραι, τῇ συμπα-

IX. Anni lunares universe sunt novemdecim, ut dictum est. Quorum septem, intercalares menses accipiunt, iidemque diebus constant CCCLXXXIV; duodecim vero communes appellantur, qui scilicet dies habent CCCLIV. Porro 174 dies omnes

[87] *f.* ἐν ὅλοις.

Digitized by Google

ex XIX annis lunaribus collecti, adhibitis nimirum intercalaribus mensibus, dierum numerum exæquant, qui ex XIX annis solaribus exsistit, quorum singuli CCCLXV diebus constant. Nam propterea septem embolimi menses annis lunaribus accedunt, ut hi numero dierum cum solaribus annis paria faciant; ac non 6,726 solos dies habeant, sed 6,935. Totidem enim novemdecim annis solaribus imputantur : adeo ut ne unus quidem in toto decemnovennali cyclo dies redundet.

Qua ratione superfluus in embolimis mensibus dies, et quoto anno eximatur.

X. Nam tametsi septem lunæ menses adjiciantur, hoc est CCX dies; ob singulorum illius annorum ab solaribus defectum, cum undecim isti dies nonnisi CCIX conficiant, decimus nonus annus uno die mutilatur, ac CCCLIII constat, ut superfluum ex embolimis mensibus consumat diem. Quippe annus iste a IV die Aprilis incipiens in XXII Martii desinit. Quo fit ut et menses embolimi plenum dierum numerum retineant, et totius enneadecaeteridis cyclus ne uno quidem die solares annos novemdecim excedat.

Quod etiam illi qui lunares annos quinquies et sexies multiplicant, superfluum diem eximant, etsi id alio in anno faciant.

XI. Unde illi quoque qui annos lunæ quinquies sexiesque multiplicant, cum eamdem diem et ipsi computent, iidem tamen in anno qui eorum calculo undecimus est, quem nos quartum decimum putamus, superfluum ex embolimis mensibus diem exemptilem habent. Etenim CCCLIII duntaxat dierum undecimus ille statuitur annus, qui a tricesimo primo die Decembris iniens, ejusdem mensis decimo octavo terminatur. Id autem ex eo constat, quod annus illorum duodecimus quartam decimam in Kalendas Januarii habeat ex eorum calculo : unde consequens est neomeniam in XIX Decembris incidere.

Qua de causa lunares annos quinquies multiplicent; et quomodo in eodem calculo aberrent; tum cur annalis eorum computus a nostro discrepet.

XII. Exemptilem porro diem istum ad hunc modum inculcare student. Cum enim tricenorum dierum lunarem constituant mensem, ac pro unoquoque die sexagesimam unam particulam sumant et colligant, visum est ipsis et pro illo die, qui undecimo quoque anno minuitur, quinque per annos singulos sexagesimas conflare, ut, duodecimo demum anno collecto uno die, in hujus primum illius anni postremum diem trajiciant; quem XIX Decembris esse jam diximus; qui idem unius anni finis est, et principium alterius ex ementita illa computatione ac methodo, non tamen ex rei veri-

ραλήψει δηλαδὴ τῶν ἐμβολίμων μηνῶν, ἰσάριθμοι τυγχάνουσιν ἡμέραι αἱ τῶν [58] ἡλιακῶν ιθ' · τουτέστι τῶν ἀπὸ τξε'. Διὰ τοῦτο γὰρ οἱ ἑπτὰ ἐμβόλιμοι μῆνες προστίθενται τοῖς τῆς σελήνης ἔτεσιν, ἵνα ταῦτα κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν ἀνελλιπῶς ἔχειν ποιήσωσι πρὸς τὰ τοῦ ἡλίου ἔτη · καὶ εἶναι μὴ μόνον ,ςψκς' ἡμερῶν, ἀλλὰ ,ςϡλε'. Τοσαῦται γὰρ αἱ τῶν ιθ' ἡλιακῶν ἐτῶν ἡμέραι τυγχάνουσιν, οὐδὲ μιᾶς περιττῆς οὔσης ἡμέρας ἐν τῷ κύκλῳ τῆς ὅλης ἐννεακαιδεκαετηρίδος.

Πῶς ἡ ἐν τοῖς ἐμβολίμοις μησὶ περιττεύουσα μία ἡμέρα ὑποτέμνεται, καὶ ἐν ποίῳ ἔτει.

Ι'. Εἰ γὰρ καὶ ζ' μῆνας ἐμβάλλομεν, τουτέστι σ' ἡμέρας, αὐτῇ, τῆς τῶν καθ' ἕκαστον ἔτος αὐτῆς χάριν συλλείψεως [59], ἑνδεκα ἡμερῶν εἰς σθ' μόνας ἀθροιζομένων · ἀλλά γε τὸ τελευταῖον ἔτος, ἤγουν τὸ ιθ', παρὰ μίαν ἡμέραν διὰ τοῦτο γεγένηται, τνγ' ὑπάρχον, ἵνα ὑποτέμῃ τὴν ἐν τοῖς ἐμβολίμοις μησὶ περιττεύουσαν μίαν ἡμέραν. Ἄρχεται μὲν γὰρ ἀπὸ τῆς δ' τοῦ Ἀπριλίου μηνός · εἰς δὲ τὴν κβ' τοῦ Μαρτίου περαιοῦται. Ἐξ οὗ (τῆς τε) τῶν ἐμβολίμων ἡ ἀρτιότης τῷ ἰσαρίθμῳ τῶν ἡμερῶν διασώζεται · καὶ ὁ τῆς ὅλης ἐννεακαιδεκαετηρίδος κύκλος ἐν οὐδὲ μιᾷ ἡμέρᾳ πλεονάζων εὑρίσκεται πρὸς δεκαεννέα τοῦ ἡλίου ἔτη τὸ σύνολον.

Ὅτι καὶ τοῖς πενταπλοῦσι καὶ ἑξαπλοῦσι τὰ τῆς σελήνης ἔτη ἡ περιττὴ ὑποτέμνεται, κἂν ἄλλῳ ἔτει.

ΙΑ'. Ὅθεν οἱ τὴν πεντάπλωσιν καὶ ἑξάπλωσιν ποιούμενοι τῶν τῆς σελήνης ἐτῶν, καὶ οὕτω τὴν αὐτῆς [60] ἡμέραν ψηφίζοντες, ἐν ἑνδεκάτῳ κἀκεῖνοι ἔτει, τῶν αὐτῶν [61] ψηφιζομένων ἐτῶν · ὅπερ τεσσαρεσκαιδέκατόν ἐστιν ἡμῖν ἀριθμούμενον · τὴν ἐν τοῖς ἐμβολίμοις περιττεύουσαν μίαν ἡμέραν λείπουσαν κέκτηται [62]. Τ' γὰρ νγ' ἡμερῶν ὑπάρχει τὸ αὐτὸ ια' ἔτος, ἀρχόμενον μὲν ἀπὸ τῆς τριακάδος πρώτης τοῦ Δεκεμβρίου μηνός, εἰς δὲ τὴν ιη' τοῦ αὐτοῦ καταλῆγον. Καὶ δῆλον ἐκ τοῦ τὸ δυοκαιδέκατον εἰς τὴν πρώτην τοῦ Ἰανουαρίου τεσσαρεσκαιδεκάτην ἔχειν, κατὰ τὴν ἐκείνων ψῆφον · ὡς ὑπάρχειν αὐτοῦ τὴν νεομηνίαν κατὰ τὴν ιθ' τοῦ Δεκεμβρίου μηνός.

Τίνος χάριν πενταπλοῦσι τὰ τῆς σελήνης ἔτη · καὶ πῶς περὶ τὴν αὐτὴν σφάλλονται ψῆφον καὶ διὰ τί πρὸς τὸ παρ' ἡμῖν ψηφιζόμενον ἔτος τὸ παρ' αὐτοῖς διαλλάττει.

ΙΒ'. Διεσπουδάσθη δὲ τούτοις τὴν τῆς λειπούσης παρενθήκην ποιήσασθαι κατὰ τόνδε τὸν τρόπον Ἐπειδὴ γὰρ αὐτοῖς λ' ἡμερῶν ὁ τῆς σελήνης ψηφίζεται μήν, διὰ τοῦ μίαν ἑξηκοστὴν ὑπὲρ ἑκάστης ἡμέρας τιθέναι καὶ συλλαμβάνειν, ἔδοξε καὶ ὑπὲρ ταύτης, λέγω δὴ τῆς κατὰ τὸ ἑνδεκαιδέκατον ἔτος λειπούσης ἡμέρας, ε' καθ' ἕκαστον ἔτος συνάγειν ἑξηκοστά · ὡς ἄν, διὰ τοῦ δυοκαιδεκάτου ταύτην ἀθροίζοντες, ἐπὶ τὴν τούτου πρώτην τὴν ἐκείνου τελευταίαν ἀγάγωσιν · ἥτις ἐστὶν ἡ λεχθεῖσα τοῦ Δεκεμβρίου ιθ' · καὶ ἔστι μὲν ἡ αὐτὴ τοῦ μὲν τέλος, τοῦ δὲ ἀρχὴ κατὰ τήνδε τὴν ἐπινοηθεῖσαν ψῆφον καὶ

[58] *f.* ἡμέραις τῶν. [59] *f.* ἐλλείψεως. [60] *f.* οὗτοι τὴν αὐτήν. [61] *f.* αὐτοῖς. [62] *f.* κέκτηνται.

Digitized by Google

μέθοδον, οὐ μὴν ἀληθείᾳ καὶ πράγματι. Πῶς γὰρ ἡ μία τὰς δύο, ἢ ἀντὶ τῶν δύο ποιήσει ποτ' ἄν; Τοῦτο γὰρ πρὸς τὸ ἀμήχανον καὶ ἠλίθιον πάντη καθέστηκεν. Ἐντεῦθεν οὖν καὶ περὶ τὴν τῆς σελήνης σφάλλονται ψῆφον, ἀναιρουμένης τῆς ἀκριβοῦς καταλήψεως ἐκ τῆς τῶν ε' ἐξηκοστῶν ἀσυντελοῦς ἐπικλήσεως [65]. Ἐπεὶ τὸ μὲν ἀπὸ λ' τοὺς ταύτης μῆνας ποιεῖν, τὸ [66] συνάγειν ὡς ἔφην μίαν ἑξηκοστὴν ὑπὲρ ἑκάστης ἡμέρας, οὐκ ἔχει πλεονασμὸν, οὐδὲ τοσούτων ἡμερῶν τὸν αὐτῆς μῆνα παρίστησιν· ἡ γὰρ εἰς λ' πάλιν, ἀλλ' οὐχὶ εἰς κθ' ἥμισυ τῶν ἀθροιζομένων ἀνάλυσις, τὸ προστεθὲν διὰ τῶν ἑξηκοστῶν ἡμισημέριον ὑποτέμνουσα, πλείους ἔχειν οὐ παραχωρεῖ τῶν κθ' ἡμίσεος· τὸ δὲ τὰ ε' κατὰ πᾶν ἔτος συνάγειν ἑξηκοστὰ, τῆς κατὰ τὸ ἑνδέκατον ὑποτμηθείσης χάριν ἀναπληρώσεως, διαμαρτεῖν πάντως ποιεῖ τοὺς ψηφίζοντας. Καὶ δῆλον ἐκ τοῦ καὶ μετὰ ταύτην τὴν μίαν ἡμέραν ἐκ τῶν ὑπολοίπων ζ' τῆς σελήνης ἐτῶν συναγόμενα λε' ἑξηκοστὰ κατὰ τὸ τέλος τῆς ἐννεακαιδεκαετηρίδος ὡς περιττὰ διαῤῥίπτεσθαι. Πᾶν δὲ κατά τι παρὰ τῶν ψηφιζόντων ἀνοήτως ῥιπτόμενον τήν τε τοῦ ὅλου κύκλου κατὰ τήνδε τὴν μέθοδον ἀναστασίαν [68] δηλοῖ, καὶ τῶν αὐτῇ κεχρημένων διελέγχει τὸ σφάλμα. Λόγος γὰρ αὐτοῖς, ὡς εἶπον, ἐστὶ συναγαγεῖν μόνην τὴν μίαν ἐκείνην· οὐδεὶς δὲ περὶ ἀκριβείας τὸ σύνολον. Διαλλάττει δὲ καὶ τὸ παρ' αὐτοῖς ψηφιζόμενον ἔτος πρὸς τὸ παρ' ἡμῖν κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀριθμούμενον· ἐπειδὴ τοῖς ἀπὸ Ἀδὰμ ἔτεσι ις' προστιθέασιν. Ἀλλὰ ταῦτα κατ' ἐπιδρομὴν περὶ ἐκείνων εἰπόντες, εἰς τὸ προκείμενον ἐπανέλθωμεν, τὴν αἰτίαν τρανοῦντες τῆς τῶν ἐμβολίμων ἐν τοῖς ἔτεσι τῆς σελήνης προσθήκης μηνῶν.

A tate. Qui enim dies una facere duas, aut duorum instar habere possit? Hoc sane non solum impossibile est, sed etiam stolidum. Hinc igitur lunaris illorum calculus aberrat, quem ob imperfectam quinque sexagesimarum accessionem accurate consequi nequeunt. Nam quod tricenarios lunæ menses instituunt, quatenus pro quolibet die unam, uti dictum est, sexagesimam colligunt; ideo nullam redundantiam affert, neque totidem dierum menses illius efficit; quoniam dierum summa per tricenarium numerum divisa, dimidiatus ille dies e sexagesimis adveniens exhauritur, neque plures quam XXIX singulis mensibus relinquit. At vero quolibet anno sexagesima scrupula quinque colligere ad eum supplendum diem, qui undecimo anno sup-
B primitur, plane ad rationes conturbandas pertinet. Atque hoc ex eo convincitur, quod, post unicum illum diem, triginta quinque sexagesimas, quæ ex annis septem lunæ residuis conflantur, evoluta demum enneadecaeteride tanquam superfluas expungunt. Quidquid autem ex aliqua parte velut supervacaneum in subducendo stolide rejicitur, id et cycli totius labem hac in methodo, et eorum qui utuntur, errorem coarguit. Nam id unum intuentur, ut dictum est, solum ut illum diem detrahant, quam idipsum vero exacte faciant, pensi nihil habent. Quin etiam annalis illorum computus ab eo discrepat, quem nos ex traditione ecclesiastica retinemus. Quippe ad annos Adami sedecim adjiciunt. Verum hæc de illis quasi obiter attigimus;
C nunc ad propositum redeamus, causamque reddamus, cur embolimi menses lunaribus annis inserantur.

***175** Τίς, καὶ διὰ τί τῶν ἐμβολίμων μηνῶν ἡ ἐν τοῖς ἔτεσι τῆς σελήνης προσθήκη. Καὶ πόθεν ἀεὶ τὸ πρῶτον ἄρχεται, καὶ ποῦ τὸ τελευταῖον λήγει.*

175 *Quænam sit, et qua de causa fiat in annis lunæ mensium embolimorum adjectio. Item unde perpetuo primus annus ineat, et ubi postremus desinat.*

Λ'. Ἕκαστον μὲν γὰρ ἔτος ἡλίου μίαν τέταρτον[80] κέκτηται ἐπακτὴν, οὐκ ἄλλην οὖσαν τὸ σύνολον ἢ τὴν μετὰ τὰς νβ' ἑβδομάδας περιττεύουσαν ἐκ τῶν τξε', δ' ἡμερῶν· δύο δὲ, καὶ γ', καὶ δ', καὶ μέχρις ἁπλῶς τῶν ζ' λέγεται ἔχειν διὰ τὴν ἐξ ἀλλήλων εἰς ἄλληλα γινομένην ταύτης δὲ τῆς μιᾶς τέταρτον παραπομπήν τε καὶ αὔξησιν. Ἕως γὰρ τῆς ἑβδομαδικῆς συμπληρώσεως, ἤγουν τῶν ζ' ἡμερῶν, καθ' εἱρμὸν ἐν τοῖς ἔτεσιν αὐξανομένη πάλιν ἀπάρχεται. Καθότι δὲ βίσεξτόν ἐστι, καὶ ἐκ τῶν τεττάρτων τῆς τετραετηρίδος ἀθροισθεῖσα μία ἡμέρα, κατ' ἐπίκλησιν[81] ταύτης περιττή πως ἡ τῶν ἐπακτῶν τοῦ διαδεχομένου ἔτους ἐπαύξησις γίνεται, δύο ἡμέρας ἀντὶ μιᾶς προσλαμβάνοντος· ὡς ἔστιν ἰδεῖν ἐπ' αὐτοῦ τοῦ προκειμένου κη'. Τέσσαρας γὰρ ἔχοντος τοῦ πρὸ αὐτοῦ, τουτέστι τοῦ κζ', ἐξ τοῦτο διὰ τὴν ἐκ τῶν τετάρτων ἀθροισθεῖσαν ἡμέραν ἐκτήσατο. Ὅθεν οὐδὲ εἰς τὴν αὐτὴν ἡμέραν, ἐξ ἧς ἀπήρξατο, καὶ κατέληξε τὸ λεχθὲν κζ' ἔτος. Ἐπειδὴ διὰ μὲν τῶν τξε' εἰς τὴν ἐξ ἧς ἀπήρξατο καταλήγει πάντως· οἷον ἀπὸ Κυριακῆς εἰς Κυριακὴν, ἢ δευτέρας εἰς δευτέραν. Διὰ δὲ τῶν τξ' εἰς τὴν μετὰ τὴν ἀφ' ἧς ἡμέραν ἀπήρξατο· τουτέστιν ἀπὸ Κυριακῆς εἰς δευτέραν, ἢ ἀπὸ ταύτης εἰς τρίτην· καὶ ἑξῆς ὁμοίως. Διὰ ταῦτά τοι προσήκει ποεῖσθαι τοῦ ἡλίου ἐπακτῶν τὴν παρατήρησιν, καὶ ταύτας ψηφίζειν κατὰ τὸν ἀποδειχθέντα τρόπον· οἷον, ἵνα καὶ πάλιν εἴπωμεν, τὰς ἰσαρίθμους αὐτοῦ τοῦ ἐνισταμένου ἡλιακοῦ ἔτους, οἷον δ' ἂν εἴη τὸ ψηφιζόμενον, λαμβάνειν ἡμέρας παρὰ μόνην μίαν ἡμέραν, καὶ τὰ ἰσάριθμα τέταρτα παρ' οὐδὲ ἓν τέταρτον, καὶ μερίζειν εἰς τὸν ζ'· καὶ τὰς ὑπολοίπους ἐπακτὰς ἔχον εὑρίσκεται πάντως αὐτὸ τὸ εἰς τὴν ζήτησιν ἡμῖν παρακείμενον ἔτος. Τὰς ἰσαρίθμους δὲ τοῦ ἔτους ἡμέρας παρὰ μίαν ἡμέραν ποιεῖν εἴπομεν, ἐπειδὴ τὸ πρῶτον ἔτος τέταρτον εἰς ἐπακτὴν[82] ἔχον καταγέγραπται, διὰ τὸ ἀπὸ πρώτης, ἤγουν ἁγίας Κυριακῆς αὐτὸ κανονίζεσθαι. Πᾶν γὰρ ἔτος ἀπὸ Κυριακῆς ἀρχόμενον, ὡς ἀνωτέρω λέλεκται, οὐδὲ μίαν ἐπακτὴν τὸ σύνολον κέκτηται, πλὴν ἴσως ποστημορίων τινῶν, οἷον τε-

[80] *Id est* 1 1/4. [81] *f.* ἐπίκτησιν. [82] *f.* οὐδεμίαν ἐπακ.

τάρτου· ἡ ἡμίσεος, ἡ ἡμίσεος τετάρτου· ἅπερ οὐδαμῶς συντελοῦσιν εἰς ἑβδομαδικῆς ἡμέρας ἐξεύρεσιν, ἕως ἂν διὰ τῆς τετραετηρίδος ἡμέραν μίαν ποιήσωσιν.

A nihil plane conferunt, donec post annos quatuor diem unum consumment.

Πῶς ἄλλως τάς τε τοῦ ἡλίου καὶ τῆς σελήνης ἐπιτηρῆσαι δυνατόν ἐστιν ἐπακτάς.

ΛΑ'. Καὶ ἵνα συντόμως εἴπω περί τε τῶν τοῦ ἡλίου καὶ τῆς σελήνης ἐπακτῶν, καὶ τῆς τούτων ῥᾳδίας καταλήψεως, ἡ μὲν σελήνη, ἥγουν τὸ κατ' αὐτὴν ἐνιστάμενον ἔτος, τοσαύτας ἐπακτὰς ἔχει πάντως ἀεί, ὅσας ἡμέρας εὑρίσκεται κεκτημένη κατὰ τὴν τριακάδα πρώτην τοῦ Μαρτίου μηνός· ὁ δὲ ἥλιος, ἥγουν τὸ ἐνιστάμενον αὐτοῦ ἔτος, ἰσαρίθμους κέκτηται πάντως ἀεὶ τὰς οἰκείας ἐπακτὰς τῇ ἑβδομαδικῇ ἡμέρᾳ, εἰς ἣν καταντῆσαν τὸ πρὸ αὐτοῦ ἔτος ἐπεραιώθη κατὰ τὴν λεχθεῖσαν τριακάδα πρώτην τοῦ αὐτοῦ Μαρτίου μηνός. Ταῦτα καὶ περὶ ἐπακτῶν ἡλίου καὶ τῆς τούτων εὑρέσεως.

Quemadmodum solis et lunæ epactas aliter invenire liceat.

XXXI. Ut de solis epactis et lunæ, deque harum facili inventione dicam breviter; quod ad lunam attinet, hujus annus quilibet datus tot semper epactas habet, quot dierum ætas illius est Martii die XXXI. Sol autem, sive annus ejus currens, totidem utique habet epactas, quota feria est, in quam antecedens annus desiit pridie Kalend. Apriles. Hæc de epactis solis, et earum methodo dicta sufficiant.

Περὶ τῆς κατὰ σάρκα τοῦ Σωτῆρος γεννήσεως, τοῦ τε βαπτίσματος, καὶ τοῦ πάθους, ποίῳ γεγόνασιν ἡλίου καὶ σελήνης ἔτει, καὶ ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος.

B

ΛΒ'. Τούτων οὕτως εἰρημένων, τῶν ἀναγκαιοτάτων ἐστὶν ἐπισημήνασθαι καὶ τὸ τῆς κοσμογενείας ἔτος, ἐν ᾧ τὴν ὑπερκόσμιον ἐν κόσμῳ πεποίηται σάρκωσιν ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀεὶ Παρθένου Μαρίας ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός. Ἦν οὖν τὸ τηνικαῦτα ἐφα' ἔτος, κατὰ τὴν ἐν δέλτοις ἱεροῖς ἀναγραφήν, τῶν ἀπὸ Ἀδὰμ ἀριθμουμένων ἐτῶν. Ἐν τούτῳ γὰρ ὅ τε εὐαγγελισμὸς γέγονε τῆς Παρθένου, καὶ ἡ ἐξ αὐτῆς αὐτοῦ ἄφθορος καὶ πανάγαθος γέννησις. Ἔτος δὲ ἦν ἡλίου τὸ ιγ', σελήνης τὸ ι', ἡμέρα δὲ τῆς ἑβδομάδος τοῦ μὲν εὐαγγελισμοῦ β'· τῆς δὲ γεννήσεως; δ'. Οὕτω δὲ καὶ τὸ πάμφωτον αὐτοῦ καὶ ὑπέρφωτον βάπτισμα τῷ ,εφλ' γέγονεν. Ἔτος δὲ ἦν ἡλίου μὲν ιδ', σελήνης δὲ τὸ α', ἡμέρα δὲ τῆς ἑβδομάδος γ'. Πάλιν δὲ τὸ σωτήριον αὐτοῦ πάθος, ἥγουν ἡ σταύρωσις, τῶν [83] ,εφλδ'. Ἔτος δὲ ἦν ἡλίου μὲν ιη', σελήνης δὲ ε', ἡμέρα δὲ προδήλως Παρασκευή· ὡς εἶναι τὰ ἀπὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ μέχρι τῆς νῦν ἐνισταμένης Ἰνδικτιῶνος, ἔτους λα' τῆς βασιλείας Ἡρακλείου τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, ἔτη χλγ'. Τὰ δὲ ἀπὸ τοῦ σωτηρίου βαπτίσματος καὶ τοῦ πάθους, δῆλα πάλιν ἐκ τούτων καθέστηκεν, ὡς τὰ μέν εἰσιν χδ', τὰ δὲ χα'.

C

De nativitate Christi secundum carnem, deque baptismate, et passione, quoto anno solis ac lunæ contigerint, et quanam hebdomadis die.

XXXII. His ita constitutis, in primis necessarium est annum orbis conditi notatum habere, in quo Jesus Christus Deus, ac Dominus noster illam mundo sublimiorem incarnationem e sancta Deipara, semperque Virgine Maria suscepit in mundo. Erat tunc igitur annus mundi 5501, ut ex sacris litteris constat, earumque computatione annorum ab Adamo. Hoc enim anno annuntiatio Virgini facta est, et incorrupta benignissimaque de ipsa nativitas accidit. Annus erat solis XIII, lunæ vero X, dies hebdomadæ tempore evangelismi feria II, nativitatis IV. Sic splendidissimus, imo splendore major omni baptismus ejusdem contigit anno 5530, anno solis XIV, lunæ I, feria III. Rursus salutaris illius passio, sive crucifixio, anno 5534, anno solis XVIII, lunæ V, ipso utique Parasceves die. Colliguntur ab incarnatione ipsius usque ad præsentem indictionem anni XXXI imperii Heraclii piissimi nostri imperatoris, anni 633. A salutari vero baptismo, et passione quot anni lapsi sint ex iis manifestum est omnibus, nimirum ab illo annos fluxisse 604, ab hac 601.

Διὰ τί διαφόρῳ τῷ τῆς ἰνδικτιῶνος ἔτει τὸ τῆς γεννήσεως τοῦ Κυρίου κανονίζεται ἔτος· καὶ πῶς ἡ ἰνδικτιὼν, καὶ πόθεν ψηφίζεται.

ΛΓ'. Ἐφ' ἑκάστου δὲ τούτων τὴν ἐπινέμησιν, ἣν Ἰνδικτιῶνα οἱ Ῥωμαῖοι προσαγορεύουσι, διάφορον οὖσαν εὑρίσκομεν· ὡς διαφώνως ταύτης ψηφιζομένης ἔκ τε τῶν ἀπὸ Ἀδὰμ ἐτῶν καὶ τῶν ἀφ' οὗ γέγονεν αὕτη. Γέγονε δὲ κατὰ τοὺς ἱστοριογραφοῦντας ἀπὸ Αὐγούστου Καίσαρος, τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ. Τότε δὲ ἦν τῆς κοσμογενείας τὸ ,ευξ'· ἅπερ, εἰς τὸν ιε' λυόμενα, τὸ τέλος τῆς Ἰνδικτιῶνος παρίστησιν, ἥγουν αὐτὸ ιε' ἔτος· ἐν ᾧ ταύτης ἐκεῖνος κατὰ τὸ δόξαν θέμενος τὴν ἀρχήν, πρῶτον τὸ τελευταῖον πεποίηκεν. Ὡς ἐντεῦθεν ἓν ἔτος προτρέχειν λοιπὸν τὴν ἀπὸ δευτέρου ἔτους τῆς βασιλείας Αὐγούστου

D

Cur diverso indictionis anno nativitatis Dominicæ notatur annus, et quomodo indictio, et unde putetur.

XXXIII. In his singulis diversa reperitur indictio (sic enim a Romanis vocatur), tanquam non uno modo numeretur ab annis Adami, et ex quo primum instituta est. Orta est autem, ut historici prodiderunt, anno primo Augusti Cæsaris, ejus imperii secundo, qui fuit annus mundi 5460. Hi per 15 divisi, ultimum indictionis annum, id est annum quintum decimum exhibent: in quo hujus initium ille statuens ultimum esse primum voluit. Ita fit ut uno anno præcurrat indictio, quæ ab anno Augusti secundo numeratur, eam, quæ ab orbis exordio ducitur, quando anni Adami per XV divi-

[83] *f.* τῷ.

Digitized by Google

duntur. Proinde fuit indictio XI secundum calculum istum, anno quo secundum carnem Salvator est ortus : at ex illo calculo fuit XII, quoniam uno antevertit anno. Sic sacratissimus baptismus indictionem habet X et XI, et salutaris passio XIV et XV. Quippe anno Augusti XLIII nostri instar, ut homo, natus is est, qui ante sæcula tanquam Deus ex Patre natus fuerat. Proinde si XLII per XV divides, annus prodibit indictionis XII : quo, ut diximus, Christi natalis incidit, quemadmodum rursus 5601 per XV divisa dant XI. Potest autem utroque computandi modo præsens indictionis annus eadem ratione deprehendi. Ut si annos Adami propter eam causam, quam diximus, uno amplius numeratos 6134, per 15 dividas, aut si annos a secundo imperatoris Augusti 674 per eumdem partiare **182** numerum : utrobique præsentis anni conficies indictionem XIV. Eadem in annis reliquis methodus adhibenda, ut cujuslibet indictionis numerum obtineas.

A ψηφιζομένην ἰνδικτιῶνα, τῆς ἀπὸ κτίσεως κόσμου ψηφιζομένης, κατὰ τὴν τῶν ἀπὸ Ἀδὰμ ἐτῶν εἰς τὸν ιε' γενομένην ἀνάλυσιν. Ὅθεν κατὰ ταύτην μὲν τὴν ψῆφον ἔτος ἰνδικτιῶνος ια' ἦν, ἐν ᾧ γέγονεν ἡ κατὰ σάρκα τοῦ Σωτῆρος γέννησις· κατ' ἐκείνην δὲ ιβ', διὰ τὸ ἓν προλαμβάνειν ἔτος. Οὕτω δὲ καὶ τὸ πανίερον βάπτισμα ι' καὶ ια', καὶ τὸ σωτήριον πάθος ιδ' καὶ ιε'. Τῷ γὰρ μγ' τῆς βασιλείας Αὐγούστου τὴν καθ' ἡμᾶς ὡς ἄνθρωπος πεποίηται γέννησιν ὁ πρὸ τῶν αἰώνων ἐκ Πατρὸς γεννηθεὶς ὡς Θεός. Τὰ οὖν μβ' μεριζόμενα παρὰ τὸν ιε', ιβ' τῆς ἰνδικτιῶνος ἔτει γεγενῆσθαι, καθὼς ἔφην, παριστᾷ τοῦ Κυρίου τὴν γέννησιν· ὥσπερ οὖν καὶ ἐν ια' πάλιν τὰ ,εφα' μεριζόμενα εἰς τὸν αὐτὸν ἀριθμόν. Ἔστι δὲ διὰ ἀμφοτέρων τῶν ψήφων καὶ τὸ νῦν ἐνιστάμενον τῆς ἰνδι-

B κτιῶνος ἔτος κατὰ τὸν ὅμοιον τρόπον εὑρεῖν· οἷον τοῖς μὲν ἀπὸ Ἀδὰμ διὰ τὴν εἰρημένην αἰτίαν κατὰ πρόσθεσιν ἑνὸς ἔτους γενομένοις ,ςρλδ', καὶ εἰς τὸν ιε' λυομένοις· τοῖς δὲ ἀπὸ β' ἔτους τῆς βασιλείας Αὐγούστου μόνοις οὖσι τὸν ἀριθμὸν χοδ', καὶ εἰς τὸν αὐτὸν ἀριθμὸν μεριζομένοις· ἐξ ἑκατέρων γὰρ ιδ' γινώσκεται τὸ νῦν ἐνιστάμενον. Τοῦτο δὲ καὶ ἐπ' ἄλλου παντὸς ποιεῖν προσήκει τοὺς τὸν ἑκάστου τῆς ἰνδικτιῶνος ἔτους διασκοπεῖν ἐθέλοντας ἀριθμόν.

De responso dato Zachariæ, et Joannis ac Salvatoris annis.

XXXIV. De oraculo quoque, quod de Joanne Baptista editum est Zachariæ, cujus ante meminimus, nunc ut ordo postulat, accuratius dici convenit, quoto anno solis ac lunæ contigerit. Ac si quis attendere velit, facile intelliget, utrumque eum esse, qui Christi natalem proxime antecessit. Itaque solis XII, lunæ IX fuit, mensis Romanis September, ejusque dies XXVII, feria V. Nam quod ad natalem Joannis attinet, eosdem hic annos solis et lunæ, quos Salvatoris nativitas, habuit. Sed mensis diversus fuit, videlicet Junius, ejusque XXIV dies, feria II. Annus quo martyrium obiit, ac decollatus est, solis annus fuit XVII, lunæ IV, mensis Augustus, ejusque dies XXIX, feria III. Colliguntur anni Christi in carne XXXIII, dies LXXXIX ; Joannis vero Baptistæ anni XXXIII, dies LXVII. Desunt ad explendos Salvatoris dies XXII.

C

Περὶ τοῦ κατὰ τὸν Ζαχαρίαν χρηματισμοῦ, καὶ τῶν τοῦ Ἰωάννου καὶ Σωτῆρος ἐτῶν.

ΛΔ'. Προσήκει δὲ καὶ τὸν περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ γενόμενον χρηματισμὸν τῷ Ζαχαρίᾳ, οὗ πρόσθεν ἐμνήσθημεν, ἐν τάξει δι' ἀκριβείας ὑπομνηματίσαι, κατὰ ποῖον οὗτος ἡλίου καὶ σελήνης γέγονεν ἔτος. Καὶ τοῖς μὲν ἐπιστατοῦσι δῆλον τοῦτο καθέστηκεν, ὡς ἑκάτερον τὸ πρὸ τῆς τοῦ Σωτῆρος ὑπάρχει γεννήσεως· οἷον ἡλίου μὲν τὸ ιβ', σελήνης δὲ τὸ θ', μὴν δὲ κατὰ Ῥωμαίους Σεπτέμβριος ἦν, εἰκάδα ζ' ἔχων, ἡμέρα τῆς ἑβδομάδος ε'. Τὸ γὰρ τῆς αὐτοῦ τοῦ Ἰωάννου γεννήσεως τὸ αὐτὸ ἦν ἡλίου τε καὶ σελήνης ἔτος, ἐν ᾧ γέγονεν ἡ τοῦ Σωτῆρος γέννησις· εἰς δ μὴν προδήλως ἕτερος, Ἰούνιος ὤν, καὶ εἰκάδα δ' ἔχων, ἡμέρα δὲ τῆς ἑβδομάδος β'. Πάλιν δὲ τὸ τῆς αὐτοῦ τελειώσεως, ἤγουν ἀποτομῆς, ἡλίου μὲν τὸ ζι', σελήνης δὲ τὸ δ'· μὴν δὲ Αὔγουστος, εἰκάδα θ' ἔχων, ἡμέρα τῆς ἑβδομάδος γ'. Ὡς εἶναι τὰ μὲν κατὰ σάρκα τοῦ Σωτῆρος ἔτη λγ', ἡμέρας πθ'· τὰ δὲ Ἰωάννου τοῦ Βαπτιστοῦ ἔτη λγ', ἡμέρας ξζ', ἐλάττους κβ' τυγχάνουσαι πρὸς τὰς τοῦ Σωτῆρος ἡμέρας.

Tu vero, a Deo conservande domine, horum omnium compendio tibi traditam habens scientiam, religiosorum Salvatoris nostri festorum solemnitates observa : ut perpetua te cum angelis in cœlo chorea, et celebritatis excipiat, precibus et intercessionibus gloriosissimæ et immaculatæ dominæ nostræ ac Deiparæ, semperque Virginis Mariæ et omnium sanctorum. Amen.

D Ἀλλ' ἔχων, θεοφύλακτε δέσποτα, τούτων ἐπιτόμως ὑποδειχθεῖσαν τὴν εἴδησιν, ἀντέχου τῆς τῶν ἱερῶν τοῦ Σωτῆρος ἡμῶν τελετῶν ἱερᾶς πανηγύρεως· ἵνα ἐξῆς ἀδιαδόχως σε διαδεχομένην τὴν ἐν οὐρανοῖς μετ' ἀγγέλων τε χοροστασίαν καὶ πανήγυριν, εὐχαῖς καὶ πρεσβείαις τῆς πανενδόξου καὶ ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀεὶ Παρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

S. MAXIMI COMPUTI

PARS SECUNDA.

Explicatur secundus canon.

183 I. Cum, ut ordo postulabat, in superiori expositione declaratum fuerit, quibus et quot in annis,

Ἐξήγησις τοῦ δευτέρου κανονίου.

Α'. Ἐπειδὴ προεστειλάμεθα κατὰ τάξιν εἰς τὴν ἤδη γενομένην ἐξήγησιν ἐν τίσι καὶ πόσοις ἔτεσι τῆς

Digitized by Google

σελήνης πεντεκαιδεκάτην ἢ ἐξκαιδεκάτην τὴν τοῦ πρώτου καθ' Ἑβραίους μηνὸς τεσσαρεσκαιδεκάτην ψηφίζουσιν οἱ ταῦτα, λέγω δὲ τὰ τῆς σελήνης, ἔτη πενταπλοῦντες καὶ ἑξαπλοῦντες, οὐκ ἐπεσημηνάμεθα δὲ ποῖα κατ' αὐτοὺς, καὶ πόσα Κυριακῆς [84] ἔχει, τὴν τοιαύτην ιε' καὶ ις' (ἐξ οὗ λοιπὸν εἰκάδι β' καὶ εἰκάδι γ' τοῦ φέγγους τὸ κατὰ Χριστὸν κανονίζουσι Πάσχα, μηδαμῶς ὑφ' ἡμῶν οὕτως τηρουμένου· οὐ γὰρ θέμις ἡμᾶς τὴν εἰκάδα α' ὑπεραναβῆναι, ὥσπερ οὐδὲ τὴν ιε' ὑποκαταβῆναι), συνεῖδον κανονίῳ τινὶ καὶ ταύτην διασημᾶναι, περιέχοντι πάντα δι' ἀκριβείας, οὐχὶ τὰ μιᾶς ἐννεακαιδεκαετηρίδος μόνον ἔτη, ἀλλὰ τῶν κη' ἐννεακαιδεκαετηρίδων, ἐξ ὧν ἡ πᾶσα τῶν φλβ' ἐτῶν πληροῦται περίοδος.

lunæ quintam decimam, vel decimam sextam computent, qui hos ipsos annos lunæ per quinque, et sex multiplicant : sed hoc minime significatum sit, cujusmodi, et quot ex illis annis istam decimam quintam, ac decimam sextam in Dominicam incurrentem habeant (ex quo fit, ut XXII, vel XXIII luna Christianum Pascha celebrent; cui contrarium observatur a nobis, non enim XXI transgredi nobis licet, uti nec infra XV descendere), statui apud me proposita quadam tabula id exponere : quæ quidem tabula accurate omnia comprehendat, non solum unius cycli decemnovennalis annos, sed XXVIII enneadecaeteridon, quibus tota annorum 532 periodus continetur.

[84] *f.* Κυριακήν, *vel* ἐπὶ Κυριακῆς.



Digitized by Google

A	B	Γ	Δ	E	E	Δ	Γ	B	A
Ἐμβόλ.		Σελήνης ἔτη.	Ἐπακταί.	Περιτταί.	Προσθεταί.	Ποσταῖαι.	Μῆνες Ῥωμαίων.	Ἐπακταί.	Σελήνης ἔτη.
	Δ	Α	ΙΒ	ΙΑ		Β	Ἀπρίλ.	ΙΒ	Δ
	Ε	Β	ΚΓ	ΙΔ	Δ	ΚΒ	Μάρτ.	ΚΓ	Ε
Ἐμβόλ.	ϛ	Γ	Δ	ΙΔ		Ι	Ἀπρίλ.	Δ	ϛ
	Ζ	Δ	ΙΕ	ΙΔ	Δ	Λ	Μάρτ.	ΙΕ	Ζ
Ἐμβόλ.	Η	Ε	Κϛ	ΙΕ		ΙΗ	Ἀπρίλ.	Κϛ	Η
	Θ	ϛ	Ζ	ΙΕ		Ζ	Ἀπρίλ.	Ζ	Θ
	Ι	Ζ	ΙΗ	ΙΕ	Δ	ΚΖ	Μάρτ.	ΙΗ	Ι
Ἐμβόλ.	ΙΑ	Η	ΚΘ	ΙΕ		ΙΕ	Ἀπρίλ.	ΚΘ	ΙΑ
	ΙΒ	Θ	Ι	ΙΕ		Δ	Ἀπρίλ.	Ι	ΙΒ
	ΙΓ	Ι	ΚΑ	ΙΕ	Δ	ΚΑ	Μάρτ.	ΚΑ	ΙΓ
Ἐμβόλ.	ΙΔ	ΙΑ	Β	ΙΕ		ΙΒ	Ἀπρίλ.	Β	ΙΔ
	ΙΕ	ΙΒ	ΙΔ	ΙΕ		Α	Ἀπρίλ.	ΙΓ	ΙΕ
	Ιϛ	ΙΓ	ΚΕ	ΙΕ	Δ	ΚΑ	Μάρτ.	ΚΔ	Ιϛ
Ἐμβόλ.	ΙΖ	ΙΔ	ϛ	ΙΕ		Ε	Ἀπρίλ.	Ε	ΙΖ
	ΙΗ	ΙΕ	ΙΖ	ΙΕ	Δ	ΚΘ	Μάρτ.	Ιϛ	ΙΗ
Ἐμβόλ.	ΙΘ	Ιϛ	ΚΗ	Ιϛ		ΙΖ	Ἀπρίλ.	ΙΖ	ΙΘ
	Α	ΙΖ	Θ	ΙΕ		ϛ	Ἀπρίλ.	Θ	Α
	Β	ΙΗ	Κ	ΙΔ	Δ	Κϛ	Μάρτ.	Κ	Β
Ἐμβόλ.	Γ	ΙΘ	Α	ΙΕ		ΙΓ	Ἀπρίλ.	Α	Γ

184 Est igitur ejusmodi tabulæ descriptio. In medio sita est ingens rota, utrinque singulis canonibus stipata. In rota zonæ sunt, vel circuli IX, qui hoc modo se habent. Primus circulus, qui extimus est, annos XXVIII solis exhibet, initio non a primo ducto, sed a XIII, XIV, et ita deinceps; secundus annorum epactas; tertius Juliani quadriennii bisextiles; quartus annos solis XXVIII iterum inchoatos a primo. Ob id vero in primo circulo a XIII, in secundo a primo anni XXVIII solis incipiunt, ut studiosus lector facilius intelligeret, quem illi computant primum solis annum, apud nos esse XIII, et secundum XIV, et ita porro, eadem omnino ratione; in superiori vero parte annos posuimus, qui revera ex traditione ecclesiastica ita numerantur. Hæc sunt in quatuor rotæ circulis; at interiores V circuli annos lunæ continent octo et viginti enneadecaeteridum, in quibus XIV primi mensis Judaici in Dominicam incidens ab illis XV, vel XVI computatur. Cæterum ordine quælibet enneadecaeteris indicatur, prima quidem per primum solis annum, qui quarto circulo inscriptus est: post quem, ut dixi, lunares anni describuntur; secunda enneadecaeteris per sequentem. Et ita singulæ per suprascriptos annos solis. His enim ad ejusdem numeri significandas enneadecaeteridas usi sumus, ne propter eas alio circulo opus esset; ac circulis tantummodo V cujuslibet enneadecaeteridis annos attribuimus, quoniam in nulla prorsus ultra annos quinque in Dominicam cadere animadvertimus XV, vel XVI illorum, quam nos XIV computamus, quod nonnisi in uno, vel duobus, vel tribus, vel quatuor, quinqueve annis fit, in pluribus non accidit.

A Ἔστιν οὖν ἡ τοῦ κανονίου διαγραφὴ τοιαύτη. Κατὰ τὸ μέσον αὐτοῦ τροχὸν ἔχει μέγαν· ἑκατέρωθεν δὲ δύο κανόνια. Καὶ ὁ μὲν τροχὸς κέκτηται ζώνας ἐννέα, τουτέστι κύκλους· οἱ δὲ κύκλοι ταῦτα καθ' εἱρμὸν περιέχουσιν. Οἷον ὁ μὲν πρῶτος, ἤγουν ὁ ἐξώτερος, τὰ κη' τοῦ ἡλίου ἔτη, οὐκ ἀπὸ πρώτου ἔτους ἔχοντα τὴν ἀρχήν, ἀλλὰ τρισκαιδεκάτου, καὶ τεσσαρεσκαιδεκάτου, καὶ τῶν καθεξῆς· ὁ β' τὰς τῶν ἐτῶν ἐπακτάς· ὁ γ' τὰ κατὰ τὴν τετραετηρίδα βίσεξτα· ὁ δ' τὰ κη' τοῦ ἡλίου ἔτη πάλιν, ἀπὸ πρώτου ἔτους ἔχοντα τὴν ἀρχήν. Διὰ τοῦτο δὲ κατὰ μὲν τὸν πρῶτον κύκλον ἀπὸ γ' καὶ ι', κατὰ τὸν δ' δὲ ἀπὸ πρώτου τὰ κη' τοῦ ἡλίου κατετάγησαν ἔτη, ἵνα εὐσημείωτον γένηται τοῖς φιλομαθέσιν, ὡς τὸ παρ' ἐκείνοις ψηφιζόμενον α' τοῦ ἡλίου ἔτος παρ' ἡμῖν ἐστι γ' καὶ ι', καὶ τὸ β', δ' καὶ B ι', καὶ τὰ λοιπὰ κατὰ τὸν ὅμοιον τῆσδε τῆς διαστολῆς τρόπον. Ἀνωτέρω δὲ τούτων ὡς ἀληθῆ τὰ κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ψηφιζόμενα κατετάξαμεν. Ταῦτα μὲν ἐν τοῖς τέσσαρσι τοῦ τροχοῦ κύκλοις· οἱ δὲ τούτων ἐντὸς διαγεγραμμένοι ε' κύκλοι τὰ τῶν εἰρημένων κη' ἐννεακαιδεκαετηρίδων τῆς σελήνης περιέχουσιν ἔτη· ἐν οἷς εἰς πρώτην ἡμέραν, ἤγουν ἁγίαν Κυριακήν, ε' καὶ ι', ἢ ϛ' καὶ ι', ἐκεῖνοι τὴν δ' καὶ ι' ψηφίζουσι τοῦ καθ' Ἑβραίους πρώτου μηνός. Δηλοῦται δὲ κατὰ τάξιν ἡ μὲν πρώτη τῆς σελήνης ἐννεακαιδεκαετηρὶς διὰ τοῦ πρώτου κατὰ τὸν ἥλιον ἔτους τοῦ εἰς τὸν τέταρτον ἐγγεγραμμένου κύκλον, μεθ' ὃν, ὡς ἔφην, τὰ αὐτὰ τῆς σελήνης διεγράφησαν ἔτη· ἡ δὲ β' διὰ τοῦ β'· καὶ ἁπλῶς αἱ πᾶσαι διὰ τῶν C ὑπερκειμένων τοῦ ἡλίου ἐτῶν. Τούτοις γὰρ εἰς τὴν τῶν ἰσαρίθμων ἐννεακαιδεκαετηρίδων συνεχρησάμεθα σημασίαν, ἵνα μὴ διὰ ταύτας ἄλλον διαγράψωμεν κύκλον. Πέντε δὲ μόνον κύκλοις τὰ ἑκάστης ἐννεακαι-

[a] *f.* ιθ'.

Digitized by Google

δεκαετηρίδος τετηρήκαμεν ἔτη· ἐπειδὴ οὐδὲ μιᾷ περαιτέρω τῶν ε' ἐτῶν εἰς Κυριακὴν ἡμέραν συναντῶσαν εὑρήκαμεν τὴν παρ' ἐκείνοις ψηφιζομένην ε' καὶ ι', ἢ ς' καὶ ι', εἰς ἣν καθ' ἡμᾶς δ' καὶ ι' ψηφίζεται, ἀλλ' ἢ ἐν ἑνὶ, ἢ δυσὶν, ἢ τρισὶν, ἢ τέσσαρσιν, ἢ ε'· πλείω δὲ οὐδαμῶς. Κατὰ πᾶσαν μὲν γὰρ ἐννεακαιδεκαετηρίδα ἔν τε τοῖς δεκατρισὶν ἔτεσιν ε' καὶ ι', καὶ τῷ ἑνὶ ἓξ καὶ ι' τὴν δ' καὶ ι', ὡς ἔφην, ψηφίζουσιν. Οὐκ ἔστι δὲ εἰς Κυριακὴν ἡμέραν. Ἐξ οὗ κἂν εἰ περὶ τὴν τῆς σελήνης σφάλλονται ἡμέραν, ἀλλά γε περὶ τὸ κατὰ Χριστὸν οὐ διαμαρτάνουσι Πάσχα δ. . . . τοῦ τελεῖσθαι μέχρι τῆς τοῦ φέγγους εἰκάδος α'· ἣν οὐχ ὑπερβαίνουσιν, ἀπὸ δευτέρας τὴν ε' καὶ ι' ψηφίζοντες· ὥσπερ οὐδὲ ἀπὸ γ' τὴν ς' καὶ ι'. Ἐπεὶ ταύτην, λέγω δὲ τὴν ς' καὶ ι', ἐὰν ἀπὸ τῆς κατὰ τὴν ἑβδομάδα δευτέρας ψηφίσωσιν; ὑπερβαίνουσι πάντως· ις' γὰρ καὶ ς' κβ' ποιοῦσιν. Διὸ καὶ τὰ οὕτως παρ' αὐτοῖς ψηφιζόμενα τῆς σελήνης ἔτη ἐσημειωσάμεθα διὰ β' στιγμῶν. Ὁμοίως δὲ καὶ τὰ ἐν οἷς εἰς Κυριακὴν τὴν εἰρημένην ς' καὶ ι' τηροῦσι, διὰ τριῶν στιγμῶν. Καὶ οὗτος ὁ περὶ τῶν στιγμῶν λόγος τῶν ἐνόντων τισὶν ἔτεσι τῆς σελήνης, ἐξ ὧν ἡ διαστολὴ γίνεται τῶν ἐν οἷς εἰκάδι β', καὶ ἐν οἷς εἰκάδι γ', καὶ ἐν οἷς πρὸ τοῦ Ἑβραϊκοῦ Πάσχα τὸ κατὰ Χριστὸν παρὰ τὸ εἰκὸς κανονίζουσιν. Ἐν γὰρ τοῖς τὰς δύο στιγμὰς ἔχουσι τοῦτο ποιοῦσιν, εἰς Κυριακὴν ἡμέραν τὴν παρ' ἡμῖν γ'[86], καὶ ι', ε' καὶ ι', αὐτοὶ τοῦ φέγγους ψηφίζοντες. Εἰς ἣν ὅσον μὲν δι' αὐτὴν τὴν ε' καὶ ι' ἑορτάζειν ὤφελον, τοῦτό γε τοῦ κανόνος ἐγχωροῦντος ποιεῖν, ὅσον δὲ διὰ τὴν δ' καὶ ι' τῇ ἑξῆς, ἤγουν τῇ β' τῆς ἑβδομάδος ὑπάρχουσαν, πρὸ τοῦ καθ' Ἑβραίους Πάσχα τὸ κατὰ Χριστὸν ἐλέγχονται κανονίζοντες, καὶ περὶ τὴν ἀληθῆ ψῆφον διαμαρτάνοντες. Εἰ γὰρ καὶ ἡ συνέμπτωσις τοῦ κατὰ Χριστὸν πρὸς τὸ Ἑβραϊκὸν διαβάλλεται Πάσχα, τί δ' ἂν τις εἴποι περὶ τῆς προεμπτώσεως; Συμβαίνει δὲ αὖθις ἐκείνους τὸ ἴσον τελεῖν, κἂν τοῖς τὸ[87] . . . . . ἔτεσιν. Ἐν τούτοις γὰρ πεντεκαιδεκά . . . . . τὴν τῆς εἰς Κυριακὴν ἡμέραν ψηφί . . . . . ζοντες τοῦ νομικοῦ Πάσχα. Ὡς ἂν τοίνυν . . . . δῆλα καὶ ταῦτα τοῖς ἐντυγχάνουσι . . . . . μόνῃ στιγμῇ διεσημηνάμεθα. Εἰσὶν οὖν τὰ μηδεμίαν στιγμὴν. . . . . κατὰ τὴν οἰκείαν ἐξάγουσι ψῆφον τὸ Πάσχα· πρώτην καὶ εἰκάδα κατὰ τὴν ἐκκλησιαστικὴν ὑπάρχουσαν μέθοδον. Τὰ δὲ μίαν ἢ δύο κεκτημένα στιγμὰς, ἐν οἷς εἰς εἰκάδα β' οὐ μόνον, ἀλλὰ καὶ τὸ κατὰ Χριστὸν τοῦ[88] νομικοῦ ἡ[89] λέκται κανονίζουσιν· εἰ καὶ τοῖς μὲν οἷον τοῖς μίαν ἔχουσι τὴν στιγμὴν διὰ τὸ βίσσεξτον· τοῖς δὲ τὰς δύο στιγμὰς διὰ τὰς ἐκ τῶν ἑξηκοστῶν ἀθροιζομένας αὐτοῖς ἡμέρας· τὰ δὲ τρισὶν ἐνσημανθέντα στιγμαῖς, ἐν οἷς εἰς εἰκάδα γ', πρὸς καί τισιν ἑτέροις ποστημορίοις ἐκτείνουσιν, ὅπερ ἄτοπον. Ἐν ταύταις δὲ ταῖς εἰρημέναις ε' ζώναις, ἤγουν τοῖς κύκλοις, συνετάξαμεν τοῖς ἔτεσι τῆς σελήνης ἐξ εὐωνύμων τὰ τοῦ ἡλίου ἔτη μετὰ καὶ τῶν ιθ' κύκλων αὐτῶν, ἤγουν εἰκοσιοκταετηρίδων, ἀπὸ σηρικοῦ γεγραμμέ-

Etenim per quamvis enneadecaeteridem in annis xiii, decimam quintam : in uno, xvi putant, ut dictum est, eam quæ xiv revera est. Sed in Dominicam eæ non incidunt. Unde licet in die ipso lunæ fugiat illos ratio, non tamen in Christiano Paschate error obrepit . . . . celebrari usque ad xxi lunæ quam non transcendunt, cum secunda feria xv computant : quemadmodum cum tertia xvi numerant. Nam si hanc ipsam xvi feria ii numerent, utique transgrediuntur. Quippe xvi et vi faciunt xxii. Ob hanc causam annos lunæ eorum calculo ita putatos duplici puncto notavimus : similiter annos eos, quibus Dominica die xvi illa, quam diximus, observatur, puncto triplici distinximus. Hoc est punctorum illorum negotium, quæ quibusdam annis lunæ sunt adscripta, et ad discrimen eorum pertinent, quibus in xxii aut xxiii lunæ diem Pascha illis incidit : tum etiam quibus ante Judaicum Pascha, Christianum ab iisdem, contra quam oportet, indicitur. Hæc enim iis annis faciunt, qui duobus punctis præditi sunt; ut Dominica die, quam nos xiii lunam putamus, eam ipsi xv numerent. Tum enim, quantum ad xv attinet, celebrare Pascha debuerant, cum hoc fieri per canonem liceat. Quatenus autem xiv sequenti die, hoc est feria secunda hebdomadis, incurrit, ante Judaicum Pascha Christianum illos statuere, et a veris calculis aberrare, ratio ipsa convincit. Nam si vel ipse Paschatis nostri cum Judaico concursus in culpa est, quid dicendum est, si hoc etiam sit illud anterius? Contingit autem rursus illos eodem celebrare modo, his annis . . . . . In his enim decimam quintam . . . . quæ in Dominica die computatur . . . . .legalis Paschatis. Ut igitur . . . . manifesta hæc lectoribus . . . . singulari puncto notavimus. Sunt igitur quæ puncto omni carent . . . . . Pascha ad suas rationes accommodant; quæ xxi ecclesiastica methodo computatur. At qui unico puncto duplicive sunt affecti, ii sunt, in quibus non solum xxii die, sed etiam ante legale Pascha Christianum ab iis indicitur : adeo ut qui unum habent punctum, his propter bissextum illud accidat; qui duplici præditi sunt, propter dies illos, qui ex collectis sexagesimis accedunt; qui tribus denique notati sunt, in iis ad xxiii usque diem cum excurrentibus aliquot scrupulis Pascha diffunditur. Quod est absurdum. Cæterum in illis quinque zonis, circulisve, ad annos lunæ solares ad sinistram ascripsimus, una cum xix cyclis ipsorum, qui annis singuli constant octo et viginti : e quibus enneadecaeterides rubrica depictæ sunt : ut singularum anni illi, in quibus decimam quartam, isti decimam **185** quintam, vel sextam decimam computant, quoti sint in cyclo solis, et cujus cycli, possit agnosci : atque ex congruentibus epactis, quæ se-

[86] *f.* δ'. [87] *Exesæ in exemplari litteræ non potuerunt hic legi, nec describi.* [88] *f.* πρὸ τοῦ. [89] *f.* ᾗ

Digitized by Google

cundo circulo ejusdem rotæ sunt inscriptæ, feria conficiatur, compositis invicem anni solis epactis, et Romani mensis diebus, una cum rubricatis regularibus : ac summa per VII deinde divisa. Ob hanc enim causam annis lunæ solares ad lævam adjunximus. Hactenus de rotæ mediannæ descriptione.

νων αὐτῶν δὴ τῶν ἐννεαδεκαετηρίδων· ἵνα γνωσθῇ πάσης ἐννεακαιδεκαετηρίδος ἔτος εἰς ὃ ε' καὶ ι', ἢ ἐξ καὶ ι', ἐκεῖνοι τὴν δ' καὶ ι' ψηφίζουσι, πόστον ἔτος ἡλίου, καὶ ποίας εἰκοσιοκταετηρίδος καθέστηκε, κἀκ τῶν αὐτοῦ προσφόρων ἐπακτῶν, τῶν ἐγγεγραμμένων κατὰ τὸν β' κύκλον τοῦ αὐτοῦ τροχοῦ, ἡ τῆς ἑβδομάδος ἡμέρα διαγνωσθῇ, κατά τε τὴν συμπλοκὴν τῶν τοῦ ἡλίου ἐτῶν ἐπακτῶν, καὶ τῆς τοῦ Ῥωμαϊκοῦ μηνὸς ποσταίας, καὶ τῶν ἀπὸ σηρικοῦ προσθετῶν, καὶ τῆς εἰς ζ' τῶν ἀθροιζομένων ἀναλύσεως. Ταύτης γὰρ ἕνεκεν τῆς αἰτίας τοῖς τῆς σελήνης ἔτεσι τὰ τοῦ ἡλίου συνετάξαμεν ἔτη ἐξ εὐωνύμων. Ταῦτα περὶ τῆς ἐν τῷ μέσῳ τροχῷ διαγραφῆς.

De tabula sinistra.

III. Ex duabus tabellis, quibus utrinque rota stipatur, quæ ad sinistram deorsum tendit a summo, ista continet : in primo versu septem sunt embolimi menses ad suos quique lunæ annos ascripti ; in secundo, anni lunæ XIX, qui non a primo, sed a quarto incipiunt anno ; in tertio, anni lunæ XIX a primo deinceps ordine progredientes. Id autem hoc etiam loco propterea factum est, ut quem illi primum annum lunæ computant, hic apud nos esse quartus ostendatur : et secundus quintus, atque ita deinceps usque ad annum XIX. Sed primo loco annos posuimus, quemadmodum a nobis ecclesiastica ratione computantur : quibus illorum calculo numeratos subjecimus : quod nostri illi veri ac legitimi sint. In IV versum epactas annorum conjecimus, hoc est ætatem lunæ, quæ anno ejus quolibet Januariis Kalendis competit ; in V versu, quartæ decimæ primi mensis redundantes dies, aut æquales, quæ sunt ipsæ decimæ quartæ. Hæc in sinistra tabula continentur.

Περὶ τοῦ ἐξ εὐωνύμων κανονίου.

Γ'. Τὰ δὲ ἑκατέρωθεν δύο κανόνια, τὸ μὲν ἐξ εὐωνύμων ἄνωθεν ἐπὶ τὰ κάτω φερόμενον, κέκτηται τάδε· ἐν τῷ α' στίχῳ· τοὺς ζ' ἐμβολίμους μῆνας ἐν τοῖς προσήκουσι τῆς σελήνης ἔτεσι κατατεταγμένους· ἐν τῷ β' στίχῳ τὰ ιθ' τῆς σελήνης ἔτη, οὐκ ἀπὸ πρώτου ἔτους, ἀλλ' ἀπὸ δ' τὴν ἀρχὴν λαχόντα· ἐν τῷ γ' στίχῳ τὰ ιθ' τῆς σελήνης ἔτη, ἀπὸ πρώτου ἔτους καθ' εἱρμὸν τεταγμένα. Τοῦτο δὲ κάνταῦθα γέγονεν, ἵνα τὸ παρ' ἐκείνοις ψηφιζόμενον πρῶτον τῆς σελήνης ἔτος δηλωθῇ δ' ὃν παρ' ἡμῖν, καὶ τὸ β', ε', καὶ οὕτως ἐν τοῖς καθεξῆς ἄχρι τοῦ ιθ' ἔτους. Προετάγησαν δὲ πάλιν τῶν ἐκείνοις ἀριθμουμένων τὰ παρ' ἡμῖν, κατὰ τὴν ἐκκλησιαστικὴν ἐξαρίθμησιν ψηφιζόμενα, διὰ τὴν ἐν τούτοις ἀλήθειαν. Ἐν τῷ δ' στίχῳ τὰς τῶν ἐτῶν ἐπακτάς, ἤγουν ἡμέρας, ἃς ἔχειν πᾶν ἔτος σελήνης ψηφίζουσι, κατὰ τὴν πρώτην τοῦ Ἰανουαρίου μηνός· ἐν τῷ ε' στίχῳ τὰς κατὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ πρώτου μηνὸς περιττάς, ἢ καὶ ἴσας, οἷον αὐτὰς λέγω τὰς ιδ'. Ταῦτα μὲν τὸ ἐξ εὐωνύμων.

De tabella quæ ad dextram sita est.

IV. Quæ ad dextrum latus est tabella, in versu I annos lunæ XIX exhibet ineuntes a quarto, eodem plane modo, quo in sinistra descripti sunt in secundo versu, ut a nobis computari solent ; in II versu illorum epactæ sunt, sive dies, quot ecclesiastico calculo pridie Kalendas Aprilis ætati lunæ quolibet anno tribuuntur ; in III duo menses Romani sunt, Martius et Aprilis ; in IV versu mensium eorumdem dies, in quos decima quarta primi Judaici mensis incurrit, sive Pascha quod illi quotannis celebrant ; in V regulares rubro colore picti. Hæc in altera tabella reperiuntur. Est autem in hac dextra tabella Paschalis inscriptus canon, cujus a nobis est proxime declarata ratio, ut hujus ope annum quemlibet lunæ, prout ab illis putatur, atque in secunda tabula proponitur a nobis, necnon in interjecta rota, ejusque circulis quinque ; ut hunc, inquam, annum, quo XIV Paschalis illorum calculo est XV, vel XVI, qui volet invenire possit, et exacte subductis calculis probare utrum ita se res habeat, uti disputatione nostra docuimus.

Περὶ τοῦ ἐκ δεξιῶν κανονίου.

Δ'. Τὸ δὲ ἐκ δεξιῶν ἐν τῷ α' στίχῳ τὰ ιθ' κέκτηται τῆς σελήνης ἔτη, ἀπὸ δ' ἔτους τὴν ἀρχὴν λαβόντα, πρὸς τὴν αὐτὴν καὶ ἴσην ἐγγραφὴν τῶν ἐξ εὐωνύμων τεταγμένων ἐν τῷ β' στίχῳ, καὶ καθ' ἡμᾶς ψηφιζομένων ἐτῶν· ἐν τῷ β' στίχῳ τὰς αὐτῶν ἐπακτάς, ἤγουν ἡμέρας, ἃς ἔχον πᾶν ἔτος εὑρίσκεται κατὰ τὴν ἐκκλησιαστικὴν ψῆφον εἰς τὴν τριακάδα α' τοῦ Μαρτίου μηνός· ἐν τῷ γ' στίχῳ τοὺς δύο Ῥωμαϊκοὺς μῆνας, Μάρτιον καὶ Ἀπρίλιον· ἐν τῷ δ' στίχῳ τὰς αὐτῶν τῶν μηνῶν ποσταίας, ἐν αἷς συναντᾷ πάντως ἡ δ' καὶ ι' τοῦ πρώτου καθ' Ἑβραίους μηνός, ἤγουν τὸ κατ' αὐτοὺς Πάσχα, καθ' ἕκαστον ἔτος· ἐν τῷ ε' στίχῳ τὰς ἀπὸ σηρικοῦ προσθετάς. Ταῦτα κἀν τῷ δεξιῷ. Διεγράφη δὲ κατὰ τόδε τὸ δεξιὸν μέρος τὸ τοῦ Πάσχα κανόνιον, περὶ οὗ τὴν ἐξήγησιν ἀρτίως πεποιήκαμεν· ἵν' ἐκ τούτου πᾶν ἔτος σελήνης ὑπ' ἐκείνων μὲν ψηφιζόμενον, ἐνταγὲν δὲ νῦν ὑφ' ἡμῶν ἔν τε τῷ εὐωνύμῳ κανονίῳ καὶ τῷ μέσῳ τροχῷ κατὰ τὰς ἔνδον οὔσας ε' ζώνας εἰς ὃ ε' καὶ ι', ἢ ς' καὶ ι' τὴν εἰρημένην δ' καὶ ι' ψηφίζουσιν, εὕρῃ πᾶς ὁ βουλόμενος, καὶ δοκιμάσῃ τοῦτο δι' ἀκριβείας ψηφίζων, εἰ οὕτως ἔχοι καθὼς τῷ λόγῳ διεστειλάμεθα.

Demonstratur exemplo quis sit usus canonis.

V. Age vero ante omnia hoc ipsum faciamus, et

Ὑπόδειξις τοῦ τρόπου, καθ' ὃν τις κεχρημένος εἴσεται τὰ ἐν τῷδε τῷ κανονίῳ διαγεγραμμένα.

Ε'. Καὶ πρό γε τῶν ἄλλων ἡμεῖς τοῦτο ποιήσωμεν

Digitized by Google

εἰς ὑπόδειξιν τῶν ἐντυγχανόντων, τὸ παρ' ἐκείνοις ἓξ καὶ ι' τῆς σελήνης ἔτος, ἡμῖν δὲ ψηφιζόμενον θ' καὶ ι', εἰς μέσον προθέντες. Εἰς τοῦτο γὰρ τὸ ἔτος ἑπταικαιδεκάτην τοῦ κατὰ Ῥωμαίους Ἀπριλίου μηνὸς ἀεὶ καὶ πάντως ἡ δ' καὶ ι' πίπτει τοῦ καθ' Ἑβραίους πρώτου μηνός. Διὰ τοῦτο γὰρ καὶ ἐν τῷ δεξιῷ κανονίῳ ταύτην τὴν ιζ' εἰς αὐτὸν κατετάξαμεν τὸν Ἀπρίλιον. Οὐκοῦν τὰς ἀπὸ πρώτης τοῦ Ἰανουαρίου μηνὸς ἄχρι τῆς τοῦ Ἀπριλίου ιζ' ἀθροίζοντες, ποιοῦμεν ἡμέρας ρζ'· εἶτα λοιπὸν διὰ μὲν τῆς τῶν ις' ἐτῶν πενταπλώσεως π', διὰ δὲ τῆς τῶν κατ' αὐτὰς ἑξηκοστῶν ἀναλήψεως γ'· διὰ δὲ πάλιν τῆς αὐτῶν τῶν ις' ἐτῶν ἑξαπλώσεως ιϛ'. Ὡς εἶναι τὰς πάσας σπϛ'· ἃς εἰς τὸν λ' μερίζοντες, ἓξ καὶ ι' τὴν τοῦ πρώτου μηνὸς δ' καὶ ι' εὑρίσκομεν. Ταύτην δὲ μαθεῖν εἰ βουληθῶμεν εἰς ποίαν ἐμπίπτει τῆς ἑβδομάδος ἡμέραν, κατὰ μὲν τὴν πρώτην ἐννεακαιδεκαετηρίδα προσφόρως τὸ τῆς πρώτης εἰκοσιοκταετηρίδος ἰσάριθμον τοῦ ἡλίου ἔτος, λέγω δὲ τὸ ἓξ καὶ ι', ἐξ εὐωνύμων, ὡς ἔφην, σύνεγγυς τεταγμένων τοῦ αὐτοῦ τῆς σελήνης ἔτους διασκοποῦμεν· καὶ τὰς αὐτοῦ λαμβάνοντες ἐπακτὰς, ἐν τῷ β' τοῦ τροχοῦ κύκλῳ διαγεγραμμένας, οὔσας τὸν ἀριθμὸν ς', προσπλέκομεν ταῖς ιζ' τοῦ Ἀπριλίου μηνὸς ἡμέραις, καὶ εἰς τὸν ζ' μερίζομεν· κἀκ τῶν ἀπομενουσῶν δύο τὴν τῆς ἑβδομάδος ἡμέραν γινώσκομεν, εἰς ἣν Ἑβραῖοι τὸ Πάσχα τελοῦσι. Διὸ τῇ πρὸ ταύτης, ἤγουν τῇ ἁγίᾳ Κυριακῇ, ε' καὶ ι' ἐκεῖνοι τοῦ φέγγους ψηφίζοντες, πρὸ τοῦ Ἑβραϊκοῦ τὸ κατὰ Χριστὸν, ὅπερ οὐ θέμις, κανονίζουσι Πάσχα. Ταύτης οὖν ἕνεκεν τῆς αἰτίας, ὡς ἤδη λέλεκται, δυσὶν ἐπεσημηνάμεθα στιγμαῖς τὸ αὐτὸ ἓξ καὶ ι' ἔτος. Καὶ οὕτως μὲν προσήκει ψηφίζειν κατὰ τὴν πρώτην ἐννεακαιδεκαετηρίδα τὸ αὐτὸ ἓξ καὶ ι' τῆς σελήνης ἔτος· κατὰ δὲ τὴν ς' ἐννεακαιδεκαετηρίδα, εἰ πάλιν θελήσωμεν εἰδέναι ποίᾳ τῆς ἑβδομάδος ἡμέρᾳ τὴν ἓξ καὶ ι' ἐκεῖνοι ψηφίζουσιν ἐπὶ τοῦ αὐτοῦ ἔτους, ἤγουν τοῦ ἓξ καὶ ι', τοῦ συνόντος αὐτῷ ἐξ εὐωνύμων ἡλιακοῦ ἔτους, λέγω δὲ τοῦ κζ' τῆς δ' εἰκοσιοκταετηρίδος ὑπάρχοντος, τὰς ἐπακτὰς λαμβάνοντες, οὔσας τὸν ἀριθμὸν ε', τῇ αὐτῇ τοῦ Ἀπριλίου μηνὸς ζ' καὶ ι' συμπλέκομεν· καὶ εἰς τὸν ζ' τὰς κβ' μερίζοντες, ἐκ τῆς ἀπομενούσης Κυριακὴν τὴν τῆς ἑβδομάδος ἡμέραν εὑρίσκομεν. Ἐκ ταύτης μὲν οὖν τῆς κατὰ τὸν ς' ἐννεακαιδεκαετηρίδα ψηφιζομένης αὐτοῖς ἓξ καὶ ι', εἰκάδι γ', τὸ κατὰ Χριστὸν κανονίζουσι Πάσχα· ὡς εἰς τὴν ἑξῆς ἁγίαν Κυριακὴν αὐτοῦ τελουμένου κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν· ἐκ δὲ τῆς κατὰ τὴν α' ἐννεακαιδεκαετηρίδα, διὰ τὸ συμφθάνειν εἰς β' ἡμέραν τῆς ἑβδομάδος, εἰκάδι β' τοῦ φέγγους. Οὕτως μὲν εἰ χρήσοιτό τις περὶ τῶν ἐν τῷ τροχῷ κατὰ τὰς ε' ζώνας ἐνόντων τῆς σελήνης ἐτῶν, διερευνήσει ἐν ἑκάστῳ τὴν τῆς ἑβδομάδος α' ἡμέραν, ἢ τὴν β'· περὶ δὲ τῶν ἐν τῷ εὐωνύμῳ διαγεγραμμένων, ζητῶν καὶ τούτοις [90] τὴν μετὰ τὴν πρώτην καὶ β' ἑβδοματικὴν ἡμέραν, οἷον τὴν γ', καὶ τὴν δ', καὶ τὰς ἓξ διακριβώσει τὸ πρόσφορον τῆς εἰκοσιοκταετηρίδος,

A cæteros exemplo doceamus, proposito anno eo qui ab illis lunæ XVI, a nobis XIX numeratur. Hoc enim anno XIV primi Judaici mensis perpetuo cadit in Aprilis XVII. Nam propterea in tabella dextra ad mensem Aprilem diem XVII posuimus. Igitur dies a Kalendis Januariis ad Aprilis decimum septimum interjectos colligimus numero CVII, tum annis XVI quinquies multiplicatis, LXXX dies. Accedunt tres alii, quos sexagesima scrupula de diebus decerpta conficiunt. Rursus iidem anni XVI sexies multiplicati XCVI dies accumulant. Ut ex omnibus redacta summa, dies exsistunt CCLXXXVI, quibus per XXX divisis, decimam sextam invenimus eam esse, quæ revera sit primi mensis quarta decima. Quæ quidem in quam hebdomadæ feriam incidat nosse si B lubeat, consentaneum est observare annum solis in primo ejus cyclo, numeri ejusdem cum lunari, hoc est XVI, quem ad dextram anni istius lunæ, ac prope ipsum positum esse docuimus. Hujus epactas in secundo rotæ circulo descriptas, quæ sunt VI, addimus XVII Aprilis diebus; ac totum in VII partimur. Qui reliquus est binarius feriam exhibet, in qua Judæi Pascha celebrant. Ob id antecedente illi die, nimirum Dominica, XV lunæ computantes, ante Judaicum Pascha, quod nefas est, Christianum statuunt. Propterea nos hunc ipsum annum XVI, ut jam dictum est, duplici puncto notavimus. Ad hunc modum numerare convenit in primo cyclo **186** decemnovennali annum istum lunæ XVI. Jam vero si in cyclo decemnovennali VI scire velimus, quanam hebdomadis feria decimam sextam C illi numerent in anno eodem XVI, anni solis, qui ad ejus sinistram positus est, et est XXVII cycli solaris IV, sumendæ sunt epactæ V, et ad XVII Aprilis adjiciendæ: inde summam dierum XXII per VII dividentes, reliquam faciemus Dominicam, quæ est illius diei feria. Ex hac igitur XVI, quam illi in sexto decemnovennali cyclo computant, Christianum ab iis Pascha in XXIII lunæ diem confertur: quoniam in insequentem Dominicam ecclesiastica id regula transferri præcipit; ex ea vero, quam in prima enneadecaeteride numerant, quod ea secundam in feriam incidat, Pascha in XXII lunæ diem competit. Hoc igitur pacto si quis annis lunæ, qui in V cirD culis rotæ inscripti sunt, uti velit, in quolibet investigabit feriam I, aut II: quod ad eos vero pertinet, qui ad sinistram positi sunt, si inquirat eam, quæ primam secundamve sequitur, III vel IV feriam, ac cæteras deinceps, prout erit cycli decemnovennalis annus, qui proponitur, congruentem cycli solaris indagabit annum; cujus epactas adjunget ad diem Romani mensis, in quem XIV primi mensis incidit anno illo lunæ, de quo quæritur. Deinde partitione facta per VII, ex eo feriam obtinebit.

πρὸς τὸ τῆς ψηφιζομένης ἐννεακαιδεκαετηρίδος ἔτος καὶ τούτου τὰς ἐπακτὰς προσπλέξει τῇ ποσταίᾳ τοῦ

[90] *f.* ἐν τούτοις.

Digitized by Google

Ῥωμαϊκοῦ μηνὸς, εἰς ὃν πίπτει τοῦ ζητουμένου αὐτῷ τῆς σελήνης ἔτους ἡ κατὰ τὸν πρῶτον μῆνα ι' καὶ δ', καὶ εἰς τὸν ζ' μερίσει, κἀντεῦθεν εἴσεται τὴν τῆς ἑβδομάδος ἡμέραν.

His in transcursu exempli gratia declaratis, reliqua studiosis lectoribus relinquimus : qui eodem modo ista perscrutari, et exactam cum veritate rationem in omnibus inquirere ac reperire studeant.

A Ταῦτα κατ' ἐπιδρομὴν σαφηνίσαντες εἰς ὑπόδειξιν, τὰ λοιπὰ τοῖς φιλοπόνως ἐντυγχάνουσι παραπέμπομεν, κατὰ τὸν ἴσον τρόπον διερευνῶσι, καὶ τὸ ἀκριβὲς διὰ πάντων μετὰ τοῦ ἀληθινοῦ ὑποδεχομένοις τε καὶ εὑρίσκουσιν.

COMPUTI SANCTI MAXIMI
PARS TERTIA.

Explicatur rota, quæ subjicitur.

I. Quemadmodum hebdomadis feria inveniri possit a studiosis et cognosci, in superioribus tabulis ac methodis, quoad in nobis situm fuit, exposuimus : nunc ejusdem rei propriam ac peculiarem rotam visum est describere ; cujus beneficio feriam omnem in quovis e duodecim Romanis mensibus propositam investigare, et consentanee facileque discernere possimus quocunque cycli solaris anno, idque non uno modo, sed alternis, nimirum sive calculum recto ordine promoveamus ab Aprili ad Maium, Junium ac cæteros, sive retro progredi libeat a Martio ad Februarium, Januarium, et antecedentes reliquos.

Ἐξήγησις τοῦ ὑποκειμένου τροχοῦ.

Α'. Τὴν ἑβδοματικὴν ἡμέραν ὅπως εὑρίσκηται, καὶ γινώσκηται πρὸς τῶν φιλοπόνων ἔν τε τοῖς διαγραφεῖσι κανονίοις καὶ ταῖς ὑποδειχθείσαις μεθόδοις, ὡς οἷόν τε σαφηνίσας, εὔλογον ἥγημαι καὶ περὶ ταύτης ἴδιόν τινα καὶ καθ' ἑαυτὸν διαγράψαι τροχόν· ἐφ' ᾧ τε δι' αὐτοῦ πᾶσαν ἐν οἱῳδήποτε τῶν δυοκαίδεκα Ῥωμαϊκῶν μηνῶν ἐπιζητουμένην ἡμέραν εὐλόγως τε καὶ εὐκόλως διαγνωσθῆναι κατὰ πᾶν ἔτος ἡλίου· καὶ τοῦτο διαφόρως, καὶ ἐναλλάξ· οἷον καθ' εἱρμὸν τὴν ψῆφον μεταχειριζομένων, καὶ ἰόντων ἀπὸ Ἀπριλίου, καὶ Μαΐου, καὶ Ἰουνίου μηνὸς ἐπὶ τὰ ἑξῆς· καὶ αὖθις κατὰ ἀναποδισμὸν, ἐκ Μαρτίου, καὶ Φεβρουαρίου, καὶ Ἰανουαρίου μηνὸς ἐπὶ τοὺς ἑξῆς πρὸ αὐτῶν φερομένους.

B



Digitized by Google

Περὶ τῆς διαγραφῆς τοῦ τροχοῦ.

Β'. Ἔστιν οὖν ἡ διαγραφὴ τοῦ τροχοῦ τοιαύτη. Τρεῖς οὗτος κέκτηται ζώνας, καὶ ἔνδον αὐτῶν κανόνιον ἰσοτετράγωνον. Ἡ μὲν οὖν πρώτη ζώνη περιέχει τὰς τῶν κη' τοῦ ἡλίου ἐτῶν ἐπακτάς· ἡ δὲ δευτέρα αὐτὰ τὰ κη' τοῦ ἡλίου ἔτη ἀπὸ πρώτου μέχρι τοῦ τελευταίου, κατὰ τάξιν διαγεγραμμένα· ἡ δὲ τρίτη τὰ κατὰ τὴν τετραετηρίδα βίσσεξτα. Καὶ ταῦτα μὲν αἱ τρεῖς ζῶναι.

A **187** *De rotæ descriptione.*

II. Hæc igitur rota ista complectitur. Tres in ea zonæ sunt, et in medio quadrata, tabula æquilatera. Prima zona annorum viginti octo solis epactas continet; secunda annos ipsos XXVIII solares a primo ad ultimam usque progressos. Tertia bissextiles, qui quadriennio cuique competunt. Hæc in tribus zonis.

Περὶ τῆς διαγραφῆς τοῦ κανονίου.

Γ'. Τὸ δὲ κανόνιον ἑπτὰ στίχους ἔχει, ἐν οἷς αἱ τῆς ἑβδομάδος ἡμέραι τεταγμέναι τυγχάνουσιν. Ἀλλ' ἐν μὲν τῷ πρώτῳ στίχῳ κατὰ τάξιν, οἷον ἐκ α', καὶ β', καὶ τρίτης μέχρι τῶν ζ'· ἐν δὲ τοῖς μετὰ τὸν πρῶτον στίχον ὡς ἡ ψῆφος ἀπῄτησεν. Ἑκατέρωθεν δὲ τοῦ αὐτοῦ διὰ σηρικοῦ γεγραμμέναι πάλιν εἰσὶν ὀρθῶς καθιέμεναι αἱ αὐταὶ τῆς ἑβδομάδος ἡμέραι· μεθ' ἃς καὶ οἱ δυοκαίδεκα Ῥωμαϊκοὶ μῆνες διαγεγραμμένοι τυγχάνουσιν. Ἐν διττῷ δὲ διαγεγραμμένος ὑπάρχει μόνος ὁ Μάρτιος διὰ τὸ βίσσεξτον. Ταῦτα καὶ περὶ τῆς τοῦ κανονίου διασκευῆς.

De medianæ tabulæ descriptione.

III. Tabula septem versibus constat, in quibus septem hebdomadis dies exhibentur. In primo versu ordine procedunt ab 1, 2, 3 usque ad 7, in sequentibus prout calculus tulit. Utrinque rubro pictæ B sunt eædem hebdomadis feriæ deorsum a summo descendentes, quibus adjuncti sunt Romani menses; in gemino versu solus inscriptus est Martius, propter bissextum. Ejusmodi est tabellæ descriptio.

Ὑπόδειξις τῆς καθ' εἱρμὸν ψήφου.

Δ'. Ἡνίκα τοίνυν ἐκ τοῦδε τοῦ τροχοῦ τὴν ἑβδοματικὴν ἡμέραν, ἐν οἵᾳ δήποτε Ῥωμαϊκοῦ μηνὸς ποσταίᾳ βουληθῶμεν μαθεῖν, σκοποῦμεν πρῶτον διὰ τῆς ὑποδειχθείσης μεθόδου τὸ ἐνιστάμενον τοῦ ἡλίου ἔτος· ὡς ἐπὶ τοῦ ἐνεστῶτος φέρε εἰπεῖν, ἤγουν τοῦ κη'· εἶτα τὰς αὐτοῦ λαμβάνοντες ἐπακτάς, οὔσας τὸν ἀριθμὸν ς', εἰ μὲν ἐν τοῖς εἰς τὸν πρῶτον στίχον τεταγμένοις Ῥωμαϊκοῖς δυσὶ μησὶ, τῷ τε Ἀπριλίῳ, C φημὶ, καὶ τῷ Ἰουλίῳ· οὗτοι γάρ εἰσιν εἰς αὐτὸν τὸν στίχον διαγεγραμμένοι· ταύτας ἐμβάλλομεν τῇ ζητουμένῃ ἡμῖν εἰς αὐτοὺς ποσταίᾳ, καὶ εἰς τὴν ζ' μερίζομεν. Κἀκ τῶν ἀπομενουσῶν τὴν ἑβδοματικὴν εὑρίσκομεν ἰσάριθμον οὖσαν αὐταῖς ταῖς ὑπολιμπανομέναις. Οὕτω μὲν οὖν ἐν τοῖς εἰς τὸν α' στίχον τεταγμένοις ποιοῦμεν μησίν· εἰ δὲ ἐν τοῖς εἰς τὸν β' στίχον δυσὶν ἑτέροις μησὶ, τῷ Μαΐῳ λέγω καὶ τῷ Ἰανουαρίῳ, κατ' αὐτὸ τὸ εἰκοστὸν ὄγδοον ἔτος τὴν ἑβδοματικὴν ἐρευνῶμεν· τὰς εἰς τὴν αὐτὴν σελίδα γεγραμμένας ἐν τῷ β' στίχῳ, καὶ ὑποκειμένας ταῖς εἰρημέναις ἐξ ἐπακταῖς λαμβάνομεν ἡμέρας, τουτέστι τὴν μίαν· καὶ ταύτην ὁμοίως ἐμβάλλομεν τῇ ζητουμένῃ ἡμῖν εἰς αὐτοὺς ποσταίᾳ, καὶ εἰς τὸν ζ' τὰς ὅλας μερίζομεν. Τὴν αὐτὴν οὖν σελίδα, λέγω δὲ τὰς κατ' αὐτὴν ἐγγεγραμμένας, D καὶ ἐπὶ τῶν λοιπῶν στίχων τηροῦμεν, εἰς τὸ τὴν ἑβδοματικὴν ἡμέραν ἀνευρεῖν ἐν τοῖς ἑκατέρωθεν διαγεγραμμένοις αὐτοῖς Ῥωμαϊκοῖς μησὶ, κατὰ τόδε τὸ κη' ἔτος· ὁμοίως δὲ καὶ εἰς πᾶν ἄλλο ἡλίου ἔτος· αὐτάς τε προηγουμένως τὰς αὐτοῦ κανονίζομεν ἐπακτάς· εἶτα καὶ τὰς ὑποκειμένας αὐτὰς, καὶ ἐγγεγραμμένας εἰς τὴν αὐτὴν σελίδα, μηδαμῶς πρὸς ἑτέραν τῶν εὐωνύμων ἢ δεξιῶν πλαγιάζοντες, τῇ αὐτῇ δὲ κατὰ τὸ αὐτὸ ἔτος σελίδι προσμένοντες· ἀλλὰ τας μὲν ἐπακτὰς διὰ τοὺς ἐν τῷ πρώτῳ στίχῳ κατατεταγμένους β' μῆνας, τὰς δὲ εἰς τὴν αὐτὴν σελίδα γεγραμμένας ἡμέρας διὰ τοὺς ἐν τοῖς ἄλλοις ς' στίχοις ὑπάρχοντας μῆνας.

Quemam ratione calculus ordine directo sit instituendus.

IV. Ut ex hac rota feriam quocunque die Romani mensis obtineamus, primum cycli solaris annus, in quo versamur, considerandus ea methodo quam supra demonstravimus: ut exempli gratia, hoc anno cyclo XXVIII. Tum hujus epactæ capiendæ sunt, quæ sunt VI. Jam duobus illis, in mensibus, qui primum versum obtinent, Aprili et Julio (nam hi primum ad versum ascribuntur), epactas istas ad propositum illorum diem adjungimus. Summam per VII partimur. Reliquus est numerus feriæ, quam assequi studemus. Hæc ratio tenenda est in duobus primi versus mensibus. Sin duobus aliis in mensibus, qui secundum versum obsident, Maio et Januario, feriam cyclo eodem XXVIII quærimus, secundi versus dies inventis epactis VI subjectas excerpimus, videlicet I; qua insuper ad propositum diem mensis addita, totum in VII tribuimus. Eumdem itaque versum, et huic inscriptos numeros cæteris in versibus retinentes, in descriptis utrinque Romanorum mensibus **188** anno ipso XXVIII feriam investigamus. Quod idem et in aliis cyclis solis facimus: ut in primis ejus epactæ constituantur: deinde subjectæ, et in eodem versu comprehensæ capiantur; sic ut ad nullam alteram dextra vel sinistra deflectamus: sed ad eumdem illo anno versum constanter adhæreamus: ita ut epactæ duobus in primo versu inscriptis mensibus respondeant; dies autem in eadem tabella positæ reliquis sex versuum mensibus serviant.

Περὶ τῆς τοῦ βισσέξτου παρατηρήσεως.

Ε'. Χρὴ δὲ σημειοῦσθαι τὸν Μάρτιον, ἵν' ὅτε βίσσεξτον οὐκ ἔστι, διὰ τῶν τοῦ Φεβρουαρίου ψηφίζηται

Quid in bissexto servare oporteat.

V. Observandum hoc erit in Martio, ut in anno communi calculus ejus sint Februarii dies; in bis-

Digitized by Google

sextili vero, Decembris : quem ad mensem bis- A sextum adnotavimus. Nam propterea duobus illis mensibus Martium adjunximus. Sic igitur ex illa rota feriam investigabimus, quando calculus recta serie promovetur, ab Aprili, uti dictum est, ad Maium, Junium et cæteros.

ἡμερῶν· ὅτε βίσσεξτόν ἐστι, διὰ τῶν τοῦ Δεκεμβρίου'. ἔνθα καὶ τὸ βίσσεξτον διεγράφη. Ταύτης γὰρ ἕνεκεν τῆς αἰτίας ἐν τοῖς δυσὶ τούτοις μησὶ τὸν Μάρτιον κατετάξαμεν. Οὕτως μὲν οὖν ἐκ τοῦδε τοῦ τροχοῦ τὴν ἑβδοματικὴν εὑρίσκομεν, ὅτε τὴν ψῆφον καθ' εἱρμὸν ἐξανύομεν, διά τε τοῦ Ἀπριλίου, καθὼς ἔφην, καὶ Μαΐου, καὶ Ἰουνίου, καὶ τῶν καθ' ἑξῆς.

Quomodo calculus retrogrado ordine dirigatur.

VI. Sed cum retro subducto calculo per Martium, Februarium et Januarium, antecedentesque menses per epactas præsentis anni, qui est XXVIII, feriam explorare volumus, neque præteriti anni XXVII epactas assumimus : si quidem in duobus versus primi mensibus id agatur, epactas 6, quas jam reperimus, ad datam diem Aprilis, aut B Julii, una cum epactis ad Aprilem rubro colore pictis, quæ sunt 6, adjungimus in anno communi, ac summam partimur in 7. In bissextili vero epactas illas capimus, quæ ad Julium rubricatæ sunt, nempe 5, cum 6 aliis, et per eumdem numerum 7 summam dividimus. Nam dies illi rubricati, qui in sinistro latere positi sunt, adhibentur in anno bissextili, quando retrogrado ordine computamus. At in bissextili dextri lateris simul rubricatis utimur. Hæc de duobus versus primi mensibus præscribimus. In his porro, qui secundum versum occupant, Maio et Januario, in anno XXVIII, epactas 6 ad quæsitum illorum diem addimus una cum numero ad Januarium rubro colore picto, qui est 7. Summam per eumdem numerum partimur. Dixi C numerum ad Januarium appictum, quod præteritus annus XXVII bissextilem habuerit; pertinent autem rubricati, uti diximus, numeri ad annos bissextiles.

Περὶ τῆς ἀναποδιζούσης ψήφου.

Ϛ'. Ὁπηνίκα δὲ κατὰ ἀναποδισμὸν, οἷον διὰ Μαρτίου, καὶ Φεβρουαρίου, καὶ Ἰανουαρίου, καὶ τῶν πρὸ τούτων μηνῶν, ἐκ τῶν ἐπακτῶν τοῦ ἐνεστῶτος ἔτους, ἤγουν τοῦ κη', τὴν ἑβδοματικὴν βουληθῶμεν μαθεῖν, οὐ προσχρώμενοι ταῖς τοῦ διελθόντος κζ' ἔτους ἐπακταῖς εἰς τὴν ταύτης κατάληψιν· εἰ μὲν ἐν τοῖς εἰς τὸν πρῶτον στίχον τεταγμένοις μησὶ ταύτην ζητοῦμεν, τὰς δηλωθείσας ἓξ ἐπακτὰς τῇ τοῦ Ἀπριλίου καὶ Ἰουνίου μηνὸς ποσταΐᾳ μετὰ τῶν ἀπὸ σηρικοῦ παρακειμένων τῷ Ἀπριλίῳ, τουτέστι τῶν ϛ' ἡμερῶν. ὅτε βίσσεξτον οὐκ ἔστι, συμβάλλομεν, καὶ εἰς τὸν ζ' τὰς ὅλας μερίζομεν· ὅτε δὲ βίσσεξτόν ἐστι, τὰς ἀπὸ σηρικοῦ παρακειμένας τῷ Ἰουλίῳ, ἤγουν τὰς ε' ἡμέρας, μετ' αὐτῶν τῶν ἓξ ἐπακτῶν, καὶ εἰς τὸν δηλωθέντα μερίζομεν ἀριθμόν. Ταῖς γὰρ ἐξ εὐωνύμων ἀπὸ σηρικοῦ τεταγμέναις ἡμέραις κεχρῆσθαι προσήκει, βισσέξτου χωρὶς, κατὰ τήνδε τὴν ἀναποδίζουσαν ψῆφον· ὅτε δὲ βίσσεξτόν ἐστι, ταῖς ἐκ δεξιῶν ὁμοῦ ἀπὸ σηρικοῦ γεγραμμέναις. Ταῦτα μὲν εἰς τοὺς ἐν τῷ πρώτῳ στίχῳ δύο μῆνας· ἐν δὲ τοῖς εἰς τὸν β' στίχον, τῷ τε Μαΐῳ λέγω καὶ τῷ Ἰανουαρίῳ, κατὰ τόδε τὸ κη' ἔτος, αὐτὰς τὰς ἓξ ἐπακτὰς ἐμβάλλομεν αὐτῶν τῇ ζητουμένῃ ἡμῖν ποσταΐᾳ μετὰ τῶν ἀπὸ σηρικοῦ παρακειμένων τῷ Ἰανουαρίῳ, τουτέστι τῶν ζ' ἡμερῶν· καὶ εἰς τὸν αὐτὸν ἀριθμὸν ταῦτα μερίζομεν. Διὰ τοῦτο δὲ εἶπον τὰς παρακειμένας τῷ Ἰανουαρίῳ, ἐπειδὴ τὸ διελθὸν ἔτος, ἤγουν τὸ κζ', βίσσεξτον εἶχε· καὶ ἔστιν, ὡς ἔφην, ἡ ἐκ δεξιῶν τῶν ἀπὸ σηρικοῦ καταγραφὴ, διὰ τὸ βίσσεξτον.

De observatione bissextilis anni.

VII. In hac retro computandi methodo Martii habenda ratio est : ut sive post bissextum, sive absque bissexto, regulares ei Decembris imputentur, qui sunt 4 rubricati : adeo ut neque Septembri, nec Februario ascripti sumantur unquam : ut in recta putatione ac methodo fieri oportere monstravimus : sed perpetuo regulares isti 4 rubri capiantur, qui Decembri respondent. Et ut uno verbo D utrumque calculum absolvam, in septenis tabulæ versibus, ad duodecim Romanos menses utrinque positos rectus calculus assumitur, in duobus vero rubro colore inscriptis versibus, qui a summo deorsum pertinent, retrograda methodus locum habet, additis epactis currentis anni solaris, ex quibus septem tabellæ versus ordinati sunt. His de rotæ illius explicatione dictis, facilem lectoribus, quantum fieri potuit, viam aperuimus, qua feriam hebdomadis cujusvis investigare poterunt.

Περὶ τῆς τοῦ βισσέξτου παρατηρήσεως.

Ζ'. Κατὰ ταύτην δὲ πάλιν τὴν ἀναποδίζουσιν μέθοδον, τὸν Μάρτιον ἐπισημήνασθαι χρὴ, πρὸς τὸ πάντως αὐτὸν καὶ μετὰ βίσσεξτον, καὶ δίχα βισσέξτου, διὰ τῶν τοῦ Δεκεμβρίου ψηφίζεσθαι ἡμερῶν· λέγω δὲ τῶν ἀπὸ σηρικοῦ τεσσάρων· καὶ μήτε διὰ τῶν τοῦ Σεπτεμβρίου, μήτε διὰ τῶν τοῦ Φεβρουαρίου, καθάπερ εἴπομεν, ποιεῖν ἐν τῇ καθ' εἱρμὸν ψήφῳ τε καὶ μεθόδῳ, ἀλλὰ μόνον δι' αὐτῶν τῶν ἀπὸ σηρικοῦ τεσσάρων ἡμερῶν, τῶν παρακειμένων τῷ Δεκεμβρίῳ μηνί. Καὶ ἁπλῶς εἰπεῖν, ἵν' ἐπιτόμως περὶ ἀμφοτέρων διαλάβωμεν τῶν ψήφων· ἐν μὲν τοῖς ζ' τοῦ κανονίου στίχοις εἰς τοὺς ἑκατέρωθεν τεταγμένους δυοδεκαίδεκα Ῥωμαϊκοὺς μῆνας τῇ καθ' εἱρμὸν ψήφῳ κεχρήμεθα κατὰ πᾶν ἔτος· ἐν δὲ τοῖς ὀρθῶς καθιεμένοις δυσὶν ἀπὸ σηρικοῦ στιχοις τῇ κατ' ἀναποδισμὸν μεθόδῳ προσχρώμεθα, κατὰ συμπλοκὴν, ὡς ἔφην, τῶν ἐπακτῶν αὐτοῦ τοῦ ἐνισταμένου ἡλιακοῦ ἔτους, δι' ὧν καὶ οἱ λεχθέντες ζ' κανονίζονται στίχοι. Ταῦτα καὶ περὶ τοῦδε τοῦ τροχοῦ σαφηνίσαντες, εὐχερῆ τοῖς ἐντυγχάνουσι τὴν πάσης δι' αὐτοῦ κατάληψιν ἑβδοματικῆς ἡμέρας κατὰ τὸ δυνατὸν πεποιήκαμεν.

Quomodo computanda sit ætas lunæ.

VIII. Primum lunæ epactas accipimus una cum

Πῶς δεῖ τὴν ἡμέραν τῆς σελήνης ψηφίζειν.

Η'. α'. Κρατοῦμεν τὰς ἐπακτὰς τῆς σελήνης καὶ τὴν.

Digitized by Google

τοῦ ἐνεστῶτος Αἰγυπτιακοῦ μηνὸς ποσταίαν, καὶ τὸ ἥμισυ τῶν μηνῶν τῶν ἀπὸ Θὼθ, καὶ μίαν καθολικήν. Καὶ εἰ μὲν λ' ταύτας εὑρήσομεν, ἢ παρὰ τὰς λ', τοσαύτας ἔχουσαν τὴν σελήνην γινώσκομεν· εἰ δὲ ὑπὲρ τὰς λ', ἐκείνας πάλιν μετὰ τὴν ὑφαίρεσιν αὐτῶν τῶν τριάκοντα.

A proposito die labentis Ægyptiaci mensis. Ad hæc dimidium mensium numerum, qui a Thoth elapsi sunt, cum uno regulari. Si summa triginta conficiat, aut minus triginta, totidem dies lunam habere cognoscimus. Sin tricenos dies excedat, demptis triginta quot supererunt, totidem ætati lunæ tribuemus.

β'. Ἄλλως. Τὰ ἀπὸ Διοκλητιανοῦ ἔτη παρὰ ἓν ἔτος ποιοῦντες, μερίζομεν εἰς τὸν ιθ' καὶ τὰ λοιπὰ κρατοῦμεν, καὶ τούτοις ἐπιβάλλομεν ὑπὲρ ἑνὸς μὲν ἔτους, ἐὰν τοῦτο μόνον τυχὸν καταλειφθῇ μετὰ τὸν μερισμὸν, ἡμέρας ι'· ὑπὲρ β' δὲ ἐτῶν κ'· ὑπὲρ δὲ γ' οὐδὲ μίαν· ὥσπερ καὶ ἐπὶ τοῖς ς' οὐδὲ μίαν· ἢ τῶν θ', ἢ τῶν ιβ'· ἢ ἁπλῶς τῆς ὁποιασοῦν τριετηρίδος· ὑπὲρ δὲ τῶν δ' πάλιν ἐτῶν ι', καὶ ὑπὲρ τῶν ε' κ'. Καὶ οὕτως καθεξῆς ὑπὲρ τῶν ζ', καὶ τῶν ι', καὶ τῶν ια' [91]· καὶ τῶν μετὰ τὰς τριετηρίδας ψηφιζομένων. Κρατοῦμεν τοίνυν, ὡς ἔφην, τὰ ἀπομένοντα ἔτη καὶ τὰς ὑπὲρ τούτων ἡμέρας κατὰ τὸν ὑποδειχθέντα τρόπον· καὶ τὴν ποσταίαν τοῦ ἐνεστῶτος Αἰγυπτιακοῦ μηνὸς, καὶ τὸ ἥμισυ τῶν μηνῶν τῶν ἀπὸ Θὼθ, καὶ μίαν καθολικήν· καὶ εἰς τὸν λ' τὰς ὅλας μερίζομεν.

Alia ratio. Annos a Diocletiano uno minus capimus eosque partimur in XIX; si residuum annus unicus sit, ad eum adjicimus X; si duo restent, XX; si tres, nihil. Cum novem, aut duodecim, aut omnino quilibet tertius annus exstitit: perinde nihil additur. At pro quatuor annis X: **189** pro quinque addendi sunt XX. Atque ita deinceps pro VII ac X, dies X adjiciuntur; uti et pro XIII ac reliquis, qui supra triennium quodlibet excurrunt. Residuos igitur annos, ac singulos pro illis dies hoc modo sumimus cum proposito die mensis Ægyptiaci, quibus dimidium accedit numeri mensium, qui a Thoth elapsi sunt, cum uno regulari: summam per XXX dividimus.

γ'. Ἄλλως. Κρατοῦμεν τὰς ἐπακτὰς τῆς σελήνης, καὶ ὑπὲρ ἑκάστου Ῥωμαϊκοῦ μηνὸς, ἀπὸ Σεπτεμβρίου ἀρχόμενοι μέχρι τοῦ ψηφιζομένου μίαν ἡμέραν· καὶ τὴν ποσταίαν αὐτοῦ τοῦ ἐνεστῶτος Ῥωμαϊκοῦ μηνὸς, καὶ δύο καθολικὰς, καὶ εἰς τὸν λ' τὰς ὅλας μερίζομεν.

Aliter. Accipimus epactas lunæ, et pro quolibet Romanorum mense, initio ab Aprili facto, usque ad propositum, singulos dies colligimus, ac regulares duos. Summam per XXX partimur.

